ΕΛΛΗΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

ΤΟΜΟΣ ΔΩΔΕΚΑΤΟΣ.

ΣΤΡΑΒΩΝΟΣ

ΓΕΩΓΡΑΦΙΚΩΝ

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ.

ΣΤΡΑΒΩΝΟΣ

ΓΕΩΓΡΑΦΙΚΩΝ

ΒΙΒΛΙΑ ΕΠΤΑΚΑΙΔΕΚΑ,

ΕΚΔΙΔΟΝΤΟΣ ΚΑΙ ΔΙΟΡΘΟΥΝΤΟΣ Α. ΚΟΡΑΗ,

Φιλοτίμῳ δαπάνῃ τῶν ὁμογενῶν Χίων, ἐπ' ἀγαθῷ τῆς Ἑλλάδος.

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ,

Περιέχον τὰς σημειώσεις καὶ τοὺς πίνακας.



ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Ι. Μ. ΕΒΕΡΑΡΤΟΥ.

SE TROUVE,

CHEZ THÉOPHILE BARROIS, PÈRE, LIBRAIRE, RUE HAUTEFEUILLE, N° 28.

ΑΩΙΘ.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΑ

ΣΤΡΑΒΩΝΟΣ ΓΕΩΓΡΑΦΙΚΑ.

ΜΕΡΟΣ Α.

ΒΙΒΛΙΟΝ Α.

Τὸ ΑΓ τὰς διαφόρους δηλοῖ γραφὰς, τὸ ΕΔ τὰς ἑτέρων διορθώσεις, τὸ ΗΔ τὰς ἡμετέρας· τὸ δὲ ΑΤ ἴσον δύναται τῷ, Ἀντὶ τοῦ.

ΣΕΛΙΔΙ 1, στ. 4, Τοιοῦτοι δή τινες.] Ἐκ ΔΓ, ΑΤ, Τοιοῦτοί τινες.

ΣΕΛΙΔ. 2, στ. 2, Ἀνθρώπεια.] Ἐκ ΔΓ, ΑΤ, Ἀνθρώπινα. — Στ. 8, Τῆς περὶ τὸν βίον τέχνης.] Τῆς Ἠθικῆς, ἣν καὶ δι' αὐτὸ τοῦτο, Βιωτικὴν, ἐνὶ ὀνόματι, ὠνόμασε Μάρκος ὁ Αὐρήλιος (ζ', 61). — Στ. 19, Ἀφίκετο.] Ἴσως γραπτέον, Ἐφίκετο, ὡς φέρεται ἔν τινι τῶν ἀντιγράφων. — Στ. 28, Ἥλιος μὲν ἔπειτα κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ἰλιάδος, η', 422. — Στ. 30, Ἐν δ' ἕπεσ' κ. τ. λ.] Ἐκ τῆς αὐτῆς, θ', 485.

ΣΕΛΙΔ. 3, στ. 1, Καὶ τοὺς ἀςέρας λελουμένους κ. τ. λ.] Τὸν ὀπωρινὸν ἀςέρα, περὶ οὗ φησὶν ὁ Ποιητὴς (Ἰλιάδ. ε', 6), ὅτι

Λαμπρὸν παμφαίνησι, λελουμένος Ὠκεανοῖο.

— Στ. 9, Ἀλλά σ' ἐς Ἠλύσιον κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ὀδυσσείας, δ', 563-568. — Στ. 16, Καὶ τῆς Ἰβηρίας.] Ἐκ τοῦ ἡμετέρου ἀντιγράφου (1393) ΑΤ, Καὶ τὸ τῆς Ἰβηρίας. — Στ. 17, Τὸ ταύτῃ πέρας.] Τὸ πρὸς δύσιν δηλονότι. — Στ. 21, Αἰθίοπας κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ὀδυσσ. ά, 23. — Στ. 24, Ζεὺς γὰρ ἐς κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ἰλιάδ. ά, 423. — Στ. 28, Οἵη δ' ἄμμορος κ. τ. λ.] Ἐκ τῆς αὐτῆς, σ', 489.

ΣΕΛΙΔ. 4, στ. 2, Οὐκ εὖ.] Ἐξ ΕΔ, ΑΤ, Οὐκ ἔτ'. — Στ. 3, Δυεῖν.] Ἐκ ΔΓ, ΑΤ, Δυοῖν. Καὶ οὕτως ἐν τοῖς ἑξῆς, ἀντὶ τοῦ

πολλαχοῦ φερομένου Δυοῖν, Δυεῖν (ἐπὶ γενικῆς πτώσεως) ἔγραψα, τὸ πλεῖστον ἐξ ἀντιγράφων.—Ἦν πω.] Ἐκ ΔΓ, ΑΤ, Ἦν που.—Στ. 13, Ἐσπέρας.] Γραπτέον, Ἐσπέρης, Ἰωνικῶς· τῇ γὰρ Ἰάδι διαλέκτῳ ἔγραψεν Ἡράκλειτος.—Στ. 14, Οὖρος.] Οἱ μὲν τὸν Ὅρον ἐξεδέξαντο, Οὖρον Ἰωνικῶς λεγόμενον, οἱ δὲ τὸν φορὸν ἄνεμον, ἐξ οὗ καὶ τὸ Οὔριος.—Στ. 22, Τὸν ἐπὶ τῆς γῆς.] Ἐκ ΔΓ, ΑΤ, Τὸ ἐπὶ τῆς γῆς.—Στ. 27, Νῦν πω.] Ἐκ ΔΓ, ΑΤ, Νῦν που.

ΣΕΛΙΔ. 5, στ. 1, Ὅταν οὕτω φῇ.] Ἐκ ΔΓ, ΑΤ, Ὅταν οὕτω φησίν.—Στ. 2, Εἰμι γὰρ ὀψομένη κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ἰλιάδ. ξ', 200.—Στ. 5, Ὁπλοποιΐᾳ.] Τὴν Σ ῥαψῳδίαν τῆς Ἰλιάδος οὕτως ἐκάλουν ἀπὸ τοῦ κυριωτέρου· διὰ μακρῶν γὰρ ἐκεῖ (Ἰλιάδ. σ', 468-613) τὴν ὑπὸ Ἡφαίστου ποίησιν τῶν Ἀχιλλείων ὅπλων ὁ Ποιητὴς ἀφηγεῖται.—Στ. 6, Ἐπὶ τῆς Ἴτυος] Ἦν Ὁμηρος ἄντυγα καλεῖ, διὰ τῆς συνωνύμου Ἴτυος ὁ Στράβων ἐσῆλωσε, τάχα μὲν ἑτέρως ἀναγνοὺς ἐν τοῖσδε τοῦ Ποιητοῦ (Ἰλιάδ. σ', 607),

Ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο,
ΑΝΤΥΓΑ πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο,

τάχα δὲ καὶ Ἡσιόδῳ ἀκολουθήσας· κἀκεῖνος γὰρ ἐν τῇ Ἡρακλέους ἀσπίδι (στίχ. 314) ὡσαύτως εἴρηκεν·

Ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς.

—Στ. 9, Τρὶς μὲν γάρ κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ὀδυσσ. μ', 105.—Στ. 10, Παραπεσόντος.] Ἐκ ΔΓ, ΑΤ, Παραπεσούσης. Ὁ δὲ νοῦς, Καὶ γάρ, εἰ μὴ τρὶς τῆς ἡμέρας συμβαίνει τὰ περὶ τὴν πλημμύραν καὶ ἄμπωτιν, ἀλλὰ δίς, ἐνδέχεται μὲν τὴν παρὰ τῷ Ποιητῇ γραφὴν, Τρὶς, ἡμαρτῆσθαι· ἐνδέχεται δὲ καὶ αὐτὸν τὸν Ποιητὴν παραπεσεῖν καὶ ἀποπλανηθῆναι τῶν κατὰ τὸν Ὠκεανὸν ἱστορημένων.—Στ. 13, Ποσειδῶνιος δὲ ΚΑΙ ἐκ τοῦ σκοπέλους κ. τ. λ.] Διαγραπτέον τὸν παρ' ἅπασι φερόμενον δεύτερον τῶν συνδέσμων· ὃν οὐδ' ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς ἐξέφρασε.—Στ. 16, Τὸ περὶ τὰς πλημμυρίδας.] Ἐκ ΔΓ, ΑΤ, Τὸ ἐπὶ τὰς πλημμυρίδας.—Στ. 23, Ὅταν οὕτω φῇ.] Ἐκ ΔΓ, ΑΤ (παρ' ἅπασι σολοίκου), Ὅταν οὕτω φησίν.—Στ. 24, Αὐτὰρ ἐπεὶ κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. μ', 1.

ΣΕΛΙΔ. 6, στ. 10, Καὶ ὅπου δὲ τῇ αἰσθήσει.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ὅπου δὴ αἰσθήσει.—Στ. 13, Πᾶν ἐπὶ πολύ.] Ἐκ ΔΓ, ΑΤ, Πᾶν, καὶ ἐπὶ πολύ.—Στ. 20, Ἐγχειρήσαντες.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιχει-

ρήσαντες.—Στ. 23, Ἐχούσης πόρεν.] ΗΔ, ΑΤ, Ἐχούσης τὸν πόρον.—Στ. 27, Ἐφ' ἑνός.] ΗΔ, ΑΤ, Ὑφ' ἑνὸς, ἢ ὡς φέρει τὸ ἐμὸν ἀντίγραφον (1393) Ὑπὸ ἑνός.

ΣΕΛΙΔ. 7, στ. 5, Διακροτήσαντας.] ΗΔ, ΑΤ, Διακρατήσαντας. Τὸ μὲν γὰρ Διακρατεῖν οὐδὲν ἂν ἐνθάδε σημήνειε· τὸ δὲ Διακροτεῖν εἴη ἂν τὸ ἀκριβῶς ἐρευνᾶν, ἐφ' ἧς σημασίας ἐχρήσατο καὶ Πλάτων (Κρατύλ. σελ. 421) « Ταῦτα μέν μοι δοκεῖς, ὦ Σώκρατες, ἀνδρείως πάνυ διακεκροτηκέναι ». Μαρτυρεῖ δὲ τῷ λόγῳ τὸ τῶν Γάλλων discuter, ἐκ τοῦ Ῥωμαϊκοῦ discutio παρηγμένον, καὶ κατὰ λέξιν αὐτὸ τοῦτο τὸ διακροτεῖν σημαῖνον.—Στ. 7, Τά τε οὐράνια... ἀναθυμιάσεσιν.] Στωϊκῶν δόγμα ὁ Στωϊκὸς Στράβων ἡμῖν ἐνθάδε προτίθησιν. Ἔφασκον δὲ τὸν μὲν Ἥλιον τρέφεσθαι ἐκ τῆς μεγάλης θαλάσσης, τὴν δὲ Σελήνην ἐκ τῶν ποτίμων ὑδάτων (Διογέν. Λαέρτ. ζ', 145).—Στ. 10, Ὥσπερ οὖν.] Ἐκ ΔΓ, ΑΤ, Ὥσπερ δέ.—Στ. 23, Ἠέρι κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ὀδυσσ. λ', 15, 16 καὶ 19.—Στ. 26, Τῶν Μυσῶν, ἐθνους.] ΗΔ, ΑΤ, Τοῦ Μυσῶν ἔθνους.

ΣΕΛΙΔ. 8, στ. 25, Λαβεῖν αὐτήν.] ΗΔ (συναφθεῖσα τῷ ἀρχαίῳ μεταφραστῇ) ἡ προσθήκη τῆς ἀντωνυμίας.—Στ. 30, Προσκεχωρηκυίας.] ΗΔ, ΑΤ, Παρακεχωρηκυίας. Ἑτέρα ΔΓ, Προπαρακεχωρηκυίας.

ΣΕΛΙΔ. 9, στ. 1, Πλὴν ἢ.] Ἄμεινον γράφειν Πλὴν εἰ.—Στ. 2, Οὗτος δὲ καὶ ταὐτά φησιν.] ΗΔ, ΑΤ, Οὗτος δὲ δὴ τοιαῦτά φησιν. Ἕτεραι ΔΓ, Οὗτος δὲ δὴ ταὐτά φησιν: Οὗ δὲ δὴ τοιαῦτά φησιν. Ἡ ἀρχαία Λατινικὴ μετάφρασις, ubi et hæc dicit, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Οὗ [ἢ Ὅπου] καὶ ταῦτά φησιν.—Στ. 9, Προσήκει.] ΗΔ, ΑΤ, Προσῆκε.—Στ. 12, Πρὸς ἄρκτον μὲν τό.] Ἴσως ἀναγρόφως γραπτέον, Τὸ πρὸς ἄρκτον μέν.—Στ. 14, Παμπόλλην.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἀντὶ τοῦ παρ' ἅπασιν ὀξυτονουμένου, Παμπολλήν.—Στ. 24, Κατὰ τὴν ὑπόθεσιν τὴν τοιαύτην.] Ἴσως γραπτέον, Κατὰ τὴν ὑπόθεσιν ταύτην.—Στ. 25, Ποικιλωτέραν.] ΗΔ, ΑΤ, Πολιτικωτέραν. Ὁ νοῦς, Εἰ μὴ δυνατόν ἐστιν ἅπαντα τὰ ἐν τῇ Γεωγραφίᾳ ἀκριβῶς ἐξετάζειν καθ' ἣν ἔφημεν ὑπόθεσιν, ὡς ἔχουσι δηλονότι πρὸς τὰ οὐράνια, καὶ ὅσον ἀπέχουσι γεωμετρικῶς ἀλλήλων, διὰ τὸ εἶναι τὴν τοιαύτην ὑπόθεσιν ποικιλωτέραν, τουτέστι διὰ τὸ πολλῆς καὶ ποικίλης ἔχεσθαι διδασκαλίας, οὐχ ἅπασιν ἐφατῆς· προσήκει γε μὴν ἐπὶ τοσοῦτον ἀκριβοῦν,

ἐφ' ὅσον ἂν δύναιτο νοεῖν καὶ ὁ πολιτικὸς, τουτέστιν ὁ παιδείας μὲν μιτασχὼν, οἵας χρὴ μετέχειν τοὺς καλοὺς κἀγαθοὺς τῶν πολιτῶν, οὐ μὴν ἐπὶ τοσοῦτον, ὥστε παρακολουθεῖν ἅπασι τοῖς ὑπὸ τῶν κατ' ἐπάγγελμα γεωγραφούντων λεγομένοις. Ὅτι δὲ τοῦτο σημαίνει παρὰ τῷ Στράβωνι ὁ Πολιτικὸς, δηλώσει παράλληλον ἐν τοῖς ἑξῆς (σελ. 16) ἕτερον χωρίον αὐτοῦ, καὶ τρίτον ἄλλο (σελ. 141), ἐν οἷς διακρίνει μὲν τοῦ ἀπαιδεύτου τὸν Πολιτικὸν, ἑκατέρους δ' αὖ ἀντιδιατίθησι πρὸς τὸν Γεωγραφικόν.

ΣΕΛΙΔ. 10, στ. 3, Καὶ πόσα.] ΗΔ, ΑΤ, Ἢ καὶ πόσα. Παρέλιπον τὸν διαζευκτικὸν καὶ οἱ μεταφραστάι.—Στ. 9, Ὅσον οὐρανὸς κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ἰλιάδ. Ϝ, 16.—Στ. 16, Πολλαχοῦ.] Πολλαχῇ γράφειν τινὲς παρήνεσαν οὐκ ἀλόγως· μακρῷ δ' εὐλογώτερον ἂν ἦν τὸ, Πολλαχόσε.—Στ. 17, Πολλῶν ἀνθρώπων ἰδεῖν κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ὀδυσσ. ά, 3.—Στ. 20, Τηλόθεν κ. τ. λ.] Ἐκ τῆς Ὁμήρ. Ἰλιάδ. ά, 270.—Στ. 22, Κύπρον κ. τ. λ.] Ἐκ τῆς αὐτοῦ Ὀδυσσ. ὅ, 83-85.—Στ. 26, Τρὶς γὰρ τίκτει κ. τ. λ.] Ὀδυσσ. ὁ, 86. Διώρθου καὶ τὸ τυπογραφικὸν ἁμάρτημα, μετατιθεὶς τὸ πρὸ τοῦ Τρὶς γραμμίδιον εἰς τὴν πρὸ τοῦ ἑξῆς στίχου, Τῇ πλεῖσα φέρει, χώραν.—Στ. 27, Ἐπὶ δὲ τῶν Αἰγυπτίων Θηβῶν· Τῇ πλεῖσα κ. τ. λ.] Ὁ μὲν στίχος, Τῇ πλεῖσα κ. τ. λ. ἐστὶν ἐκ τῆς Ὀδυσσείας (δ, 229)· ἀλλ' ἐκεῖ περὶ τῆς Αἰγυπτίων γῆς ἁπλῶς ὁ λόγος τῷ Ποιητῇ, οὐ περὶ τῶν Θηβῶν, περὶ ὧν εἰσιν οἱ ἑξῆς (ἐκ τῆς Ἰλιάδ. ί, 383) στίχοι, Αἵ θ' ἑκατόμπυλοί εἰσι κ. τ. λ. Διὸ ἡμαρτῆσθαι τὸ κείμενον ὑπειλήφασιν εὐλόγως οἱ κριτικοὶ, ἢ τῶν γραψάντων ἀμελείᾳ, ἢ αὐτοῦ Στράβωνος ἀπροσεξίᾳ. Ἐχρῆν γὰρ οὕτω γεγράφθαι, Ἐπὶ δ' Αἰγύπτου·

— Τῇ πλεῖσα φέρει ζείδωρος ἄρουρα.

Ἐπὶ δὲ τῶν Αἰγυπτίων Θηβῶν,

Αἵ θ' ἑκατόμπυλοί εἰσι κ. τ. λ.

ΣΕΛΙΔ. 11, στ. 2, Τὸ μαθεῖν.] ΗΔ, ΑΤ, Τῷ μαθεῖν. Ἔστι γὰρ ἡ συνάρτησις, Πάντα τὰ τοιαῦτα, οἷόν ἐστι τὸ μαθεῖν τῆς χώρας τὴν φύσιν, καὶ ζώων καὶ φυτῶν ἰδέας, παρασκευαί τινές εἰσιν εἰς φρόνησιν μεγάλαι.—Στ. 3, Προσθεῖναι δὲ δεῖ καί.] ΗΔ (συνάδουσα τῇ τοῦ Ξυλάνδρου μεταφράσει), ΑΤ, Προσθεῖναι δὲ καί.—Στ. 7, Μεγάλων κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας (γ, 26)·

Φὼς δ', Ἡρακλῆα, μεγάλων ἐπίτορα ἔργων.

—Στ. 8, Ἐκ δὲ δή.] Ἔκ γε δή, γράφειν δεῖν ὑπειληφεν ὁ Κασωβών· ἐμοὶ δὲ δοκεῖ δεῖν γράφειν, Ἔκ τε δή.—Στ. 12, Καὶ θάλαττα.] ΗΔ, ΑΤ, Καὶ ἡ θάλαττα.—Στ. 15, Μέγιςαι δ' αἱ τῶν.] Ἐξ ΕΔ, ΑΤ, Μέγιςοι δὲ τῶν.—Στ. 16, Συναγαγόντες. Ἐκ ΔΓ, ΑΤ, Συνάγοντες.—Στ. 29, Μᾶλις γὰρ ἂν.] ΗΔ ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου.

ΣΕΛΙΔ. 12, στ. 3, Ἵν' εἴη.] Ἰσ.γρ. Ἵν' ᾖ.—Στ. 8, Οἵθ' Ὑρίην κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδ. β, 496.—Στ. 10, Τὰ δὲ παρὰ Ἰνδοῖς οὕτω καὶ τὰ καθ' ἕκαςα.] Γραπτέον, οἶμαι, Τὰ δὲ παρὰ Ἰνδοῖς οὕτω καθ' ἕκαςα. Ὁ νοῦς, Ἡμῖν προσήκει, Ἕλλησιν οὖσι, τὰ μὲν περὶ τῆς Ἑλλάδος ἀκριβῶς καθ' ἕκαςα φράζειν οὕτως, ὥσπερ Ὅμηρος τὰ κατὰ Βοιωτούς· τὰ δὲ παρ' Ἰνδοῖς οὐκέτι προσήκει οὕτω καθ' ἕκαςα λέγειν.—Στ. 18, Τὰ ἐκ τῆς ἀπειρίας.] ΠΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου.—Ὁ μέντοι.] Τὸ παρ' ἅπασιν οὕτω φερόμενον μεταμέλει μοι μὴ τρέψαντι εἰς τὸ, Ὁ μέν γε (ὅπερ ἴσον δύναται τῷ, Ὁ μὲν γὰρ), ἢ γοῦν εἰς τὸ, Ὁ μέντοι γε, ᾧ κἀν τοῖς ἑξῆς (σελ. 134) κέχρηται· α Ὁ μέντοι γε εἰς μίαν χώραν κ. τ. λ.ϑ.

ΣΕΛΙΔ. 13, στ. 5, Τούτου.] Ἄμεινον τὸ ἐν οὐκ ὀλίγοις τῶν ἀντιγράφων φερόμενον, Τούτων.—Στ. 13, Ἡγεμονιῶν.] Τὸ παρ' ἅπασιν Ἡγεμονικῶν, ἔτρεψα εἰς τὸ Ἡγεμονιῶν, ἀπαιτοῦντος τοῦτο τοῦ λόγου, ἢ δῆλον ἐξ' ὧν ἐπιφέρει ὁ Στράβων. Μαρτυρεῖ δέ μου τῇ διορθώσει καὶ τὸ ἐμὸν ἀντίγραφον, ἐν ᾧ γεγραμμένου, ὥσπερ ἐν τοῖς ἄλλοις, Ἡγεμονικῶν, ἀπέξεσέ τις τὸ Κ, εἶτ' αὐτὸς ἐννοήσας, εἶτ' ἐξ ὀρθοτέρου παρειλημμένου ἀντιγράφου.—Στ. 19, Καὶ ἄλλος τὸ τοῦ δήμου.] Ἐξ ΕΔ (συναδούσης τοῖς μεταφραςαῖς), ΑΤ, Καὶ τὸ τοῦ δήμου.—Στ. 28, Λέγοι.] Ἐκ ΔΓ, ΑΤ, Λέγει.

ΣΕΛΙΔ. 14, στ. 4, Ἢ τὸ ἡδύ.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὸ ἡδύ.—Στ. 17, Αὐτὸ μόνον, ὅτι τῆς... εἰ ἄρα, ἐπισημηνάμενον κ. τ. λ.] ΗΔ (περὶ ἧς ἐπέχω τανῦν), ΑΤ, Αὐτὸ μόνον ἐπὶ τῆς... εἰ ἄρα ἐπισημηνάμενοι κ. τ. λ. Τὸ, Ἐπισημηνάμενον, μόνον ἐςὶν ἐξ ἀντιγράφων, ὁμολογούντων ἐν τοῖς λοιποῖς τῇ ἐκδεδομένῃ γραφῇ. Ἴδε τὰς διαφόρους ἐξηγήσεις τῶν κριτικῶν.—Στ. 20, Ὑπόμνησις.] ΔΓ (ἐνάρθρως), Ἡ ὑπόμνησις.—Στ. 21, Κατὰ πελάγη.] Γράφε, Κατὰ τὰ πελάγη, ἐνάρθρως, καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων.—Στ. 25, Φέγγεσι.] Φέγγουσι φέρεται ἔν τισι τῶν ἀντιγράφων, οὐ κακῶς· ἐν δὲ τῷ ἐμῷ, Φέγγεσι, ἐν τῷ κειμένῳ, μετὰ προσγεγραμμένης ἔξωθεν ἑτέρας γραφῆς, Μεγέθεσι, οὐδὲ ταύτης

ἂν δοξάσης κακῆς, εἰ μὴ Πλίνιος (*libr. II, cap.* 66) προσεμαρτύρει τῷ Φέγγεσι, ἐξ Ἐρατοσθένους, ἢ Ἱππάρχου κἀκεῖνος λαβών. — Στ. 30, Οἷὺ μάλα κ. τ. λ;] Ἐκ τῆς Ὀδυσσ. ε, 393.

ΣΕΛΙΔ. 15, στ. 13, Ω φίλοι, κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. κ, 191.

ΣΕΛΙΔ. 16, στ. 2, Παραδίδοται, μὴ κατανοήσας τις ὅλως, πῶς δύναται παρακολουθεῖν κ. τ. λ.] ΗΔ, ΑΤ, Παραδίδοται, κατανοήσας τις ἅλλως, πῶς δύναται παρακολουθεῖν; Τῶν κριτικῶν δέ τις γράφειν παρήνει ἐγκλιτικῶς καὶ δίχα ἐρωτηματισμοῦ, κατανοήσας τις ἅλλως πως, δύναται παρακολουθεῖν, καθὰ καὶ φέρεται ἐν τῷ ἐμῷ ἀντιγράφῳ, ἵν' ᾖ ὁ νοῦς, Ταῦτα γὰρ κατανοήσας τις ἑνί τινι τρόπῳ, δύναται παρακολουθεῖν. Ὁ δὲ Κασωβὼν, ἐρωτηματίζων καὶ αὐτὸς (ὥσπερ καὶ ὁ Ξύλανδρος, καὶ οἱ τούτου ἀρχαιότεροι μεταφρασαὶ) τὴν περίοδον, τὸ Ἄλλως ἐπὶ τοῦ κακῶς ἐξεδέχετο. Ἡμῖν δ' ἔδοξε τοῦτο μὲν τρέπειν εἰς τὸ Ὅλως, τῇ δὲ μετοχῇ προσθεῖναι τὴν ἀπαγόρευσιν, ἣν εἰκὸς εὑρεῖν ἔν τινι τῶν ἀντιγράφων καὶ τὸν Ἰταλὸν μεταφραστήν· οὕτω γὰρ ἐκεῖνος μετέφρασε τὸ χωρίον, Perciochè chi al contrario queste cose non intendesse (μὴ κατανοήσας), et quelle ch' intorno agli orizonti, et ai circoli artici, et all' altre speculazioni, che sono appartenenti alle prime introduzzioni delle matematice, comme potrebbe egli giamai comprendere quello che in questi libri si tratta? — Στ. 3, Ὁ δὲ μηδ'.] Ἐκ ΔΓ, ΑΤ, Ὅ τε μηδ'. — Στ. 12, Κἀκεῖ δὲ πολιτικὸν λέγομεν.] Καλῶς ἔχει τὸ κατ' ἐνεςῶτα· ἐνδέχεται μέντοι καὶ, Ἐλέγομεν, γεγράφθαι τὸ πάλαι. Τὸ γὰρ, Κἀκεῖ, ἀναφέρεται εἰς ἣν ἔγραψεν ἱςορίαν πρὸ τῆς Γεωγραφίας ὁ Στράβων. — Στ. 14, Οὐδὲ γὰρ ἂν οὕτε ψέγειν οὑνκιτο καλῶς... ὅτῳ μηδὲν ἐμέλησεν κ. τ. λ.] Γνωμικὸν ἄριςον καὶ ἀληθέςατον. Πολλοὶ μὲν γάρ εἰσιν οἱ ἐπαινοῦντες, πολλῷ δὲ πλείους οἱ ψέγοντες· ἐν ἑκατέροις γε μὴν ὀλιγίςους εὑρεῖν ἐςι τοὺς ἐσκεμμένως τοῦτο ποιοῦντας. — Στ. 17, Οὕτως δὲ καὶ οἱ τοὺς λιμένας... συνάπτειν προσῆκε.] Ὅλον τοῦτο τὸ τεμμάχιον ἐκτετοπίσθαι τῆς οἰκείας χώρας δοκεῖ μοι· αὕτη δ' ἦν ἀμέσως μετὰ τὰ μικρῷ πρότερον λεχθέντα, Οὐκ ἂν εἴη γεωγραφίας οἰκεῖος, ὥσπερ καὶ μετέφρασεν ἀποδεξάμενός μου τὴν εἰκασίαν ὁ μακαρίτης Δουθείλης (du Theil). — Στ. 23, Καὶ αὐτή.] Ἰσ.γρ. Καὶ αὕτη. — Στ. 25, Τὰ περὶ τούς.] Ἐπελαθόμην προσλαβεῖν τὴν ἔν τισι τῶν ἀντιγράφων φερομένην ἀμείνω γραφήν, Τὰ μὲν περὶ τούς. —

Στ. 27, Τὰ μικρὰ καὶ τὰ ἀφανῆ.] Ἴσως κἀνθάδε γραπτέον, Τὰ μὲν μικρὰ κ. τ. λ. καίπερ μηδενὸς τῶν ἀντιγράφων ὑπαγορεύοντος τὴν γραφήν.—Στ. 29, Εὐμνημόνευτον.] Ἐκ ΔΓ, ΑΤ, Μνημόνευτον.—Καθάπερ γε καὶ ἐν τοῖς.] Ἕνια τῶν ἀντιγράφων φέρει, Καθάπερ τε καὶ ἐν τοῖς, καλῶς μὲν τῷ, Τε, ἀντὶ τοῦ, Γε, οὐ μέντοι μᾶλλον ὀρθῶς διὰ τὸν ἑπόμενον σύνδεσμον. Γράφε, Καθάπερ τε ἐν τοῖς. Ἴδε Μερ. Γ, Προλεγομ. σελ. ς'.

ΣΕΛΙΔ. 17, στ. 1, Εἰ καλῶς.] Ἐκ ΔΓ, ΑΤ, Ἢ εἴη καλῶς. Ἕτεραι ΔΓ, Ἢ εἰ καλῶς : Ἢ καὶ καλῶς.—Στ. 3, Φροντίζουσα.] Ἐκ ΔΓ, ΑΤ, Φράζουσα.—Στ. 4, Δύναται καὶ τῶν.] Ἐκ ΔΓ, ΑΤ, Δύναται, ὅ,τι καὶ τῶν.—Στ. 6, Τοσαῦτα.] ΗΔ, ΑΤ, Ταῦτα.—Στ. 11, Πρὸς οὓς.] Ἐν τῷ ἐμῷ ἀντιγράφῳ καί τισιν ἑτέροις ἄμεινον, Πρὸς οἷς.—Στ. 23, Ὑπὲρ τούτων Σκύθας.] Ἐκ ΔΓ, ΑΤ, Ὑπὲρ τούτων δὲ Σκύθας.—Στ. 26, Ἔσαι.] Ἐκ ΔΓ, ΑΤ, Ἔσει.—Στ. 27, Τοὺς πάλαι.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ τῶν πάλαι. Ἑτέρα ΔΓ, Ἐκ τοῦ πάλαι.

ΣΕΛΙΔ. 18, στ. 1, Τῶν πολλῶν.] Ἴσως γραπτέον, Τῶν παλαιῶν, διὰ τὸ προηγησάμενον, Τοὺς πάλαι.—Στ. 13, Εὐκατατρόχαστος.] Τοιοῦτος, οἷου κατατρέχειν δύνασθαι τὸν βουλόμενον. Παρὰ μόνῳ ἴσως τῷ Στράβωνι ἡ λέξις, ἢ ἀλλαχοῦ (Μέρ. Γ, σελ. 59) κυριωτέρως ἐχρήσατο, Πεδία εὐκατατρόχαστα, φήσας, τὰ εὐχερῆ κατατρέχεσθαι ὑπὸ λῃστῶν.—Στ. 20, Προσιτέον.] Ἔν τισι τῶν ἀντιγράφων, Πειστέον.—Στ. 23, Ἐπ' αὐτῷ.] ΗΔ, ΑΤ, Ἐπ' αὐτό. Ἀναφέρεται γὰρ εἰς τὸν Βίωνα.—Στ. 25, Οἵην ἐκ ῥακέων ὁ Βίων!] Ἐξ Ὀδυσσ. σ', 74, ἔνθα ὁ Ποιητὴς περὶ Ὀδυσσέως λέγει·

Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει!

Ἐρατοσθένης δὲ παρώδησε τοῦτο διὰ τὰ ῥάκη, οἷς τὸν κυνισμὸν ἐμφαίνει τοῦ Βίωνος. Ἰδ. Διογέν. Λαέρτ. Δ, § 46.

ΣΕΛΙΔ. 19, στ. 1, Ἢ περὶ τῶν ἀγαθῶν... πραγματεία.] Ἐπιθετὰ ἐν τοῖς Προλεγομένοις (Στραβ. Μέρ. Α, σελ. μς') εἰρημένα μοι.—Στ. 2, Μελέτη.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Μελέται.—Στ. 4, Ὑπόθεσιν.] Μεταμέλει μοι ὧδε ἀκολουθήσαντι τῇ τοῦ Γερμανοῦ ἐκδόσει, γράψαντος (ἐκ διορθώσεως τοῦ Κασωβῶνος), Ὑπάθεσιν, ΑΤ ἐν ἅπασι τοῖς ἀντιγράφοις φερομένου, Ὑπόσχεσιν. Ἔστι γὰρ ἐνθάδε τὸ Ὑπόσχεσιν συνώνυμον τῷ Ἐπαγγελίαν, Profession, ὥσπερ ἐξεδίδαξεν ὅ,τε ἀρχαῖος Λατῖνος μεταφραστὴς καὶ ὁ Ἰταλός.—Στ. 6,

Πρὸς διαγωγὴν, ἢ καὶ παιδιάν.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Πρὸς διαγωγὴν, ἢ καὶ παιδείαν. Ἴσως δ' ἐν ἑτέροις ἠφανισμένοις, ἢ μήπω γ' ἐγνωσμένοις ἀντιγράφοις, καὶ δίχα τοῦ διαζευκτικοῦ ἐφέρετο, Πρὸς διαγωγὴν καὶ παιδιάν. Συνῆπται γὰρ ὡς ἐπὶ τὸ πολὺ ταῦτα· οἷόν ἐςι τὸ παρὰ Ἀριςοτέλει (Ἠθικ. Νικομαχ. δ', 14)· « Οὔσης δὲ καὶ ἀναπαύσεως ἐν τῷ βίῳ, καὶ ἐν ταύτῃ διαγωγῆς μετὰ παιδιᾶς, δοκεῖ κ. τ. λ.». Ἔςι δὲ Διαγωγὴ μὲν τὸ παρὰ τοῖς Γάλλοις λεγόμενον Passe-temps (ἡ οἰκειοτέρα, καίπερ ἀπηρχαιωμένῃ λέξει, Déduit) Παιδιὰ δὲ, τὸ Divertissement. — Στ. 10, Ὑπεθέμεθα.] Ἐν ἅπασι τοῖς ἀντιγράφοις, καὶ ἐν ταῖς ἐκδόσεσιν, Ὑπερεθέμεθα. Ἐν δὲ τῷ ἐμῷ ἀντιγράφῳ τὸ μὲν κείμενον φέρει αὐτὸ τοῦτο τὸ, Ὑπερεθέμεθα· ἕτερος δέ τις ἐπελθὼν προσέγραψεν ἔζωθεν, ὡς διόρθωσιν (ἦν καὶ δίχα τῆς τῶν ἀντιγράφων ἐπικουρίας οὐ δυσχερὲς ἦν συνιδεῖν), τὸ, Ὑπεθέμεθα· τρίτος δ' ἄλλος, ἐξ ἐκείνων, οὕσπερ φησὶν Ἡσίοδος, Μήτ' αὐτοὺς νοέειν, μήτ' ἄλλου ἀκούοντας ἐν θυμῷ βάλλεσθαι, μακρᾷ γραμμῇ διέγραψε τὸ Ὑπεθέμεθα, προελόμενος δηλονότι τὸ τοῦ κειμένου Ὑπερεθέμεθα. Μαρτυρεῖσι δὲ τῇ διορθώσει καὶ οἱ ἀρχαῖοι μεταφραςαὶ ὅ,τε Λατῖνος καὶ ὁ Ἰταλὸς, τὸ, Ὑπεθέμεθα, ἀμφότεροι ἐκφράσαντες, ὁ μὲν διὰ τοῦ, quod a nobis nuper *supposìtum* est, ὁ δὲ διὰ τοῦ, che poco fa *proponemmo*. — Στ. 11, Ποιητὴν γὰρ ἔφη πάντα ςοχάζεσθαι ψυχαγωγίας, οὐ διδασκαλίας.] Τὴν Ἐρατοσθένειον ταύτην περὶ ποιητῶν κρίσιν ἀπεδέξατο ἀνακαινίσας παρὰ τοῖς νεωτέροις ὁ Μόττιος (de la Motte), διαῤῥήδην κἀκεῖνος ἀποφηνάμενος, ὅτι μόνου τοῦ ψυχαγωγεῖν ςοχάζεται ἡ ποίησις, que la poésie n'a que le plaisir pour fin. Ἰδ. *Goujet*, *Biblioth. franç.*, *tom. IV*, pag. 101. — Στ. 15, Οἱ δ' ἡμέτεροι.] Οἱ Στωϊκοί· Στωϊκὸς γὰρ ἦν ὁ Στράβων. — Μόνον ποιητὴν ἔφασαν εἶναι τὸν σοφόν.] Ἐπιθι τὰ ἐν τοῖς Προλεγομένοις (Μέρ. Α, σελ. ιδ') εἰρημένα μοι περὶ τούτου. — Στ. 19, Αὐλεῖν.] Ἐκ ΔΓ, ΑΤ, Αὐλίζειν. — Στ. 20, Παιδευτικοί τε γάρ.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ πρώτου συνδέσμου. — Στ. 22, Ἀριςόξενος.] Ὁ περὶ Μουσικῆς ἰδιαίτερον πραγματευσάμενος.

ΣΕΛΙΔ. 20, στ. 2, Ἐναρχόμενος.] Ἐκ ΔΓ, ΑΤ, Ἀρχόμενος. — Στ. 6, Τὰ δὲ δὴ κατὰ τὴν Ἑλλάδα.] Περιττὸς ἔοικεν ὁ δεύτερος τῶν συνδέσμων. — Στ. 17, Προσεξεργάζεται.] ΔΓ, Προσεργάζεται: Προσεπεργάζεται. Κασωβῶν εἰκάζε γραπτέον εἶναι Προσεπ-

εξεργάζεται· ἕτερος δέ τις τῶν κριτικῶν (ἄμεινον ἴσως), Προσπεριεργάζεται. — Στ. 20, Προεκπίπτοντος.] ΗΔ, ΑΤ, Προσεκπίπτοντος, ὅπερ ὁ Γερμανὸς ἐκδότης τῷ Κασωβῶνι πειθθεὶς, διέλυσεν εἰς τὸ, Πρὸς ἐκπίπτοντος. Ἔχει δὲ τὸ ἡμέτερον, Προεκπίπτοντος, ἔξω τῶν ὁρίων ἐκπίπτοντος, πέρα τοῦ προσήκοντος προχωροῦντος ὑπὸ φιλοτιμίας· ἀπὸ μεταφορᾶς τῶν τρεχόντων, οἱ τῇ ῥύμῃ τῆς φορᾶς οἷον ὠθούμενοι, καὶ κατέχειν ἑαυτοὺς μηκέτι δυνάμενοι, ὑπερβαίνουσιν ὃν προτέθεινται ὅρον τοῦ δρόμου. — Στ. 22, Ἀττικῆς Εἰρεσιώνης... μῆλα καὶ ὄχνας.] Σύκα γὰρ φέρειν παραδέδοται ἡ Εἰρεσιώνη· περὶ ἧς ἔπιθι τὸν Πλούταρχον (Μέρ. Α, σελ. 17 ἐμ. ἐκδ.).

ΣΕΛΙΔ. 21, στ. 3, Πολλῶν ἀνθρώπων.] Ἐκ τῆς Ὀδυσσ. ά, 3. — Στ. 5, Εἰδὼς παντοίους κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδ. γ', 302. — Στ. 7, Βουλῇ καὶ μύθοισι κ. τ. λ.] Τοῦτο δὲ τὸ ἔπος οὐδαμοῦ τῆς Ὁμηρικῆς ποιήσεως σώζεται· καὶ εἰκὸς ἐξ ἑτέρου ποιητοῦ εἰλῆφθαι, καθὰ καὶ Πολύαινος (Στρατηγημάτ. σελ. 2 καὶ 301 ἐμ. ἐκδ.) ἐδήλωσε. — Στ. 8, Τούτου γ' ἑσπομένοιο κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδ. κ', 246. — Στ. 10, Καὶ μὴν ἐπί γε.] Ἰσ.γρ. Καὶ μὴν ἐπί τε, ἰσοδυνάμως τῷ, Καὶ μὴν καὶ ἐπί. — Στ. 12, Ἐν ποίῃ δρέπανον κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. σ', 368. — Στ. 15, Τῷ κέ μ' ἴδοις κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. σ', 375. — Στ. 21, Διαπείρᾳ.] Διάπειραν, ἢ Ἀπόπειραν, ὠνομάσθαι τὴν Β Ῥαψῳδίαν τῆς Ἰλιάδος ἐσημειώσατο ὁ Κασωβών. — Στ. 22, Διταῖς.] Διτὰς δὲ, τὴν Ι Ῥαψῳδίαν. — Πρεσβείᾳ.] Πρεσβείαν δὲ, κατά γε τὸν Στράβωνα, τὴν Γ Ῥαψῳδίαν, ἐξ ἧς (γ', 221) οἱ ἑπόμενοι εἶχοι τρεῖς. — Στ. 30, Δυνάμενον.] Ἄμεινον ἂν γράφοις, Δυναμένων, συνάπτων τῷ Θαυματοποιῶν.

ΣΕΛΙΔ. 22, στ. 3, Ὡσεί.] Ἐκ ΔΓ, ΑΤ, Ὡς ἤ. — Στ. 4, Ἡ δὲ ποιητική.] Ἐκ ΔΓ, ΑΤ, Ἡ δὲ ποιητοῦ. Ἄμεινον ἂν γράφοις· Ἡ δὲ τοῦ ποιητοῦ. — Στ. 10, Τῷ γε εἴδει, ὡς.] ΗΔ, ΑΤ, Τῷ γε ἰδίῳ, ἢ ὡς ἕτεροι, Τῷ γε ἰδίως. Ὁ νοῦς, Τοῦ Λόγου, διαιρουμένου εἰς τὸν πεζὸν καὶ τὸν ποιητικὸν, ὡς εἰς δύο εἴδη, θάτερον τούτων ἐστὶν ἡ ποιητικὴ, ὥσπερ καὶ αὐτῆς τῆς ποιητικῆς εἴδη εἰσὶν ἡ τραγῳδία καὶ ἡ κωμῳδία, τοῦ δ' αὖ πεζοῦ λόγου, ἡ ἱστορία, καὶ ἡ ἐν δικαστηρίοις κατηγορία ἢ συνηγορία. — Στ. 12, Οὐδὲ λόγος.] ΗΔ, ΑΤ, Οὐδ' ὁ λόγος. — Στ. 13, Ἡ λόγος μὲν, ῥητορικὸς δὲ λόγος οὐκ ἔστι γενικὸς, καὶ φράσις κ. τ. λ.] Οὐκ ἔρρωται τὸ χωρίον, δι' ἐκτοπισμὸν ἴσως λέξεως τῆς, Γενικός· ὤφελε γὰρ εἶναι, Ἡ λόγος

μὲν γενικὸς, ῥητορικὸς δὲ λόγος οὐκ ἔστι, καὶ φράσις. Πεθανὸν δὲ γίνεται τοῦτο μάλιστα ἐκ τῆς ἀρχαίας Λατινικῆς μεταφράσεως, καίπερ οὐκ ἐκφρασάσης ἣν ἔλεγον ἐκτοπισθῆναι λέξιν· ἔχει δὲ οὕτως, Vel oratio quidem GENERALIS est; verum Rhetorica oratio GENERALIS non est, et eloquitio.—Στ. 15, Ὁ γε κατεσκευασμένος.] Ὁ ἐντέχνως συντεταγμένος καὶ γεγραμμένος, πρὸς ἀντιδιαζολὴν τοῦ ἐν ταῖς πρὸς ἀλλήλους ὁμιλίαις λόγου.—Στ. 16, Ἡ ποιητικὴ κατασκευή.] Ἐκ τοῦ Ποσειδωνίου ταῦτα· ὥριζε γάρ ἐκεῖνος (Διογέν. Λαέρτ. ζ', 60) τὴν ποίησιν, Λέξιν ἔμμετρον ἢ ἔρρυθμον μετὰ κατασκευῆς, τὸ λογοειδὲς ἐκβεβηκυῖαν.—Στ. 25, Πηγὴ καὶ ἀρχὴ κ. τ. λ.] Καθάπτεται τοῦ χωρίου τοῦδε ὁ Ῥουσσὼς, φάσκων, dire et chanter étaient autrefois la même chose; dit Strabon; ce qui montre, ajoute-t-il, que la poésie est la source de l'éloquence. Il fallait dire que l'une et l'autre eurent la même source, et ne furent d'abord que la même chose. Sur la manière dont se lièrent les premières sociétés, était-il étonnant qu'on mit en vers les premières histoires, et qu'on chantât les premières lois? etc. *Rousseau, Essai sur l'Origin. des Langues*, chap. 12. — Στ. 27, Τοῦτο δ' ἦν ἡ ᾠδὴ λόγος μεμελισμένος.] Ἴσως γραπτέον, Τοῦτο δ' ἦν ᾠδὴ λόγος μεμελισμένος, ἢ Τοῦτο δ' ἦν ᾠδὴ, ἡ λόγος μεμελισμένος, τοῦ διαζευκτικοῦ ἰσοδυναμοῦντος ὧδε τῷ, Τουτέστι, ὥσπερ ἐξηγήσαντο καὶ οἱ μεταφραστὰι. Questi erano ode, *che viene à dire*, parole e ragionamenti cantati, εἴρηκεν ὁ Ἰταλός.

ΣΕΛΙΔ. 23, στ. 7, Καὶ δι' ἀκριβείας.] Διαγραπτέος ἴσως ὁ σύνδεσμος, ὃν οὐδ' ὁ Ἰταλὸς μεταφραστὴς ἐξέφρασε.—Στ. 14, Ἀπεδέξαντο.] ΗΔ, ΑΤ, Ἀνελέξαντο· ὃ Κασωβὼν παρήνει τρέπειν εἰς τὸ Ἀνεδέξαντο. Μαρτυρεῖ δὲ τῇ ἡμετέρᾳ διορθώσει, τὰ μετ' ὀλίγον (σελ. 24) εἰρησόμενα τῷ Στράβωνι· « Ταῦτα δ' ἀπεδέξαντο » οἱ τὰς πολιτείας καταςησάμενοι κ. τ. λ. ».

ΣΕΛΙΔ. 24, στ. 12, Διὰ λόγων.] Ἴσως γραπτέον, Διὰ λογίων, τουτέστι, διὰ χρησμῶν. — Διὰ κτύπων ἀώρων.] Τὸ μὲν Κτύπων, ΗΔ, ΑΤ, Τύπων, ἣν ἐσημειωσάμην ἐν τοῖς εἰς τὸν Πλούταρχον (Μέρ. Δ, σελ. 498), καὶ νῦν εὑρίσκω ἐν τῇ παρὰ τοῖς Ἄγγλοις ἐκδόσει τοῦ Στράβωνος προϋπονοηθεῖσαν ὡσαύτως ὑπό τινος τῶν κριτικῶν· τὸ δὲ Ἀώρων ἐκ τῆς τοῦ Γερμανοῦ ἐκδόσεως, παρει-

ληρότος ἐκ διορθώσεως τοῦ Κασωβῶνος, ΑΤ, Ἀοράτων, ἢ ὡς ἐν ἑτέροις τισὶν ἀντιγράφοις φέρεται, Ἀόρων. Ἕτερος δέ τις ἐν τῷ κατὰ Κανταβριγίαν ἐκδιδομένῳ Κριτικῷ Μουσείῳ (Museum criticum, or Cambridge classical researches n° II, October, 1813, pag. 255) παρήνει γράφειν, Διὰ τύπων γραπτῶν. — Στ. 13, Οὐ γὰρ ὄχλον... παντὸς χυδαίου πλήθους κ. τ. λ.] Συνῳδὰ τούτοις καὶ ὁ Πολύβιος (ς', 56) λέγει· « Εἰ μὲν γὰρ ἦν σοφῶν ἀν-» δρῶν πολίτευμα συναγαγεῖν, ἴσως οὐδὲν ἦν ἀναγκαῖος ὁ τοιοῦτος » τρόπος. Ἐπεὶ δὲ πᾶν πλῆθός ἐστιν ἐλαφρὸν καὶ πλῆρες ἐπιθυμιῶν » παρανόμων, ὀργῆς ἀλόγου, θυμοῦ βιαίου, λείπεται τοῖς ἀθήλοις » φόβοις καὶ τῇ τοιαύτῃ τραγῳδίᾳ τὰ πλήθη συνέχειν ». — Στ. 16, Ἀλλὰ δεῖ, νὴ Δία, καὶ δεισιδαιμονίας.] ΗΔ, ΑΤ, Ἀλλὰ δεῖ καὶ διὰ δεισιδαιμονίας.

ΣΕΛΙΔ. 25, στ. 1, Ἅτε δέ.] Ἐκ ΔΓ, ΑΤ, Ἅτε δή. — Στ. 5, Ὡς δ' ὅτε τις κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. ζ, 232. — Στ. 6, Προσετίθει.] ΗΔ, ΑΤ, Προσεπετίθει. — Στ. 7, Τὸ αὐτὸ τέλος.] Ἐκ ΔΓ, ΑΤ, Τὸ αὐτὸ τὸ τέλος. — Στ. 11, Κενήν.] Ἐκ ΔΓ, ΑΤ, Καινήν. Τὸ Κενὴν δ' ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστής.—Προσπίπτει γάρ, ὡς εἰκός, ὡς κ. τ. λ.] Ὁ νοῦς, Προσβάλλει γάρ, ὡς εἰκός, ἑνὸς ἑκάστου τῷ νῷ, καὶ παρίσταται τοῦτο, ἢ Εὐχερές ἐστι καὶ τῷ τυχόντι συνιδεῖν τοῦτο, ὅτι πιθανωτέρως ἂν ψεύδοιτό τις, εἰ τοῖς ψευδέσι καὶ τῶν ἀληθινῶν ἕνια συμμίσγοι, ἀλλὰ μὴ πάντα ψευδῆ λέγοι. — Στ. 16, Ἴσκε ψεύδεα κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. τ', 203. — Στ. 17, Οὐ γὰρ πάντα, ἀλλὰ πολλά, ἐπεὶ οὐκ ἂν ἦν ἐτύμοισιν ὁμοῖα. Ἔλαβεν οὖν παρὰ τῆς ἱστορίας τὰς ἀρχάς.] Ἐκ ΔΓ, ΑΤ, Οὔτε γὰρ πάντα, ἀλλὰ πολλὰ εἶπεν, οὐδ' ἂν ἦν ἐτύμοισιν κ. τ. λ. Οὐδετέρα τῶν γραφῶν ἐρρῶσθαι ἔοικεν· ἀλλ' ἔστι, οἶμαι, ἐξ ἑκατέρας τὸ χρήσιμον λαβόντα, πρὸς δὲ καὶ τὸ παρ' ἐνίοις τῶν ἀντιγράφων ἀντὶ τοῦ Ἔλαβεν οὖν, φερόμενον, Ἔλαβον οὖν, τρέψαντα εἰς μίαν λέξιν τὴν Ἐλάμβανον (πληθυντικῶς δηλονότι καὶ κατηγορητικῶς πρὸς τὸ ψεύδεα), οὕτωσὶ διασκευάσαι τὸ χωρίον· Οὔτε γὰρ πάντα, ἀλλὰ πολλὰ εἶπεν· οὔτ' ἂν ἦν ἐτύμοισιν ὁμοῖα (τὰ ψεύδη), εἰ μὴ ἐλάμβανον παρὰ τῆς ἱστορίας τὰς ἀρχάς. — Στ. 19, Φασι.] Ἐξ ΕΔ, ΑΤ, Φησι. — Στ. 26, Εἰς σκοτεινόν τινα τόπον, τὸν καθ' ᾅδην.] Ἄμεινον ἂν γράφοις, Εἰς σκοτεινόν τινα τόπον τῶν καθ' ᾅδην.

ΣΕΛΙΔ. 26, στ. 6, Δείκνυται γάρ τινα σημεῖα... πλάνης ση-

μεῖα.] Θάτερον τῶν δύο, Σημεῖα, ὁπότερον διαγραπτέον. — Στ. 10, Βυζαντιακοῦ.] Ἐκ ΔΓ, ΑΤ, Βυζαντικοῦ. — Στ. 27, Τὸν δ' ἐξ Αἰθιόπων κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. ε, 282.

ΣΕΛΙΔ. 27, στ. 6, Ἂν οὕτω δέχηται.] Ἴσ. γρ. Ἂν οὕτω τις δέχηται, ἢ Ἂν οὕτω δέχηταί τις. — Στ. 18, Εἰ φαίη, τοῦτον κ. τ. λ.] Γράφε, Εἰ μὴ φαίη τοῦτον, ὃ συνίδε καὶ ὁ Κασωβὼν ἐκ τοῦ ἀρχαίου Λατίνου μεταφραστοῦ. Οὐ μόνον δ' οὗτος, ἀλλὰ καὶ ὁ Ἰταλὸς μεταφραστὴς ἐξέφρασε τὴν ἀπαγόρευσιν.

ΣΕΛΙΔ. 28, στ. 4, Σειρηνουσσῶν.] Οὕτως ἐγραψα δι' ὅλης τῆσδε τῆς Γεωγραφίας τοῦνομα, διπλῷ σ', ἔχει μὲν οὖ, συναδόντων καὶ τῶν ἀντιγράφων, ἔχει δ' οὖ καὶ δίχα τῆς παρ' ἐκείνων μαρτυρίας. — Στ. 6, Οὔθ' ὁ σκόπελος.] ΗΔ, ΑΤ, Οὐδ' ὁ σκόπελος. — Στ. 11, Καὶ πετρώδη.] ΗΔ (συνάδουσα τῷ Ἰταλῷ μεταφραστῇ) ἡ προσθήκη τοῦ συνδέσμου. — Στ. 12, Σειρηνούσσας.] Ἐκ τῆς ἐκδόσεως τοῦ Κασωβῶνος, ΑΤ, Σειρῆνας. — Στ. 19, Συρηνούσσαις.] Ἐκ τῆς αὐτῆς, ΑΤ, Σειρήναις.

ΣΕΛΙΔ. 29, στ. 5, Καὶ πιςεύσαντα.] ΗΔ ἡ προσθήκη τοῦ συνδέσμου, ὃν ἐξέφρασαν καὶ οἱ μεταφραςαί. — Στ. 6, Μόνον.] Καίπερ οὕτω παρ' ἅπασι γραφόμενον, ὤφειλον τρέψαι εἰς τὸ Μόνων. — Στ. 11, Ἡ Ἡσιόδῳ.] ΗΔ, ΑΤ, Ἢ καὶ Ἡσιόδῳ. Τὸ δ' ἐμὸν ἀντίγραφον (1593), Καὶ Ἡσιόδῳ, δίχα τοῦ διαζευκτικοῦ. — Στ. 26, Μάντεις... ἀποδείκνυσθαι βασιλέας] Ἐξηγεῖται ταῦτα πλατύτερον ἐν ἄλλοις (Μέρ. Γ, σελ. 196) ὁ Στράβων.

ΣΕΛΙΔ. 30, στ. 5, Ἐπιχώρια.] ΗΔ, ΑΤ, Περιχώρια. Αἰνίττεται γὰρ τοὺς ἰθαγενεῖς, ἢ γοῦν οἰκήτορας, τῆς Σικελίας καὶ Ἰταλίας συγγραφεῖς, οἷος ἦν Ἀντίοχος, Τίμαιος, Φίλιςος, Φιλῖνος, καὶ ἄλλοι. — Στ. 6, Οὐκ ἐπαινεῖ. Οὐκ ἐπαινεῖ δὲ κ. τ. λ.] Προσέθηκα τὸ πρῶτον, Οὐκ ἐπαινεῖ ἐκ τῆς ἀρχαίας Λατινικῆς μεταφράσεως, ὃ καλῶς ἂν ἔχοι, εἰ τὸ ἀνωτέρω Πεποιῆσθαι, εἰς τὸ Πεπλάσθαι, τρέποιτο, ἢ γοῦν ἐπὶ τῆς σημασίας τοῦ Πεπλάσθαι ἐκλαμβάνοιτο, ὥσπερ καὶ ἐξέλαβεν ὁ Λατῖνος μεταφραστής. Φησὶ γὰρ, Totum autem circa Siciliam POETICE FICTUM ESSE a poeta, reliquisque scriptoribus, qui adjacentia loca disserunt (*sic*) Italiæ atque Siciliæ, NON SANE PROBAT. NEC hujusmodi Eratosthenis sententiam LAUDAT, *etc.* Ὁ γὰρ νοῦς ἐςὶ, Συγχωρεῖ ὁ Πολύβιος μακρὰ μέν τινα προσμεμυθεῦσθαι ὑφ' Ὁμήρου τῇ Ὀδυσσείως πλάνῃ· τὸ δὲ ὑπολαμβάνειν τὴν ὅλην πλάνην, τὴν περὶ Σικελίαν, πεπλάσθαι ὑπὸ τοῦ Ποιητοῦ,

ἡ ὑπὸ τῶν ἔπειτα συγγραφέων, τῶν ἱστορησάντων τὰ κατὰ Σικελίαν καὶ Ἰταλίαν, οὐκ ἐπαινεῖ. Οὐκ ἐπαινεῖ δὲ οὐδὲ τὴν Ἐρατοσθένους ἀπόφασιν. Εἰ δὲ τὸ Πεποιῆσθαι ἁπλῶς ἐπὶ τοῦ ἐμμέτρως συντετάχθαι λαμβάνοιτο, περιττὴ ἂν εἴη τηνικαῦτα ἡ προσθήκη. Ἔοικε μέντοι συνᾴδειν ἡ μετὰ προσθήκης γραφὴ οἷς ἐρεῖ κατωτέρω (σελ. 57) « Ἀλλ' εἰ μὲν μηδαμοῦ γέγονεν ἡ πλάνη, ἀλλ' ὅλον πλάσμα ἐστὶν » Ὁμήρου... Μήτε δὲ ὅλου πλάσματος πιθανῶς εἶναι λεγομένου, » καθάπερ ἐπεδείκνυμεν κ. τ. λ. ».—Στ. 12, Αὐτοῦ δ' ἰχθυάᾳ κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. μ', 95. — Στ. 16, Ἐκπέσωσι.] Ἐκ ΔΓ, ΑΤ, Ἐμπέσωσι. — Στ. 18, Τοὺς γαλεώτας, οὓς καὶ ξιφίας λέγεσθαι, καὶ κύνας φησί.] Τὸ μὲν τελευταῖον, Φησὶ, ἐξ ΗΔ, ΑΤ, Φασί· Πολύβιος γάρ ἐστιν ὁ ταῦτα φήσας. Περὶ δὲ τῶν λοιπῶν ἐπιθετικῶν τὰ ἀλλαχοῦ (Ξενοκράτ. καὶ Γαλην. περὶ τῆς ἀπὸ τῶν ἐνύδρ. τροφ. σελ. 71 καὶ 209) εἰρημένα μοι· οἷς νῦν προσίθημι, ὅτι καὶ ὁ Ἰταλὸς τοῦ Στράβωνος μεταφραστὴς, παραπλησίως τῷ Γεσνήρῳ ἐξεδίξατο τόδε τὸ χωρίον, τὰς τέσσαρας λέξεις, Οὓς καὶ ξιφίας λέγεσθαι, τῷ διὰ μέσου σημείῳ τῶν λοιπῶν χωρίσας οὕτως, Galeote (dette volgarmente pesce spada) e i pesci cani, *etc.* καὶ ὁ ἀρχαῖος δὲ Λατῖνος μεταφραστὴς πρὸς μόνους τοὺς Γαλεώτας συνῆψε τὴν τοῦ Ξιφίου προσηγορίαν.

ΣΕΛΙΔ. 31, στ. 5, Ἐὰν μὴ μέγα ᾖ.] Ἐκ ΔΓ, ΑΤ, Ἐὰν μὴ μέγα εἴη. — Στ. 11, Ὁρμήν.] ΗΔ (συνᾴδουσα τῇ τοῦ Ξυλάνδρου μεταφράσει) ΑΤ, Ἀκμήν. — Στ. 17, Τρὶς μὲν γάρ τ' ἀνίησιν.] Ἰδ. ἀνωτέρ. Στράβ. σελ. 5. — Στ. 26, Ἐνάργειαν.] Ἐξ ΕΔ, ΑΤ, Ἐνέργειαν. Τὸ δὲ χωρίον τόδε καὶ κατωτέρω (σελ. 374) ἐν οὐκ οἰκείῳ τόπῳ γεγραμμένον εὑρήσεις.

ΣΕΛΙΔ. 32, στ. 2, Ἔνθεν δ' ἐννῆμαρ κ. τ. λ.] Ἐξ Ὀδυσσ. ι', 82. — Στ. 17, Ἀνωμαλίας.] Ἀμείνων ἴσως ἡ ἔν τισι τῶν ἀντιγράφων φερομένη γραφὴ, Ἀνομολογίας. — Στ. 21, Αὐτὰρ ἐπεὶ κ. τ. λ.] Ἐξ Ὀδυσσ. μ', 1. — Στ. 24, Νήσῳ ἐν Ὠγυγίῃ κ. τ. λ.] Ἐξ Ὀδυσσ. α', 50, ὅπου μέντοι ἀντὶ τοῦ, Ὠγυγίῃ, γράφεται, Ἀμφιρύτῃ. — Στ. 27, Οἰκέομεν κ. τ. λ.] Ἐξ Ὀδυσσ. ζ', 204.

ΣΕΛΙΔ. 33, στ. 2, Καὶ ὑπὸ ΤΟΥ̃ ΠΟΙΗΤΟΥ̃ βεβαιοῦται.] Οὕτω παρ' ἅπασιν ὁμοφώνως· οὐκ ἀλόγως μέντοι ὕποπτος ἔδοξεν ἡ γραφὴ τῷ Κασωβῶνι, διὰ τὸ τοῦ Ποιητοῦ ὄνομα, ἀτόπως ἐνθάδε κείμενον. Γραπτέον ἔμοιγε δοκεῖ, ἡ, Καὶ ὑπὸ ΤΟΎΤΟΥ βεβαιοῦται, τουτέστιν ὑπὸ τοῦ Πολυβίου· ἡ, Καὶ ὑπὸ ΤΩΝ ΤΌΠΩΝ βεβαιοῦ-

ται, τουτέστιν ὑπὸ τῶν δεικνυμένων νῦν ἐν τοῖς τόποις, καθ' οὓς ἡ πλάνη τοῦ Ὀδυσσέως γενέσθαι λέγεται. Ἑκατέρα γὰρ τούτων τῶν γραφῶν οἰκείως ἔχει πρὸς τὰ ἐπιφερόμενα, Νεαπολίτας μὲν λέγειν κ. τ. λ. ἡ δὲ τοῦ κειμένου οὐ πάνυ. — Στ. 8, Ἐποίησε.] ΔΓ (οὐ κακὴ), Ἐποίει.—Στ. 19, Δίκαιόν ἐστιν.] Γράφει, Δίκαιός ἐστιν (καθὰ φέρεται ἐν τῇ τοῦ Κασωβῶνος ἐκδόσει καὶ ἐν τοῖς ἀντιγράφοις), καὶ μὴ, Δίκαιόν ἐστιν, ὃ παρείληφα πλανηθεὶς ἐκ τῆς τοῦ Γερμανοῦ ἐκδόσεως.—Στ. 24, Μυθολογούμενα.] ΔΓ (ἀμείνων), Μυθευόμενα. — Στ. 28, Ὁ ζητῶν τί.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. Εἴη δ' ἂν καὶ οὕτως διορθοῦν, Ζητῶν τις τί.

ΣΕΛΙΔ. 34, στ. 6, Τοῦ Σοφοκλέους.] ΔΓ (ἀμείνων), Τὸν Σοφοκλέους. — Στ. 9, Ῥᾴδιον ἦν αἰσθέσθαι τὴν ὑπερβολήν.] ΗΔ (συνᾴδουσα τῇ τοῦ Ξυλάνδρου καὶ τῇ τοῦ Ἰταλοῦ μεταφράσει), ΑΤ, Ῥᾴδιον εἶναι θέσθαι τὴν ἐπιβολήν. — Ἢ τὴν διαφοράν.] Ἰσ. γρ. Καὶ τὴν διαφοράν· τὸν συμπλεκτικὸν γὰρ ἐξέφρασε καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστής. — Στ. 12, Ὅσσαν κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. λ', 315. — Στ. 15, Ἥρη δ' αἶξασα κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδ. ξ', 225. — Στ. 22, Κύπρον κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. δ', 83. — Στ. 29, Λιπὼν δὲ Λυδῶν κ. τ. λ.] Ἐκ τῶν Εὐριπίδου Βακχῶν (στίχ. 13-16)· ὧν καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ', σελ. 84) μνημονεύει Στράβων.

ΣΕΛΙΔ. 35, στ. 3, Ὁ Τριπτόλεμος.] Ὁ παρὰ τῷ Σοφοκλεῖ ἐν τῷ μηκέτι σωζομένῳ ὁμωνύμῳ δράματι εἰσαγόμενος· οὓς δ' ἐνθάδε παρέλιπε στίχους Σοφοκλέους ὁ Στράβων, τοὺς αὐτοὺς Κασωβὼν οἴεται εἶναι τοῖς ἀλλαχοῦ (Μέρ. Γ, σελ. 84) ὑπὸ τοῦ Γεωγράφου μνημονευομένοις τούτοις·

> Ὅθεν κατεῖδον τὴν βεβακχιωμένην
> Βροτοῖσι κ. τ. λ.

— Στ. 6, Αὐτὴ δὲ χθαμαλὴ κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. ί, 25. — Στ. 9, Δύω θέ τέ οἱ.] Ἐκ τῆς Ὀδυσσ. ν', 109-111.—Στ. 13, Εἶτ' ἐπὶ θεξί'.] Ἐκ τῆς Ἰλιάδ. μ', 239.—Στ. 17, Ὦ φίλοι.] Ἐκ τῆς Ὀδυσσ. κ', 190. — Στ. 20, Βορέης.] Ἐκ τῆς Ἰλιάδ. ί, 5. — Στ. 21, Ὁ αὐτός.] Ἄμεινον δίχα τοῦ ἄρθρου, Αὐτὸς, φέρεται ἐν οὐκ ὀλίγοις ἀντιγράφοις. — Στ. 26, Προπίπτουσα.] Ἐκ ΔΓ, ΑΤ, Προσπίπτουσα.

ΣΕΛΙΔ. 36, στ. 8, Σὺν δ' Εὖρός τε.] Ἐκ τῆς Ὀδυσσ. ί, 295.— Στ. 10, Μὴ προπίπτουσαν] Τὸ μὲν, Προπίπτουσαν, ΗΔ, ΑΤ,

Προσπίπτουσαν· τὸ δὲ ἀπαγορευτικὸν, Μὴ, οὐκ ἀλόγως ὑποπτον ἔδοξε τῷ Κασωβῶνι· ἐν γοῦν τῷ ἐμῷ ἀντιγράφῳ, ἀντὶ τούτου φέρεται καταδήλως, Μὲν, καίπερ οὐ σεσημειωμένον ἐν ταῖς ΔΓ τῆς ἐν Ἀγγλίᾳ ἐκδόσεως τοῦ Στράβωνος. Ἀλλ' οὐδὲ τὸ Μὲν οἰκείως ἔχει τῷ προκειμένῳ χωρίῳ. Ἢ τοίνυν ἀμφότερα διαγραπτέον, ἢ θάτερόν γε (τὸ Μὲν) εἰς τὸ ἄρθρον τρεπτέον, γράφοντας, Ἢ τὴν Θρᾴκην οὐκ οἶδε τὴν προπίπτουσαν· Ἀναπολεῖ γὰρ τὸ δεύτερον ἄρθρον τὸ ἀνωτέρω (σελ. 35) εἰρημένον περὶ τῆς προπτώσεως τῆς Θρᾴκης. — Στ. 18, Ὅταν φῇ.] Ἐκ ΔΓ, ΑΤ, Ὅταν φησί. — Στ. 19, Κινήθη κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδ. β', 144. — Στ. 26, Θρασυάλκην.] Ὃν Θάσιον εἶναι φήσει ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 236) Στράβων. — Στ. 28, Ἀργέσαο Νότοιο.] Ἐκ τῆς Ἰλιάδ. λ', 306. — Στ. 30, Βορέης.] Ἴδ. ἀνωτέρ. σελ. 35.

ΣΕΛΙΔ. 37, στ. 12, Ὡς ὁπότε.] Ἐκ ΔΓ, ΑΤ, Ὡς δ' ὁπότε. Ἔχει δὲ ἐκ τῆς Ἰλιάδ. λ', 305. — Στ. 24, Οὐ πεπύσθαι.] Γράφε, Μὴ πεπῦσθαι, ὡς φέρεται ἔν τισι τῶν ἀντιγράφων. — Στ. 28, Αἴγυπτον.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ Λατίνῳ μεταφραστῇ), ΑΤ, Αἰγύπτιον. Τὸ, Αἴγυπτον φέρεται πρὸς ἀμφότερα, καὶ πρὸς τὸ Ποταμὸν καὶ πρὸς τὸ Χώραν· Αἴγυπτος γὰρ (ἀρσενικῶς) ἐκαλεῖτο τὸ πάλαι ὁ Νεῖλος, ὥσπερ καὶ ἡ ὑπ' ἐκείνου ἀρδευομένη χώρα Αἴγυπτος (θηλυκῶς), καθὰ δηλοῖ καὶ Στράβων ἐν τοῖς ἑξῆς (σελ. 45).

ΣΕΛΙΔ. 38, στ. 5, Φαίη τις ἄν, δόξαι οὐκ.] ΗΔ ἡ προσθήκη τοῦ δυνητικοῦ, τὰ δὲ λοιπὰ ἐκ ΔΓ καὶ ΕΔ, ΑΤ, Φαίη τὶς δόξειν οὐκ. — Στ. 10, Τῶν εἰρημένων.] Ἐκ ΔΓ (ἀπροθέτως), ΑΤ, Περὶ τῶν εἰρημένων. — Στ. 15, Προσέθεικεν.] Ἐκ ΔΓ, ΔΤ, Προσέθηκεν. — Στ. 17, Εἰ μὴ τήν.] ΗΔ, ΑΤ, Εἰ μήτε τήν. — Στ. 26, Αἰθίοπας.] Ἐκ τῆς Ὀδυσσ. ά, 23. — Στ. 28, Τοσούτου.] Ἐκ ΔΓ, ΑΤ, Τοσοῦτον.

ΣΕΛΙΔ. 39, στ. 5, Περὶ ἐπιφερομένου.] Γράφε ἐνάρθρως, Περὶ τοῦ ἐπιφερομένου, καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων. — Στ. 12, Παρ' ἑκάτερα.] ΗΔ, ΑΤ, Παρ' ἑκάτερον. — Στ. 25, Καὶ κατ' ἄλλα.] Περιττὸς ὁ σύνδεσμος· ἠγνόηκε δ' αὐτὸν καὶ ὁ ἀρχαῖος μεταφραστής.

ΣΕΛΙΔ. 40, στ. 20, Καὶ γὰρ ἂν ὁποτέρως.] ΗΔ, ΑΤ, Καὶ γάρ ἂν ὡς ἑτέρως. Ἔχει δὲ καθ' ὑπέρβασιν, ἀντὶ τοῦ, Καὶ γὰρ ὁποτέρως ἄν. — Στ. 28, Πῶς οὖν; οὐ δικαίως δεῦται οὕτω... ὁ

Ποιητής;] Γραπτέον, οἶμαι, καὶ ϛικτέον, Πῶς οὖν οὐ διχθὰ δεδαίεται οὗτοι... ὁ Ποιητής; Ἰδ. Μέρ. Γ', Προλεγόμ. σελ. ξ'.

ΣΕΛΙΔ. 41, στ. 4, Τί δ' ἡ ἄλλη Αἴγυπτος.] ΗΔ, ΑΤ, Τί δ' ἄλλο ἡ Αἴγυπτος. Νοεῖ δὲ τὴν Κάτω λεγομένην Αἴγυπτον, ἡ τὸ Δέλτα. — Πλὴν ἥ.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ διαζευκτικοῦ.—Στ. 26, Ἀτοπιῶν.] Ἰσ.γρ. Ἀποριῶν (Ἴδε ἀνωτέρ. σελ. 6).

ΣΕΛΙΔ. 42, στ. 8, Ἐκ τούτου καί.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ τοῦ καί. —Στ. 11, Ταῦτά τε δή.] ΗΔ, ΑΤ, Ταῦτα δὲ δή.—Στ. 21, Ἐν Προμηθεῖ τῷ λυομένῳ.] Ἴσως διαγραπτέον τὸ ἄρθρον. Δύο δ' Αἰτχύλος ὑράματα Προμηθέως ἐπώνυμα ἐδίδαξεν, ὃν νῦν ἔχομεν, Προμηθέα δεσμώτην, καὶ τὸν μηκέτι σωζόμενον, Προμηθέα λυόμενον, ἐξ οὗπερ οἱ ἑξῆς ϛίχοι.—Στ. 25, Παντοτρόφον.] Ἐκ ΔΓ, ΑΤ, Παντοτρόφων. Ἑτέρα ΔΓ, Παντοϛροφῶν. Τῶν κριτικῶν τις παρήνει τρίπειν εἰς τὸ, Ποντοτρεφῶν, τουτέϛι τῶν ἐκ τοῦ Πόντου τρεφομένων Αἰθιόπων, τῶν Ἰχθυοφάγων· ὃς καὶ τοὺς ἐχομένους τέϛσαρας ϛίχους οὕτως ἔτασσεν·

Ἵν' ὁ παντεπόπτας ἥλιος αἰεὶ
Χρῶτ' ἀθάνατον, κάματόν θ' ἵππων,
Θερμαῖϛ. ὕδατος
Μαλακοῦ προχοαῖϛ ἀναπαύει·

Ὁ δὲ Συεῦλέρος (Λεξικ. Ἑλληνογερμανικ. λέξ. Παντοτρόφος) τρεπτέον εἶναι ὑπέλαβεν εἰς τὸ, Ποντοϛεφῶν, ἵνα ᾖ, τῶν ἐϛεμμένων τῷ Πόντῳ, τουτέϛι τῶν περιεχομένων καὶ περικυκλουμένων ὑπὸ τοῦ Πόντου Αἰθιόπων. Τὸ δὲ κατ' αἰτιατικὴν Παντοτρόφον, συναπτόμενον τῷ Λίμναν, σημαίνοι γ' ἂν τὴν παντοδαπὰ τρέφουσαν ὄψα, τὸν Νεῖλον ἴσως αἰνιξαμένου διὰ ταύτης τοῦ τραγικοῦ. Τρέφειν γὰρ λέγονται αἱ λίμναι τὰ ἐν αὐταῖϛ γεννώμενα ζῶα, καθὰ καὶ Στράβων εἴρηκε πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ, ἐν δὲ δὴ καὶ τῇ τῆϛ Ἰταλίας περιοδείᾳ (κατωτέρ. σελ. 303), « Λίμναι μεγάλαι τε καὶ πολλαὶ... τρέφουσιν ὄψον πολὺ, καὶ τῶν πτηνῶν τὰ λιμναῖα ».

ΣΕΛΙΔ. 43, στ. 1, Παρ' ὅλον καὶ τοὺς Αἰθίοπας ἀποφαίνεται.] Ἐξ ΕΔ, ΑΤ, Παρ' ὅλην καὶ τοὺς Αἰθίοπας αὐτῷ (ΔΓ, Αὐτὸν: Αὐτῶν) φαίνεται.—Στ. 2, Ἐπὶ τῷ Φαέθοντι.] Καταχρήσει προθέσεως εἴρηκεν οὕτως· τὸ γὰρ χρηϛὸν, Ἐν τῷ Φαέθοντι. Ἔϛι δ' ὁ Φαέθων τῶν οὐκέτι σωζομένων Εὐριπίδου δραμάτων. —Στ. 3, Τὴν Κλυμένην φησὶ

— Δοθῆναι

— Δοθῆναι Μέροπι τῆσδ' ἄνακτι γῆς].

ΔΓ, Τὴν Κλυμένην δοθῆναί φησι

Μέροπι τῆς δ' ἄνακτι γῆς.

Καὶ ἔοικεν ἀμείνων αὕτη τῆς ἐκδιδομένης εἶναι γραφῆς.—Στ. 6, Χρυσέᾳ βάλλει φλογί.] Γράφειν τις παρήνει τῶν κριτικῶν, Χρυσέᾳ βώλῳ φλέγει, πιθανῶς μὲν ἐπὶ ποσὸν, διὰ τὸ τὸν αὐτὸν Εὐριπίδην (Ὀρες. 982) Ἁλύσεσι χρυσέαις φερομέναν βῶλον ἐξ Ὀλύμπου, εἰρηκέναι τὸν Ἥλιον· οὐκ ἀληθῶς δὲ· ἐπεὶ τῆς χρυσῆς βώλου, χρυσᾶς εἰκὸς εἶναι καὶ τὰς φλόγας, τουτέστι τὰς ἀκτῖνας. —Στ. 8, Ἕω φαεννᾶς.] ΗΔ (κατὰ γενικὴν), ΑΤ (κατ' αἰτιατικὴν), Ἕω φαεννάν. Μαρτυρεῖ δὲ τῇ διορθώσει τὸ προσεχῶς ἐπιφερόμενον, « Κοινὰς ποιεῖται » τὰς ἱπποςάσεις τῇ τε ἠοῖ καὶ τῷ ἡλίῳ ». — Στ. 23, Πρὸς ζόφον.] Ἰδ. ἀνωτέρ. Στράβ. σελ. 35. — Στ. 27, Εἶτ' ἐπὶ δεξί' ἴωσι κ. τ. λ.] Ἰδ. ἀνωτέρ. σελ. 35. — Στ. 30, Ὦ φίλοι κ. τ. λ.] Ἰδ. ἀνωτέρ. σελ. 15 καὶ 35.

ΣΕΛΙΔ. 44, στ. 3, Ζεὺς γὰρ ἐς κ. τ. λ.] Ἰδ. ἀνωτέρ. σελ. 3. — Στ. 5, Δεκτέον.] Ἐξ ΕΔ, ΑΤ, Λεκτέον. — Στ. 6, Τεταγμένον.] Τὸ παρ' ἅπασιν οὕτω γεγραμμένον τρεπτέον εἰς τὸ, Τεταμένον.— Στ. 7, Προσβάλης.] Ἐκ ΔΓ, ΑΤ, Προσβάλλοις, — Στ. 9, Τὸν δ' ἐξ Αἰθιόπων.] Ἰδ. ἀνωτέρ. σελ. 26. — Στ. 18, Αἴτ', ἐπεὶ κ τ. λ.] Ἐκ τῆς Ἰλιάδ. γ', 4.

ΣΕΕΛΙΔ. 45, στ. 25, Εἰ τὸν μὲν Νεῖλον ᾔδει ὁμωνύμως τῇ τοσαύτῃ χώρᾳ λεγόμενον.] Αἴγυπτον δηλονότι καλούμενον, ὥσπερ καὶ ἡ χώρα ἡ Αἴγυπτος. Μνημονεύει δ' ὁ Ποιητὴς τοῦ Αἰγύπτου ἐν τοῖσδε τοῖς ἔπεσιν, Ὀδυσσ. ξ, 257.

Πεμπταῖοι δ' ΑΙΓΥΠΤΟΝ εὐρρείτην ἱκόμεσθα·
Στῆσα δ' ἐν ΑΙΓΥΠΤΩ ποταμῷ νέας ἀμφιελίσσας.

— Στ. 26, Μάλιςα γὰρ ἂν προσπίπτοι.] Εὐχερῶς γὰρ ἂν παραςαίη τῷ λογισμῷ, εὐχερῶς πᾶς τις συνιδεῖν ἔχοι. — Στ. 27, Τὸ ῥηθὲν ὑφ' Ἡροδότου, διότι κ. τ. λ.] Μνημονεύει τούτου τοῦ ὑφ' Ἡροδότου (β', 5) ῥηθέντος ὁ Στράβων καὶ ἐν ἄλλοις ἑξῆς (Μέρ. Γ, σελ. 89).

ΣΕΛΙΔ. 46, στ. 17, Συνιᾶσιν.] Ἐκ ΔΓ, ΑΤ, Συνιῶσιν. Καὶ διὰ μὲν τοῦ Αἰγυπτίων, αἰνίττεται τὸν Ἀρίςαρχον· Ἀλεξανδρεὺς γὰρ ἦν· διὰ δὲ τοῦ Σύρων, τὸν Κράτητα, ἐκ τῆς ὁμόρου τῇ Συρίᾳ

Κιλικίας ὄντα. — Στ. 21, Ἠγνόει γε.] Ἐκ ΔΓ, ΑΤ, Ἠγνόησεν. — Στ. 23, Μόνους.] Ἐκ ΔΓ, ΑΤ, Μόνον. — Στ. 24, Ἁπλῶς.] ΔΓ (ἀμείνων ἴσως) Κοινῶς. — Ὁμβρίων.] Ἐκ ΔΓ, ΑΤ, Ὁμβρίμων. — Στ. 28, Κουφότερον κ. τ. λ.] Ἐκ τῶν κωμικῶν τὸ πλέον παρείληπται τὰ παροιμιώδη ταῦτα· εἴρηκε μέντοι καὶ Πίνδαρος (Πυθ. ἡ, 136) Σκιᾶς ὄναρ, Αἰσχύλος δὲ καὶ Σοφοκλῆς καὶ Καπνοῦ σκιάν (Ἰδ. τὰς εἰς τὸν Πλούταρχ. σημ. τοῦ Βυτεμβαχ. τόμ. Δ, σελ. 713). Τὸ δὲ περὶ τῆς Λακωνικῆς ἐπιζολῆς παρέθετο καὶ Λογγῖνος (Περὶ ὕψ. § 38), ὡς ὑπερβολῆς παράδειγμα·

Ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιζολῆς
Λακωνικῆς.

— Στ. 30, Ἐπ' ἐξοχῇ.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ' ἐξοχῆς.

ΣΕΛΙΔ. 47, στ. 5, Πεπαραμυθήμεθα.] Ἐκ ΔΓ, καὶ τῆς τοῦ Κασωβῶνος ἐκδόσεως, ΑΤ, Πεπαραμυθούμεθα. — Στ. 12, Αὐτῷ.] Τῷ Ὁμήρῳ δηλονότι. Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Οὕτω. — Στ. 15, Ἡ ἀνάβασις.] Ἰσ. γρ. Αἱ ἀναβάσεις. — Στ. 16, Συνείς.] ΗΔ, ΑΤ, Συνθείς. — Στ. 19, Οὐκ ἀγνοίας σημεῖον δήπου. Οὐδὲ γὰρ κ. τ. λ.] ΗΔ, ΑΤ, Οὐκ ἀγνοίας χάριν· σημεῖα γὰρ δήπου. Οὐδὲ γάρ. — Στ. 22, Οὐ κατ' ἄγνοιαν.] ΗΔ, ΑΤ, Οὐ γὰρ κατ' ἄγνοιαν. — Στ. 25, Ἐν δὲ λιμήν.] Ἐκ τῆς Ὀδυσσ. δ', 358. — Στ. 27, Ἐκλιπεῖν.] ΗΔ, ΑΤ, Ἐπιλείπειν.

ΣΕΛΙΔ. 48, στ. 7, Φησὶ δέ.] Τὰ πολλὰ τῶν ἀντιγράφων ἄμεινον, Φησὶ δή. — Στ. 9, Ἡ γὰρ πολλὰ κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσ. δ', 81-85. — Στ. 28, Οὐχ ὡς ἀδύνατος εἶναι.] ΔΓ (χείρων τῆς ἐκδεδομένης), Οὕτως ἀδύνατος εἶναι. Γραπτέον, Οὐχ ὡς ἀδύνατος ἦν.

ΣΕΛΙΔ. 49, στ. 1, Φήσαντος.] Ἐξ ΕΔ, ΑΤ, Φήσαντα. Ἀναφέρεται γὰρ εἰς τὸν Ποιητήν, Φήσαντος τοῦ Ὁμήρου κ. τ. λ. Λέγει δὲ τοῦτο, ἢ μᾶλλον λέγοντα τὸν Νέσορα περὶ τοῦ Μενελάου παράγει ἐν τῇ Ὀδυσσείᾳ (γ', 299) πρὸ τῶν ἑξῆς στίχων. — Στ. 4, Ὡς ὁ μὲν ἔνθα.] Ὀδυσσ. γ', 300. — Στ. 6, Κύπρον.] Ὀδυσσ. δ', 83. — Στ. 24, Ἀλλά σ' ἐς.] Ὀδυσσ. δ', 563. — Στ. 28, Ἀλλ' αἰεί.] Ὀδυσσ. δ', 567.

ΣΕΛΙΔ. 50, στ. 2, Εἴχομεν.] ΗΔ, ΑΤ, Ἔχοιμεν. — Στ. 5, Καίτοι θαυμάζουσι.] Ἐκ ΔΓ, ΑΤ, Καίτοι γὰρ θαυμάζουσι. — Στ. 7, Χρυσοῦ τ'.] Ἐκ τῆς Ὀδυσσ. δ', 73. — Στ. 10, Μέχρι.]

ΔΓ, Μέρη, ἣν ὁ Γερμανὸς ἐκδότης προείλετο.—Στ. 15, Τότε γ' οὐκ ἦν.] ΗΔ, ΑΤ, Τότε δ' οὐκ ἦν. —Στ. 16, Ἡ πολλὴ αὐτῆς.] ΗΔ, ΑΤ, Ἡ πόλις αὐτῆς. Μαρτυρεῖ τῇ διορθώσει τὸ ἐχόμενον, « Ὀλίγη δ' ἡ ἀρωματοφόρος ». —Στ. 30, Τόν ποτέ οἱ.] Ἐκ τῆς Ἰλιάδ. λ', 20.

ΣΕΛΙΔ. 51, στ. 1, Λεκτίον ἐν τοῖς.] ΗΔ, ΑΤ, Λεκτέον μὲν ἐν τοῖς.—Στ. 8, Μενέλαος, ὅτι.] Ἐξ ΕΔ, ΑΤ, Μενέλαος, οὐχ ὅτι. Τοῦτο γὰρ βούλεται λέγειν, ὅτι ὁ ἀφιγμένος μέχρι τῶν ὁρων χώρας τινὸς, δικαίως ἂν λέγοιτο καὶ εἰς αὐτὴν ἀφῖχθαι τὴν χώραν. Δῆλον δὲ καὶ ἐξ ὧν ἐρεῖ μετ' ὀλίγα, « Οὕτω δὲ καὶ εἰς Λιβύην » [ἦκεν], ὅτι προσέσχε τόποις τισίν ». — Στ. 25, Τρῳάς τε.] Ἐκ τῆς Ἰλιάδ. ν', 1.—Στ. 27, Οὐ γάρ ἔτ' Οἰνῆος.] Ἐκ τῆς αὐτῆς, β', 641.—Στ. 30, Ἴδην.] Ἐκ τῆς αὐτῆς, Θ', 47, ὅπου φησὶν ὁ Ποιητής.

Ἴδην δ' ἱκανεν πολυπίδακα, μητέρα θηρῶν,
Γάργαρον·

Βούλεται δὲ λέγειν ὁ Γεωγράφος, ὅτι ἔθος ἐστὶν Ὁμήρῳ τοῖς γενικοῖς, ἢ καθόλου, συνάπτειν οὕτω τὰ μερικὰ, ὥστε μὴ δοκεῖν ἐμπεριέχεσθαι ἐν ἐκείνοις, οἷον ἐν μὲν τῷ πρώτῳ παραδείγματι, Τρῳάς τε καὶ Ἕκτορα εἶρηκε, καίπερ Τρωὸς ὄντος καὶ τοῦ Ἕκτορος· ἐν δὲ τῷ δευτέρῳ, τοὺς υἱοὺς τοῦ Οἰνέως μηκέτι εἶναι, τουτέστιν ἐν τοῖς ζῶσι, φήσας, ἐπήγαγε τὸ, Θάνε Μελέαγρος, ὥσπερ ἂν εἰ ἕτερος ἦν οὗτος τῶν Οἰνέως υἱῶν.

ΣΕΛΙΔ. 52, στ. 2, Οἱ δ' Εὔβοιαν.] Ἐκ τῆς Ἰλιάδ. β', 536. —Στ. 5, Ἡ πάνορμος.] Ἐξ ΕΔ, ΑΤ, Ἡ Πάνορμος. Ἔστι γὰρ οὐ πόλεως ὄνομα ἑτέρας παρὰ τὴν Πάφον, ἀλλ' αὐτῆς ταύτης τῆς Πάφου, Κυπριακῆς πόλεως, ἐπίθετον, τὸ πάνορμος, σημαῖνον τὸ πολλοὺς καὶ χρηστοὺς ἔχουσα ὅρμους.—Στ. 9, Κύπρον.] Ἴδ. ἀνωτέρ. Στράβ. σελ. 48.—Στ. 11, Ἵνα δ' ἐμφήνῃ... τοῖς ἀνθρώποις μετὰ Ἀλεξάνδρου.] Συγκέχυται τὸ προκείμενον χωρίον, ὅπερ ἄλλοι ἄλλως εὐκρινῆσαι ἐπεβάλλοντο. Ἡ μὲν οὖν ἐν τῇ τοῦ Κασωβῶνος ἐκδόσει γραφὴ οὕτως ἔχει· « Ἵνα δ' ἐμφήνῃ καὶ τὴν παρὰ τοῖς Σιδονίοις ἀποδημίαν τὴν ἐπὶ » πλέον γενομένην, ΕΜΦΑΙΝΕΙ διὰ τῶν ἐπαίνων τῆς παρ' αὐτοῖς » εὐτυχίας, ΚΑΙ ΗΣ καλῶς εἶχεν εἶτ' ἀναλαβεῖν, εἴτε καὶ παρα- » λαβεῖν εὐτεχνίας, καὶ ΤΟ τὴν Ἑλένην προξενῶσθαι τοῖς ἀνθρώ- » ποις μετὰ Ἀλεξάνδρου ». Ταῦτα δ' ὁ μὲν Κασωβὼν οὕτω διασκευάζειν παρήνει, τὰ μὲν μετατοπίζων, ἔστι δ' ἃ καὶ προσιθείς,

« Ἵνα δ' ἐμφήνῃ... γενομένην, καλῶς εἶχεν εἴτ' ἀναλαβεῖν, εἴτε καὶ » παραλαβεῖν· [ταύτην δὲ τὴν ἀποδημίαν] ἐμφαίνει διὰ τῶν ἐπαίνων » τῆς παρ' αὐτοῖς εὐτυχίας καὶ εὐτεχνίας. [Ἐμφαίνει δὲ] καὶ τὸ » τὴν Ἑλένην προεξενῶσθαι τοῖς ἀνθρώποις μετὰ Ἀλεξάνδρου ». Ὁ δὲ Γρονόβιος, τόνδε τὸν τρόπον· « Ἵνα δ' ἐμφήνῃ... γενομένην, διὰ τῶν » ἐπαίνων τῆς παρ' αὐτοῖς εὐτυχίας, καλῶς εἶχεν εἴτ' ἀναλαβεῖν, » εἴτε καὶ παραλαβεῖν εὐτεχνίαν, καὶ τὸ τὴν Ἑλένην προεξενῶσθαι » τοῖς ἀνθρώποις μετὰ Ἀλεξάνδρου ». Ταύτην ὁ Γερμανὸς ἐκδότης προελόμενος τὴν διόρθωσιν κατεχώρισεν εἰς τὸ κείμενον, καίπερ μακρῷ πιθανωτέρας καὶ Ἑλληνικωτέρας οὔσης ἣν ὁ Κασωβὼν προῦθετο. Ἡμῖν δ' ἔδοξε πρῶτον μὲν τὸ, ΚΑΙ ΗΣ, λεῖπον ἐν πολλοῖς τῶν ἀντιγράφων, ἀποβαλεῖν τοῦ κειμένου, ὥσπερ ἀπεβλήθη καὶ ὑπὸ τῶν πρότερον κριτικῶν· εἶτα τὸ ΕΜΦΑΙΝΕΙ τρέψαι εἰς τὸ ΕΚΦΑΙΝΕΙ προσθέντας καὶ τὸν ΔΕ σύνδεσμον, ἀντιδιαιρουμένους πρὸς τὸ ἐν ἀρχῇ τῆς περιόδου, Ἐμφήνῃ (Ἐμφαίνειν γὰρ ἔστι τὸ παραφαίνειν καὶ οἷον αἰνίττεσθαι, Ἐκφαίνειν δὲ, τὸ προδήλως τι παριστάναι)· τρίτον δὲ καὶ τὸ ἄρθρον, ΤΟ, τρέψαι εἰς τὸ ΤΟΥ, ἵν' ᾖ ὁ νοῦς τοῦ ὅλου χωρίου οὑτοσί· Εἰ μὲν ἦν Ὁμήρῳ σκοπὸς τὸ καταλέξαι μόνον καθεξῆς τὰ ἔθνη, ἱκανῶς εἶχε μόνης τῆς Φοινίκης μνησθῆναι παραλιπόντα τοὔνομα τῆς Σιδόνος (τοῦτο γὰρ ἦν τὸ ζητούμενον, διά τί Φοινίκην εἰπών, ἐπάγει καὶ τὴν Σιδόνα, τῆς Φοινίκης οὖσαν πόλιν καὶ αὐτήν)· ἵνα δ' ἐμφήνῃ, τουτέστι λεληθότως παραδηλώσῃ, ὅτι καὶ παρὰ τοὺς Σιδονίους ἀπεδήμησεν ὁ Μενέλαος, καλῶς εἶχεν ἐπαναλαβεῖν τοὔνομα τῆς Σιδόνος. Ἐκφαίνει δὲ, τουτέστιν ἐκφανέστερον ἱστορεῖ τὴν ἀποδημίαν ταύτην ἀλλαχοῦ, διά τε τῶν ἐπαίνων τῆς παρὰ Σιδονίοις εὐτυχίας καὶ εὐτεχνίας, καταλέγων τὸν ἀργυροῦν κρατῆρα, ὃν παρ' ἐκείνων εἰλήφει ὁ Μενέλαος (Ὀδυσσ. ὁ, 115), καὶ τοιοῦτον ἕτερον δοθέντα τῷ Θόαντι (Ἰλιάδ. ψ', 741), καὶ τοὺς παμποικίλους πέπλους, οὓς ἐκεῖθεν ἐκομίσατο ὁ Ἀλέξανδρος, καὶ διὰ τοῦ προξενῶσθαι παρ' ἐκείνοις τὴν Ἑλένην (Ἰλιάδ. ζ, 289) μετ' Ἀλεξάνδρου. —Στ. 16, Ἔνθ' ἔσαν.] Ἐκ τῆς Ἰλιάδ. ζ', 289.—Στ. 21, Δώσω τοι κρητῆρα.] Ἐκ τῆς Ὀδυσσ. ὁ, 115.—Στ. 28, Οἱ ἄνδρες.] Ὁ Γερμανὸς ἐκδότης προείλετο τὴν τινων ἀντιγράφων γραφὴν, Οἱ Σιδόνιοι, οὐδὲν ἄλλ' ἢ ἐπεξήγησιν οὖσαν τῆς γνησίας γραφῆς. — Στ. 29, Εὔννος.] Ἔγραψα, ὡς παρ' Ὁμήρῳ (Ἰλιάδ. ψ', 747) φέρεται, καὶ ὡς ἐν τοῖς ἑξῆς τοῦ Στράβωνος (σελ. 59) γράφεται, ἀντὶ τοῦ, Εὔνεως.—Στ. 30, Κάλλει ἐνίκα.] Ἐκ τῆς Ἰλιάδ. ψ', 742.

ΣΕΛΙΔ. 53, στ. 16, Προσβορέοις.] Γραπτέον, ὡς φέρεται ἐν πολλοῖς τῶν ἀντιγράφων, Προσβόρροις, ἢ γοῦν Προσβορείοις. — Στ. 18, Ἀραμαῖοι.] Ἐκ ΔΓ, ΑΤ, Ἀριανοί. Δῆλον δέ, ὅτι περὶ Ἀραμαίων ὁ λόγος, καὶ ἐξ ὧν ἀλλαχοῦ φησὶ Στράβων (Μέρ. Β, σελ. 505, καὶ Γ, σελ. 228). — Καὶ οἱ Ἀρμένιοι.] Λείπουσιν ἔν τισι τῶν ἀντιγράφων (ἐν οἷς καὶ τὸ ἡμέτερον) αἱ λέξεις αὗται. — Στ. 22, Ἀρμενίους καί.] Διὰ τὴν αὐτὴν αἰτίαν χρὴ ἴσως καὶ ἐνθάδε διαγράφειν τὰς λέξεις.

ΣΕΛΙΔ. 54, στ. 3, Ὁμως.] ΗΔ, ΑΤ, Ὁμοίως. Καὶ ὁ Ἰταλὸς δὲ μεταφραστὴς τὸν ἐναντιωματικὸν ἐξέφρασε, non sono *pero*... nominati. — Στ. 11, Ἐν Καταλόγῳ.] Τῶν οὐκέτι σωζομένων ποιημάτων Ἡσιόδου ἐστὶν ὁ ἐπιγραφόμενος Κατάλογος, ἐν ᾧ τῶν ἀρίστων γυναικῶν μνείαν καθεξῆς ἐποιεῖτο. — Στ. 12, Ἑρμάων ἀκάκητα.] Ὁ εἰρηνικὸς καὶ μὴ κακοποιῶν Ἑρμῆς, ὡς ἐξηγοῦνται οἱ ὑπομνηματισάμενοι τὰ Ὁμήρου (Εὐστάθ. σελ. 75)· πρότερος γὰρ Ἡσιόδου Ὅμηρος οὕτως ἐπωνόμασε τὸν Ἑρμῆν· ἕτεροι δὲ ἀπὸ Ἀκακησίου, ὄρους, καὶ ἄλλοι ἀπὸ Ἀκάκου τοῦ θρέψαντος αὐτὸν οὕτως ὠνομᾶσθαι φασὶ (Παυσαν. ἡ, 36).

ΣΕΛΙΔ. 55, στ. 18, Θεόπομπος δέ.] Ἰσ.γρ. διὰ διπλοῦ συνδέσμου, Θεόπομπος δὲ καί. — Στ. 23, Καὶ γὰρ τούτου.] Ἡ προσθετέον τρίτον σύνδεσμον, Καὶ γὰρ καὶ τούτου, ἢ καθ' ὑπερβατὸν ἐκδεκτέον, ἀντὶ τοῦ, Καὶ τούτου γάρ. — Στ. 29, Τρὶς μὲν γάρ.] Ἴδε ἀνωτέρ. σελ. 5 καὶ 31. — Στ. 30, Οὐ γὰρ κατ' ἄγνοιαν τῆς ἱστορίας κ. τ. λ.] Καὶ μὴν ἀνωτέρω (σελ. 5 καὶ 31) εἰκὸς εἶναι ὡμολόγει καὶ παραπεσεῖν τῆς ἱστορίας τὸν Ὅμηρον· ἀλλ' ἐνταῦθα καὶ ταύτην ἀποτρίψαι τοῦ Ποιητοῦ πειρᾶται τὴν ἄγνοιαν ὁ πέρα τοῦ προσήκοντος φιλόμηρος Στράβων.

ΣΕΛΙΔ. 56, στ. 4, Εἴρηκε μὲν οὕτως ἡ Κίρκη.] Ἐκ ΔΓ, ΑΤ, Εἴρηκεν ἡ Κίρκη. — Στ. 8, Παρέτυχέ γε.] Ἐκ ΔΓ, ΑΤ, Παρέτυχέ τε. — Στ. 10, Ἡ μὲν ἀνερροίβδησε.] Ἐκ τῆς Ὀδυσσ. μ', 431. — Στ. 18, Τρισμάκαρες.] Ἐκ τῆς Ὀδυσσ. ε', 306. — Στ. 20, Ἀσπασίη.] Ἐκ τῆς Ἰλιάδ. χ', 488. — Στ. 22, Τριχθά.] Ἐκ τῆς Ἰλιάδ. γ', 363. — Στ. 24, Ἐφαρμόττει.] Ἐκ ΔΓ, ΑΤ, Ἐφαρμόττοι. — Στ. 26, Τὸ τοσοῦτον.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ ἄρθρου. — Στ. 27, Προσισχομένῳ.] Ἐκ ΔΓ, ΑΤ, Προϊσχομένῳ. Τοῦτο μὲν γάρ ἐστι προτείνοντι, ἢ προβάλλοντι· τὸ δὲ Προσισχομένῳ σημαίνει τὸ προσκολλωμένῳ. — Στ. 29, Νωλεμέως.] Ἐκ τῆς Ὀδυσσ. μ', 437.

ΣΕΛΙΔ. 57, στ. 5, Ἐπιτεῖναι, μὴ κοινῶς.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ μεταφρασῇ) ΑΤ, Ἐπιτεῖναι, καὶ μὴ κοινῶς. Ὁ γὰρ νοῦς, Ἔμφασιν ἀξιολόγου χρόνου παρέχει καὶ τοῦθ', ὅτι ὁ Ποιητὴς ἐπίτεινε τὴν ἑσπέραν, μὴ κοινῶς εἰπὼν κ. τ. λ.—Στ. 7, Ὑπέτεινε τῶν ναυαγίων τὴν ἀπαλλαγήν.] ΗΔ, ΑΤ, Ὑπέτεινε τῷ ναυαγίῳ τὴν ἀπαλλαγήν. Ὁ νοῦς, Οὐ πιθανὴν ἂν ἐνέφηνεν, ἢ ὑπηγόρευσεν, ὁ Ποιητὴς τὴν ἀπὸ τῆς Χαρύβδιος ἐξέμεσιν τῶν ναυαγίων (ταῦτα δ' ἦσαν ὁ ἱστὸς καὶ ἡ τρόπις), εἰ πρὶν ἀποσπασθῆναι πολὺ ἀπὸ τοῦ Ὀδυσσέως, αὐτίκα ὑπὸ τῆς παλιρροίας ἐφέροντο πάλιν πρὸς αὐτόν. Ἴσως μέντοι καὶ τὸ Ὑπέτεινε τρέπειν ὤφειλον εἰς τὸ Ἐπέτεινε, κατὰ τοῦτον τὸν νοῦν, Οὐ πιθανῶς ἂν μακρὰν ἐποίησε τὴν ἀπαλλαγὴν τῶν ναυαγίων, εἰ πρὶν ἀποσπασθῆναι κ. τ. λ.—Στ. 9, Αὐτίκα εἰς τοὐπίσω παλίρροα μετέπιπτεν.] ΗΔ, ΑΤ, Καὶ αὐτίκα εἰς τοὐπίσω παλίρρους μετέπιπτεν. Ὁ μὲν γὰρ σύνδεσμος οὐδὲν πρὸς ἕπος ἐνθάδε· τὸ δὲ Παλίρρους ἔτρεψα εἰς τὸ Παλίρροα (πληθ. οὐδέτερ.), ἵνα συνάπτοιτο τῷ, Τῶν ναυαγίων. Ἔστι δὲ καὶ ἕτερον τῆς τοιαύτης συγχύσεως παράδειγμα παραθέσθαι ἐκ τῶν ἑξῆς (σελ. 383, στ. 2), ὅπου ἀντὶ τοῦ Εὐθύπλους, ἀπεδεξάμην τὴν ἐν πλείοσιν ἀντιγράφοις φερομένην γραφὴν Εὐθύπλοα. Εἰ δέ τις ἀντὶ, Τῶν Ναυαγίων, προαιρεῖται γράφειν, Τοῦ ναυαγίου, καλῶς ἔχει τηνικαῦτα παραλαβεῖν τὴν ἔν τινι τῶν ἀντιγράφων φερομένην γραφὴν, Παλίρρουν.—Στ. 16, Δεῖ λέγειν.] Ἄμεινον ἂν γράφοις, Ἔδει λέγειν.—Στ. 18, Ἐπεδείκνυμεν.] ΗΔ, ΑΤ, Ἐπεδείκνυμεν. Παράβαλε τάδε οἷς ἀνωτέρω (σελ. 13) ἐσημειωσάμεθα.—Στ. 25, Περὶ Κύζικον.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ Κύζικον.—Στ. 30, Εὔξεινον.] ΗΔ, ΑΤ, Εὐξείνων, ἢ, ὡς ἡ Κασωβωνιακὴ ἔκδοσις, Εὔξεινων.

ΣΕΛΙΔ. 58, στ. 10, Τὸν ὑπ' Ἀδμήτῳ.] Ἐκ τῆς Ἰλιάδ. β, 714.—Στ. 13, Τῶν ὁμολογουμένων.] ΗΔ, ΑΤ, Τῶν μὲν ὁμολογουμένων.—Στ. 16, Ὅ τε ἐξ ἀρχῆς πλοῦς.] ΗΔ, ΑΤ, Ὅτι ἐξ ἀρχῆς πλοῦς.—Στ. 20, Ἐκ τῶν ἔτι νῦν δεικνυμένων πεπιστευμένον ἐστὶ, καὶ ἐκ τῆς.] ΗΔ, ΑΤ, Ἐκ τῶν ἔτι νῦν δεικνυμένων καὶ πεπιστευμένων ἐστὶν ἐκ τῆς. Ἴσως δὲ καὶ Πεπιστευμένα ὤφειλον γράψαι. ΔΓ, Ἐκ τῶν ἔτι νῦν δεικνυμένων πεπιστευμένον ἐστὶν, ἐκ τῆς: Ἐκ τῶν ἔτι νῦν δεικνύμενον, καὶ πεπιστευμένον ἐστὶν, ἐκ τῆς: Ἐκ τῶν ἔτι νῦν δεικνυμένων καὶ πεπιστευμένων, ὅτι ἐκ τῆς. Πιστεύεται τὴν διόρθωσιν παραπλήσιον ἕτερον χωρίον

τοῦ Στράβωνος (Μέρ. Γ, σελ. 73) «Ἐκμαρτυρεῖται ὑπὸ τῶν δεικνυ-» μένων νῦν, καὶ ὑπὸ τῶν ποιητῶν».—Στ. 24, Ἰσορεῖται.] Ἰσ. γρ. Ἰσόρηται.—Στ. 25, Ἀργυρείων.] Ἐκ ΔΓ, ΑΤ, Ἀργυρίων. —Δικαίαν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ δικαίαν.—Στ. 28, Φρίξειον.] Ἐκ ΔΓ, ΑΤ, Φρίξιον.—Στ. 29, Ἃ πολλαχοῦ.] ΗΔ ἡ προσθήκη τῆς ἀντωνυμίας.—Μηδίας.] Ἐκ ΔΓ, ΑΤ, Μηδείας.

ΣΕΛΙΔ. 59, στ. 8, Λείπων.] Προτελόμην τὴν ἀρχαίαν γραφὴν ταύτην, ἀντὶ τοῦ, Λέγων, ὃ κακῶς ἐκ τοῦ Καλλιμαχείου σίχου εἰς αὐτὰ μετηνέχθη τὰ τῷ Στράβωνι λεγόμενα. Ὁ γὰρ νοῦς, Λείπων τὸν Αἰγλήτην Ἀπόλλωνα, καὶ τὴν ἐν ᾗ ἵδρυται νῆσον Ἀνάφην, τὴν πλησίον κειμένην τῆς νήσου Θήρας τῆς ὑπὸ Λακεδαιμονίων οἰκισθήσης, ὥσπερ ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστής,

> Lasciand' Eglete, e Anafe, à la Spartana
> Tera vicina.

—Στ. 9, Ἄρχμενος.] Κατὰ συγκοπὴν, ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Ἀρχόμενος. Καὶ τοῦτο κακῶς ἐξιώσθη τῶν Καλλιμαχείων ἐπῶν ὑπὸ τῶν πρὸ ἐμοῦ, μετενεχθὲν εἰς τὰ τοῦ Στράβωνος.—Στ. 10, Αὖθις.] Τὸ ἐμὸν ἀντίγραφον, Αὖτις, οἰκειοτέρως τῇ Ἰάδι διαλέκτῳ. —Ἀρχαίην.] Οὕτως ἐν τῷ ἐμῷ καὶ ἐν ἑτέροις, ΑΤ, Ἀρχαίαν.—Στ. 14, Τό κεν.] ΗΔ, ΑΤ, Τὸ μέν. Ὁ μὲν γὰρ ἐναντιωματικὸς, Μέν, εἰς οὐδὲν ἐνθάδε χρήσιμος· ὁ δὲ συνητικὸς, Κέν, τῶν ὧν οὐκ ἄνευ ἐστὶ, διὰ τὸ ἑπόμενον, Ἐνίσποι.—Στ. 19, Τάδε.] ΗΔ, ΑΤ, Τὰ δέ.—Στ. 23, Τὸν Αἰήτην.] ΗΔ ἡ τοῦ ἄρθρου προσθήκη. —Στ. 24, Παρὰ τὴν Αἶην, τὴν Αἰαίην πλάττῃ.] ΗΔ, ΑΤ, Παρὰ τὸν Αἰήτην πλάττῃ. Ἕτεραι ΔΓ, Περὶ τὴν Αἰαίην πλάττει: Παρὰ τὴν Αἰαίην πλάττει: Παρὰ τὴν Αἶην πλάττει: Παρὰ τὴν Αἶαν πλάττῃ. Μαρτυρεῖ τῇ ἡμετέρᾳ διορθώσει τὰ ἀνωτέρω (σελ. 26) εἰρημένα τῷ Στράβωνι. Ὁ νοῦς, Ὅμηρος τὴν Κίρκην ἔπλασε, λαβὼν τὰς ἀρχὰς τοῦ μυθεύματος ἐξ ἱστορίας, ἐκ τῆς Μηδείας δηλονότι· καὶ ἐπεὶ ἡ Μήδεια Αἰαίη ἦν, τουτέστιν ἐκ τῆς ἐν Κόλχοις πόλεως Αἴης, οὐκ ὤκνησε καὶ τὴν νῆσον, ἐν ᾗ ᾤκει ἡ Κίρκη, Αἰαίην παρονομάσαι (Ὀδυσσ. μ΄, 3).—Στ. 25, Εὔνηον.] Ἐκ ΔΓ, ΑΤ, Εὐνήων.—Στ. 26 καὶ 27, Ποιῇ.] Δὶς ἐκ ΔΓ, ΑΤ, Ποιεῖ.—Στ. 28, Αὐτοκασιγνήτην.] Ἐκ τῆς Ὀδυσσ. κ΄, 137.

ΣΕΛΙΔ. 60, στ. 3, Ἀργώ.] Ἐκ τῆς Ὀδυσσ. μ΄, 70.—Στ. 7, Ἐκτός.] Ἰσ.γρ. Ἐκεῖσε, καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων.—

Στ. 8, Ἡ ἐπὶ τὸ δέρας.] ΗΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου. Τινὰ τῶν ἀντιγράφων καὶ ἀντὶ τοῦ, Δέρας, φέρουσι Δέρος· ἔστι δὲ ποιητικώτερον τὸ διὰ τοῦ ᾱ. — Στ. 10, Καὶ τῶν καθ' ἡμᾶς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ καθ' ἡμᾶς. — Στ. 14, Χαλεπηρές.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου (1393), ἐν ᾧ τὸ μὲν κείμενον φέρει, Χαλεπήρες, τὸ δὲ παρὰ τὸ κείμενον τῆς σελίδος λευκὸν, Χαλεπηρές. Οὔτε γὰρ τὸ παροξύτονον ὀρθὸν, οὔτε τὸ ἐν ταῖς πρὸ ἐμοῦ ἐκδόσεσι προπερισπωμένως γραφόμενον Χαλεπῆρες. — Στ. 25, Μόνον.] Διέλαθέ με ἡ φερομένη ἐν τῷ ἐμῷ ἀντιγράφῳ ὀρθὴ γραφὴ, Μόνων. — Στ. 27, Οὐδὲν δ' εὐσεμένως.] ΗΔ, ΑΤ, Οὐδὲ δεισυσεμένως.

ΣΕΛΙΔ. 61, στ. 5, Χοάσπην.] ΗΔ (ὧδέ τε κἀν τοῖς ἑξῆς), ΑΤ, Χόασπιν. Οὕτω γὰρ καὶ ἀλλαχοῦ Στράβων (Μέρ. Γ, σελ. 143) ἰσοσυλλάβως κλίνει τοὔνομα τοῦ ποταμοῦ. — Στ. 7, Θαυμάζει.] Ἐκ ΔΓ, ΑΤ, Θαυμάζειν· ἀναφέρεται γὰρ εἰς αὐτὸν τὸν Ἐρατοσθένη. — Στ. 13, Ἀποδιδούς.] Ἐκ ΔΓ, ΑΤ, Ἀποδούς. — Στ. 17, Σχεδὸν τε καί.] Διάγραφε τὸν, Καὶ, σύνδεσμον, λείποντα ἐν πολλοῖς τῶν ἀντιγράφων. — Στ. 24, Πλεῖν κατά.] ΗΔ, ΑΤ, Πλεῖν καὶ κατά.

ΣΕΛΙΔ. 62, στ. 12, Λιβύης.] Εἰ μὴ ἡμάρτηται ἡ γραφὴ, ἀντὶ τοῦ, Λιβυκῆς, ἐκδέχου τὴν σύνταξιν οὕτως, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Τῆς παραλίας τῆς Λιβύης. — Στ. 26, Περὶ τοῦ σχήματος λόγου.] Ἐκ ΔΓ, ΑΤ, Περὶ τοῦ σχήματος ἤδη λόγου.

ΣΕΛΙΔ. 63, στ. 10, Φησὶ ζήτησιν.] Ἐκ ΔΓ, ΑΤ, Φησὶ τὴν ζήτησιν. — Στ. 12, Κόγχων.] Ἐκ ΔΓ, ΑΤ, Κόχλων. Ἔστι δὲ παρὰ τὸ ἀρσενικὸν, Κόγχος· ἴσως μέντοι καὶ περισπωμένως ἔδει γράφειν, Κογχῶν, παρὰ τὴν Κόγχην. Ἐπιθὶ τὸν τοῦ ἐκδοθέντος μοι Ξενοκράτους Πίνακα, λέξ. Κόγχη. — Στ. 17, διά του χάσματος.] ΗΔ ἡ ἐγκλισις (ἵν' ᾖ, διά τινος χάσματος), ΑΤ, Διὰ τοῦ χάσματος. — Στ. 23, Αὐτόν τε ἰδεῖν.] Ἐκ ΔΓ, ΑΤ, Αὐτὸν δὲ εἰδέναι. — Λίθους τε κογχυλιώδεις... τυπώματα.] ΔΓ, Λίθους τε κοχλιώδεις κ. τ. λ. Γραπτέον ἴσως Λίθους τε κογχυλιώδεις καὶ κτενώδεις, καὶ χηραμίδων τυπώματα, ἢ, Λίθους τε κογχυλιώδεις, καὶ κτενῶν καὶ χηραμίδων τυπώματα. — Στ. 25, Ματιηνοῖς.] Ἐκ ΔΓ (κακῶς βαρυνομένης Ματιήνοις), ΑΤ, Ματτιηνοῖς.

ΣΕΛΙΔ. 64, στ. 12, Ἐκεῖνα.] Ἐκ ΔΓ, ΑΤ, Ἐκεῖνο. — Στ. 19,

Τάχα δή.] Ἄμεινον ἂν ἐγράφετο, Τάχα δέ.—Στ. 21, Εἰκάζειν τε τό.] Ἐκ ΔΓ, ΑΤ, Εἰκάζειν τε καὶ τό.

ΣΕΛΙΔ. 65, στ. 3, Καὶ τῆς καλουμένης Μοίριδος λίμνης.] ΗΔ, συνάδουσα τῇ τοῦ Κασωβῶνος, ΑΤ, Καὶ τῆς Ἀλμυρίδος λίμνης· ἐκεῖνος μὲν γὰρ τρέπειν παρῆνει εἰς τὸ, Καὶ τῆς Μοίριδος λίμνης, ἡμῖν δ' ἔδοξε καὶ τὴν μετοχὴν προσθεῖναι, μιμουμένοις παραλλήλου ἑτέρου χωρίου τοῦ Στράβωνος (Μέρ. Γ, σελ. 263). Δι' αὐτὸ δὲ τοῦτο οὐκ ὤκνησα καὶ τὸ προσεχὲς, Αἰγιαλοῖς, προσλαβεῖν.—Στ. 11, Προσφέρειν.] Ἰσ.γρ. Προφέρειν, τουτέστιν ὑπειδίζειν.—Στ. 17, Τὸ ἄλλα.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ ἄρθρου.—Στ. 21, Εἰ γὰρ οὕτω, δεήσει κ. τ. λ.] Διορθοῦν παρῆνει ὁ Κασωβὼν γράφοντας, Εἰ γὰρ μὴ οὕτω, δεήσει, ἕτερος δέ τις, Εἰ γὰρ οὐ, δεήσει· ἵν' ᾖ ὁ νοῦς, Εἰ γὰρ οὐκ ἔστιν αἴτιον τῶν ἐπικλύσεων τοῦθ' (ὅπερ λέγω) τὸ τὰ αὐτὰ ἐδάφη ποτὲ μὲν ἐξαίρεσθαι, ποτὲ δὲ ταπεινοῦσθαι, δεήσει κ. τ. λ. Ἀλλὰ καὶ κατὰ χώραν ἐῶμενον τὸ κείμενον τὸν αὐτὸν ἕξει νοῦν, τῆς ἀναφορᾶς καθ' ἕτερον τρόπον ὑποτιθεμένης. Εἰ γὰρ οὕτω γίνεται, ὡς φησιν ὁ Στράτων, τουτέστιν, Εἰ αἴτιόν ἐστι τῶν ἐπικλύσεων τὸ τὰ μὲν τῶν ἐδαφῶν ὑψηλότερα, τὰ δὲ ταπεινότερα φύσει εἶναι, δεήσει κ. τ. λ.

ΣΕΛΙΔ. 66, στ. 3, Τὸ τὰ αὐτὰ ἐδάφη.] ΗΔ, ΑΤ, Τὰ αὐτὰ τὰ ἐδάφη.—Στ. 5, Ὁ δὲ τοῦτο λαμβάνει.] Ὁ Ἰταλὸς μεταφραστὴς οὕτως ἡρμήνευσεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ὁ δὴ οὗτος ὑπολαμβάνει, il che egli s' imaginò. Ἴσως ἡ ἀρχαία γραφὴ ἦν, Ὁ δὲ τοῦθ' ὑπολαμβάνει.—Στ. 19, Ἐῶ.] Ἐκ ΔΓ, ΑΤ, Ἐῶμεν.—Στ. 25, Λίμνην μείζω.] Ἐκ ΔΓ, ΑΤ, Λίμνην καὶ μείζω.

ΣΕΛΙΔ. 67, στ. 4, Εἰ γὰρ τοῦτο.] ΗΔ, ΑΤ, Εἰ γὰρ καὶ τοῦτο.—Στ. 7, Ταῦτα δὲ δεῖ μεταφέρειν.] Προσέθηκα τὸ, Δεῖ, ἐξ ΕΔ· ἔτρεψα δὲ καὶ τὸ Ταὐτά, εἰς τὸ Ταῦτα, ὅπερ ἡρμήνευσαν καὶ οἱ Λατῖνοι μεταφραταί.—Στ. 13, Ἐπανυξομένην δ' ἀεὶ καὶ μᾶλλον.] Ἐξ ΕΔ ἡ προσθήκη τοῦ πρώτου συνδέσμου.—Στ. 14, Ὑπ' αὐτῆς.] Παρέλιπε τὰς δύο ταύτας λέξεις ὁ ἀρχαῖος μεταφραστὴς, εἴτ' ἀντιγράφοις ἐντυχὼν οὐκ ἔχουσιν, εἴτε περιττὰς ἡγησάμενος.—Στ. 16, Ὅλως τὸ τοῖς.] ΗΔ, ΑΤ, Ὅλως, οὔτε τοῖς.

ΣΕΛΙΔ. 68, στ. 10, Καταφερομένην.] ΗΔ, ΑΤ, Κάτω φερομένην.—Στ. 15, Κυμάτωσιν.] Μῶν ἐγέγραπτο, Κυματωγήν;—Στ. 17, Κἂν γαληνότατον ᾖ, ἐπιφερόμενον κ. τ. λ.] Τυπογράφων ἁμαρτία ὑπέρκειται μετὰ τὸ, Γαληνότατον. Ὁ δὲ Κασωβὼν παρῆνει

γράφειν οὐκ ἀπιθάνως, Ὁ, κἂν γαληνότατον ᾖ, ἐπιφερόμενον, ὥσπερ ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστής.—Στ. 20, Πολλὰν δέ.] Ἐκ τῆς Ἰλιάδ. ι, 7.—Στ. 22, Οὐδὲν γάρ.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ γάρ.—Στ. 24, Τὴν κίνησιν... αὐτῇ.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Κίνησιν... αὐτῷ. Ὁ νοῦς, Συγκινούμενον τὸ κῦμα αὐτῇ τῇ θαλάττῃ τὴν ὡς ἂν ἰδίαν κίνησιν αὐτῆς.—Στ. 25, Ἀμφὶ δέ τ' ἄκρας.] Ἐκ τῆς Ἰλιάδ. δ', 425.—Στ. 28, Ἠϊόνες.] Ἐκ τῆς Ἰλιάδι ρ', 265.

ΣΕΛΙΔ. 69, στ. 2, Ἡ δ' ἀναχώρησις.] Ἐξ ΕΔ, ΑΤ, Ἤ τ' ἀναχώρησις.—Στ. 3, Ἢ τὸ κουφότατον, φελλόν.] Ὑπέςιξα πρὸ τοῦ, Φελλὸν, ἵν' εἴη ἡ συνάρτησις, Ἢ φελλὸν, ὅπερ ἐςὶ κουφότατον. Ἀλλ' ἴτως ἐγέγραπτο ἀρσενικῶς, Ἢ τὸν κουφότατον φελλόν.—Στ. 4, Εἰς γῆν ἀναβληθῆναι.] Οὐκ ἀπηλλοτρίωται ὑποψίας τὸ χωρίον. Ἴσως ἦν, Ἐκ γῆς ἀναληφθῆναι, ἢ, Εἰς γῆν ἐκβληθὲν ἀναληφθῆναι.—Οὐδ' ἐκ τῶν πλησίον.] ΗΔ, ΑΤ, Οὕτω δὲ καὶ τῶν πλησίον, ἀνθ' οὗ, ἐξ ΕΔ ἔγραψεν ὁ Γερμανὸς ἐκδότης, Οὔτε δ' ἐκ τῶν πλησίον. — Στ. 6, Τὴν χοῦν.] Οὕτω καὶ ἀνωτέρω (σελ. 68) θηλυκῶς, Τὴν χοῦν, ἢ ἰδιάζον τοῦτο τῷ Στράβωνι, καθάπερ ἔδοξε τῷ γράψαντι τὰς Χρησομαθείας, ἢ γραφικῶς ἡμαρτημένον.—Στ. 30, Καὶ μαθηματικός.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν, ἀνθ' ἧς προείλετο διορθώσεως τοῦ Κασωβῶνος ὁ Γερμανὸς ἐκδότης, Καίπερ μαθηματικός· ταὐτὸ γὰρ ἐνθάδε γε δύνανται ὁ Καὶ τῷ Καίπερ.

ΣΕΛΙΔ. 70, στ. 7, Οὐδ' ἐν τοῖς σύνεγγυς.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ τοῖς σύνεγγυς.— Στ. 8, Καίτοι τῶν μαθηματικῶν.] ΔΓ, Καὶ τῶν μαθηματικῶν : Ὡς καὶ τῶν μαθηματικῶν : Ὡς τῶν μαθηματικῶν. Οὐδεμίκ δὲ τούτων προέχει τῆς τοῦ κειμένου, Καίτοι τῶν μαθηματικῶν.—Στ. 14, Διακόψειε.] ΗΔ, ΑΤ, Διακόψει.—Στ. 20, Καὶ, καθάπερ τὸν Ὠκεανόν.] ΗΔ ἡ προσθήκη τοῦ συνδέσμου. — Στ. 22, Τῇ μὲν οὖν πλημμυρίδι ὁμολογεῖν.] ΗΔ, ΑΤ, Τὴν μὲν οὖν πλημμυρίδα δεῖ ὁμολογεῖν. — Τὸν ἐκ τοῦ... καταφερόμενον.] Ἐκ ΔΓ, ΑΤ, Τὴν ἐκ τοῦ... καταφερομένην. Φέρεται γὰρ πρὸς τὸ, Ῥοῦν.—Στ. 28, Τῇ δὲ ἀμπώτει.] ΗΔ, ΑΤ, Τῇ τε ἀμπώτει. Ἀντιδίςαλται γὰρ πρὸς τὸ ἀνωτέρω, Τῇ μὲν οὖν πλημμυρίδι.—Στ. 29, Ἐναντίον, ὃν Ἐξιόντα.] ΗΔ, ΑΤ, Ἐναντίον Ἐξιόντα.

ΣΕΛΙΔ. 71, στ. 4, Ἐχόντων... φυσικώτερον λόγον, κατὰ τὴν

νῦν ὑπόθεσιν τοσοῦτον εἰπεῖν ἀπόχρη.] Οὕτως ἔχεται καὶ γέγραπται παρ' ἅπασιν, ὥςτε τὸ, Κατὰ τὴν νῦν ὑπόθεσιν, πρὸς τὸ, Ἀπόχρη, συνηρτῆσθαι. Μόνος ὁ πρῶτος μεταφράσας εἰς τὴν Λατινίδα φωνὴν τὸν Στράβωνα, συνῆψε πρὸς τὸ, Φυσικώτερον· τοῦτο δ' ἐπεὶ οὐκ ἔχει ὀρθῶς, μὴ μεσολαβήσαντος τοῦ διαζευκτικοῦ μορίου, γράφε καὶ σίζε τὸ χωρίον, Ἐχόντων... φυσικώτερον ἢ κατὰ τὴν νῦν ὑπόθεσιν, τοσοῦτον εἰπεῖν ἀπόχρη.—Στ. 6, Οὔθ' εἷς.] ΗΔ, ΑΤ, Οὐδὲ εἷς.—Στ. 20, Οὐχ ὅτι παλιρροούντας κ. τ. λ.] Λάμβανε ἀπὸ κοινοῦ τὸ, Φαίη ἄν τις.—Στ. 25, Ποιεῖται, καὶ τοιαύτην λαμβάνει τὴν ἐπιφάνειαν, οἵαν ὁ Ἀρχιμήδης φησίν.] Τὸ ἐν πολλοῖς ἀντιγράφοις ἀπαρεμφατικῶς φερόμενον, Ποιεῖσθαι καὶ λαμβάνειν, ὑπονοεῖν παρέχει μήποθ' ἡ ἀρχαία γραφὴ ἦν δίχα τοῦ, Οἵαν, οὕτως, Ποιεῖσθαι καὶ λαμβάνειν τοιαύτην ἐπιφάνειαν ὁ Ἀρχιμήδης φησίν.—Στ. 29, Πάντα τὸν τόπον.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.—Καθ' ἕκαστα τεναγίζειν.] ΗΔ, ΑΤ, Καθ' ἕκαστά τε τεναγίζειν.—Στ. 30, Συνενδούσης.] ΗΔ, ΑΤ, Συνελθούσης. Ἴδε ἀνωτέρω (σελ. 65), ὅπου περὶ τῶν αὐτῶν τούτων τῶν περὶ τὸ Κάσιον τεναγῶν φησὶν, « Ἐνδούσης δὲ τῆς θαλάττης ἀνακαλυφθῆναι », καὶ μικρὸν ὑποβάς, « Συνεξαίρειν, ἢ συνενδιδόναι τὸ πέλαγος ».

ΣΕΛΙΔ. 72, στ. 5, Δέχομαι τό.] ΗΔ, ΑΤ, Δέχομαι, καὶ τό.—Στ. 12, Συμμεθίζα.] ΗΔ, ΑΤ, Συμμεθιζᾷ. ΔΓ, Συμμεθιζάναι: Συμμεθίζησι.—Στ. 19, Φήσει.] ΗΔ, ΑΤ, Φησίν. Ὁ δὲ Κασωβὼν παρήνει γράφειν, Φήσειεν, ὅπερ ἐςὶ σόλοικον, μὴ προστιθεμένου καὶ τοῦ συνητικοῦ, Φήσειεν ἄν.—Στ. 25, Πρὸς αὐτήν.] ΗΔ, ΑΤ, Πρὸς αὐτόν.

ΣΕΛΙΔ. 73, στ. 5, Ὑπὸ Κυρηναίων.] ΗΔ, ΑΤ, Ἐπὶ Κυρηναίων.—Στ. 17, Τόπων.] Ἐκ ΔΓ προσέθεικα τὴν λέξιν.—Στ. 28, Ἃς ἔφαμεν.] ΗΔ (ἴσως οὐκ ἀναγκαία), ΑΤ, Οἷας ἔφαμεν.

ΣΕΛΙΔ. 74, στ. 1, Καὶ Πιθηκούσσας.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἐπὶ Πιθηκούσας.—Στ. 4, Ἔκπληξιν. Νυνὶ δὲ ἄληθες.] Ἀποκατέςησα τὴν ὀρθὴν γραφὴν, τὸ μὲν ἐκ τῆς Κασωβωνικῆς ἐκδόσεως, τὸ δὲ ἐξ ΕΔ, ΑΤ, Ἔκπληξιν. Εἰ δὲ τὸ ἀληθές.—Στ. 6, Λέγοι.] Ἐκ ΔΓ, ΑΤ, Λέγει.—Στ. 7, Κυρηναίας.] Ἰσ.γρ. Καρίας. Ἕτεροι δ' ὑπενόησαν γραπτέον εἶναι, Κυνουρίας.—Στ. 12, Συντεθειμένην.] Ἐκ ΔΓ, ΑΤ, Καὶ συντεθειμένην.—Στ. 14, Θαλαττοκρατοῦντες ἔτι, προσπλεῦσαι.] ΗΔ, ΑΤ, Θαλαττοκρατοῦντες ἐπιπροσπλεῦσαι.—Στ. 24, Κατὰ μέρη.] ΗΔ, ΑΤ, Κατὰ τὰ μέρη,

Ἑτέρα ΔΓ, Καὶ τὰ μέρη.—Στ. 25, Πηλοῦ διαπύρου.] Τοῦ μιᾷ λέξει Γαλλιστὶ καλουμένου Lave. — Στ. 30, Κρουνώ.] Ἐκ τῆς Ἰλιάδ. χ', 147.

ΣΕΛΙΔ. 75, στ. 5, Ἐκλειψιν.] Ἐκ ΔΓ, ΑΤ, Ἐκθλιψιν. Παράβαλε τούτοις ἅπερ ἐν ἄλλοις (Μέρ. Β, σελ. 469) εἴρηκε Στράβων. — Στ. 19, Τῇ ἐντός.] Οὕτως τὸ ἡμὸν ἀντίγραφον ἐκ διορθώσεως, ΑΤ, Τῆς ἐντός.—Στ. 23, Ἄλλως.] Ἐκ ΔΓ, ΑΤ, Ἄλλων. — Στ. 26, Ἡ Λευκάς.] Ἐκ ΔΓ, ΑΤ, Ὁ Λευκάς.—Στ. 28, Φασι.] Ἐκ ΔΓ, ΑΤ, Φησι.—Στ. 29, Οἷος Νήρικον.] Ἐκ τῆς Ὀδυσσ. ω, 377.

ΣΕΛΙΔ. 76, στ. 4, Λογαίου λίθου, ὃν καλεῖ ἐκλεκτόν.] ΔΓ, Λογαίου λίθου, ὃν καλεῖ τὸν ἐκλεκτὸν, μετὰ τοῦ ἄρθρου· ὅπερ ὑπονοεῖν παρέχει μήποτε ἡ γνησία γραφὴ ἦν, Λογαίου λίθου, οἷον καλεῖ τὸν ἐκλεκτόν. Μακρῷ γὰρ πιθανώτερον τῷ σπανίῳ τοῦ Λογαίου ὀνόματι προσαγορεῦσαι τὸν Ἐκλεκτὸν, ἢ τῷ καθημαξευμένῳ, Ἐκλεκτὸν, ἐκφράσαι τὸν Λογαῖον. Εἰσὶ δὲ Λογαῖοι λίθοι, οὓς ὁ Θουκυδίδης (δ'. 4) Λογάδην λίθους καλεῖ, τουτέστι μὴ λελατομημένους, ἀλλ' οὕτως, ὥσπερ ἔχουσι φύσεως, ἔνθεν κἀκεῖθεν συλλεγομένους καὶ ἀλλήλοις συναρμοζομένους, οὓς οἱ Ῥωμαῖοι Cæmentum, οἱ δὲ Γάλλοι moellon καλοῦσι. Παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσιν Ἐγχόρηγοι ἐκαλοῦντο οἱ τοιοῦτοι λίθοι, οὓς ὁ Σαλμάσιος (Plinian. exercitat. *pag.* 870) παρὰ τὸ ἐν χοροῦ τάξει τίθεσθαι ἐτυμολογεῖ, οὐ πάνυ πιθανὰ ἔμοιγε λέγων.—Στ. 6, Περὶ Μεθώνην δὲ τὴν ἐν τῷ... κόλπῳ [πῦρ] ἑπτὰ σταδίων κ. τ. λ.] Προσέθηκα τὴν λέξιν, Πῦρ, οὗ ἄνευ ἀσυναρτήτως ἔχει ὁ λόγος· δηλοῖ δὲ καὶ τὰ ἑπόμενα μετοχικὰ οὐδέτερα, Ἀπρόσιτον, Ἐκλάμπον, Θερμαῖνον, τὴν χρείαν τῆς λέξεως. Τινὰ τῶν ἀντιγράφων φέρει, Ἡ περὶ Μεθώνην δὲ ΤΗΝ ἐν τῷ, ὃ καλῶς ἂν ἴσως εἶχεν, εἰ τὸ προπαρατελευταῖον ἄρθρον ἐτρίπετο εἰς τὸ Γῆ (ὅπερ ἐξέφρασαν οἱ ἀρχαῖοι μεταφραταί, ὅ τε Λατῖνος καὶ ὁ Ἰταλὸς), καὶ τὰ ἐχόμενα μετοχικά, τὸ μὲν πρῶτον ἐκ διορθώσεως, εἰς τὸ Ἀπροσίτου, τὰ λοιπὰ δὲ ἐκ ΔΓ, εἰς τὸ, Ἐκλάμποντος, Θερμαίνοντος.— Στ. 7, Ἑρμιονικῷ.] Ὤφειλεν εἶναι, Σαρωνικῷ, ὥσπερ αὐτὸς ἀλλαχοῦ (Μέρ. Β, σελ. 127) τὴν Μεθώνην, ἣν ἐκεῖ Μέθανα (πληθυντικῶς καὶ οὐδετέρως) καλεῖ, μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος τῶν ἐν τῷ Σαρωνικῷ κόλπῳ πόλεων, κεῖσθαί φησιν. Ἔχει μέντοι οὐ γραφέων τὸ παράδραμα, ἀλλ' αὐτοῦ τοῦ Στράβωνος μνημονικὸν ἁμάρτημα.— Στ. 9, Ὑπὸ τοῦ θερμοῦ καὶ τῆς θειώδους ὁσμῆς.] ΔΓ,

Ὑπὸ τῆς τοῦ θερμοῦ καὶ θειώδους ὀσμῆς: Ὑπὸ τοῦ θερμοῦ τῆς θειώδους ὀσμῆς: Ὑπὸ τοῦ θερμοῦ καὶ θειώδους ὀσμῆς· ἐξ ὧν ἄν τις ὑπονοήσειε γιγράφθαι πάλαι, Ὑπὸ τῆς τοῦ θερμοῦ θειώδους ὀσμῆς.—Εὐῶδες.] Ἢ διαγραπτέον τὴν λέξιν, ἢ τρεπτέον εἰς τὸ Φλογῶδες, ἢ Πυρῶδες. Ἀλλότριον γὰρ ἐστιν ἐνθάδε τὸ Εὐῶδες· ὃ δ' εἰς τὴν ἐκείνου χώραν τάξαι χρῆναί φημι, ἔστι καὶ ἐκ παραπλησίων ἱστοριῶν πιστώσασθαι. Αὐτίκα Ἀριστοτέλης, ἢ ὁστισδήποτ' ἦν ὁ Περὶ θαυμασίων ἀκουσμάτων (κεφ. 35) πραγματευσάμενος, ταῦτα λέγει περὶ τῶν ἀναδιδομένων ἐκ γῆς πυρῶν· « Λέγεται δὲ καὶ τὰ ἔξω Στηλῶν Ἡρακλείων καίεσθαι, τὰ μὲν διὰ παντὸς, τὰ δὲ, νύκτωρ μόνον... καὶ τὸ ἐν τῇ Λιπάρᾳ δὲ φανερὸν καὶ ΦΛΟΓΩΔΕΣ, οὐ μὴν ἡμέρας, ἀλλὰ νυκτὸς μόνον ».—Στ. 13, Ἄρνη.] Ἰδ. τὰ σημειωθέντα μοι περὶ Ἄρνης ἐν τοῖς εἰς τὸν Πλούταρχον Προλεγομένοις, Μέρ. Α, σελ. ξϛ'.—Στ. 15, Οἵ τε πολυςάφυλον.] Ἐκ τῆς Ἰλιάδ. β', 507.—Στ. 17, Αἱ δὲ καὶ Τρηρῶν.] Ἐξ ΕΔ, ΑΤ, Οἱ δὲ καὶ Τρηρῶν.—Στ. 20, Φησί.] Γράφε, Φασί, καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων. — Στ. 22, Ἡρόδοτος.] Εἰς τοῦτο τρέψαι ἐτόλμησα τὸ καὶ ἐν τοῖς ἀντιγράφοις καὶ ἐν τοῖς διὰ τύπων ἐκδεδομένοις, Ἡσίοδος. Οὗτος μὲν γὰρ οὐδαμοῦ τῶν γε ἐγνωσμένων ἡμῖν αὐτοῦ ποιημάτων τῶν Ἐχινάδων μέμνηται· Ἡρόδοτος δὲ (β', 10) τὰς ἡμίσειας τῶν Ἐχινάδων ἐφ' ἑαυτοῦ ἐξηπειρωθῆναι ἤδη φησὶν ὑπὸ τοῦ Ἀχελώου.—Στ. 23, Νησίζουσαι.] Ἕν τι τῶν ἀντιγράφων, Νησιάζουσαι, ὡς καὶ ἀνωτέρω (σελ. 75) ἐσχημάτισαι ἡ λέξις παρὰ τὸ Νησίον· τὸ δὲ Νησίζουσαι παρὰ τὴν Νῆσον.— Στ. 25, Ἔτι δέ τις νῆσος.] Ἐκ τῆς Ὀδυσσ. δ', 844.—Στ. 28, Ἀγκυροβόλιον.] Τόπον ἐπιτήδειον εἰς τὸ βαλεῖν ἄγκυραν, ὃν κατὰ λέξιν οἱ Γάλλοι Ancrage λέγουσι.—Στ. 29, Οἷόν φησιν Ὅμηρος.] Ἐν τῇ Ὀδυσσείᾳ (ν', 103)·

> Ἐγχόθι δ' αὐτῆς ἄντρον ἠπήρατον, ἠερόειδές,
> Ἱρὸν Νυμφάων, αἳ νηϊάδες καλέονται.

ΣΕΛΙΔ. 77, στ. 3, Τῆς γὰρ Λέσβου.] Ἐξ ΕΔ, ΑΤ, Τῆς Λέσβου.—Στ. 9, Γεγόνασι γὰρ καί.] ΗΔ, ΑΤ, Γεγόνασι δὲ καί. —Περὶ ταῦτα.] Περὶ τὴν Ὄσσαν καὶ τὸν Ὄλυμπον τὰ ὄρη δηλονότι. — Στ. 11, Ῥαγάς.] Ἐξ ΕΔ, ΑΤ, Ῥαγάδας. Γράφε δὲ, Ῥάγας, καθάπερ ἀλλαχοῦ (Μέρ. Β, σελ. 336) ὀνομάζει τὴν πόλιν τῆς Μηδίας ταύτην. — Στ. 14, Σατυρικῇ.] Ἐξ ΕΔ, ΑΤ, Σατυ-

ροῖς. ΔΓ, ἐκ μὲν τοῦ ἐμοῦ ἀντιγράφου Σατύρεις· ἐξ ἑτέρων δέ, Σατύροις.—Στ. 16, Βοιωτίας κ. τ. λ.] Γραπτέον ἴσως, ὡς διώρθου πάλαι τῶν ἐπισήμων τις κριτικῶν·

Βοιωτίας ἐχώρισ', ἀκτὴν ἐκτεμὼν
Προβλῆτα πορθμῷ.

—Στ. 27, Λαμιεῦσι.] ΗΔ, ΑΤ, Λαριεῦσι. Λαριεῖς μὲν γὰρ οὐδαμοῦ γῆς εἰσί· Λαμιεῖς δὲ λέγονται οἱ τῆς Λαμίας, Θεσσαλικῆς πόλεως, οἰκήτορες.—Στ. 30, Σκάρφην.] Πιθανὸν, ὅτι Σκάρφειαν ἐγέγραπτο πάλαι· πλὴν εἰ μή τις αὐτὸν ὑπολάβοι τὸν Στράβωνα, ἣν μικρὸν ἀνωτέρω Σκάρφειαν εἰρηκεν, ἐνθάδε Σκάρφην ὀνομάσαι, ὡς οὐδὲν διαφέρον οὕτως ἢ ἐκείνως καλέσαι, κατὰ τὸ Πηνελόπη καὶ Πηνελόπεια. Μνημονεύει δὲ τῆς Σκάρφης ὁ Ποιητὴς ἐν τῇ Βοιωτίᾳ (Ἰλιάδ. β', 532)·

Βῆσάν τε, ΣΚΑΡΦΗΝ τε καὶ Αὐγειὰς ἐρατεινάς,
Τάρφην τε, Θρόνιόν τε, Βοαγρίου ἀμφὶ ῥέεθρα.

ΣΕΛΙΔ. 78, στ. 6, Οἶον.] Ἐψίλωσαν τοῦθ' οἱ πρὸ ἡμῶν, καὶ ὄνομα τόπου εἰκότως ὑπέλαβον εἶναι, καίπερ παρ' οὐδενὶ ἑτέρῳ τῶν ἱστορικῶν ἢ γεωγράφων μνημονευόμενον. Ἴσως γραπτέον Οἰνεῶνος, ἵν' ᾖ ἡ συνάρτησις, Τὸ δὲ ὑπερκείμενον τοῦ Οἰνεῶνος φρούριον. Ἦν δ' ὁ Οἰνεὼν τῆς Λοκρίδος λιμήν.—Στ. 8, Ἅλπωνον.] ΗΔ, ΑΤ, Ἄλγωνον. Ἴδε Στέφανον τὸν Βυζάντιον (λέξ. Ἅλπωνος).—Στ. 9, Ἐλλιμενίων.] Ἐλλιμένιόν ἐστι τὸ καταβαλλόμενον τοῖς ἐπὶ τῶν εἰσαγομένων τελώναις ὑπὸ τῶν καταπλεόντων τέλος· ἐνθάδε μέντοι τὰ Ἐλλιμένια ἀγῶνος ἔοικεν ὄνομα εἶναι, παραπλησίου ταῖς περὶ Σούνιον τῆς Ἀττικῆς γινομέναις τριηρῶν ἁμίλλαις, (περὶ ὧν ἔπιθι τὸν Δυσίαν ἐν ἀρχῇ τοῦ ἐπιγραφομένου Ἀπολογία δωροδοκίας), καὶ τῷ νῦν παρὰ τοῖς Ἑνετοῖς πλοίων ἀγῶνι τῷ καλουμένῳ Regatta.—Στ. 14, Ἐκ τῶν νεωρίων ἐξαρθεῖσαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ τῶν νεωρίδων ἐξαιρεθεῖσαν.—Στ. 15, Μεταναςάσεων.] Ἐκ ΔΓ, ΑΤ, Μεταςάσεων.—Στ. 18, Ἀθαμβεῖ, τὸ ἀτάραχον καὶ ἀνέκπληκτον.] Οὕτω πάλαι διορθώσας ΑΤ, Ἀθαμβεῖ καὶ ἀταράχῳ καὶ ἀνεκπλήκτῳ, εὑρίσκω νῦν ἐν ΔΓ, Ἀθαμβεῖ, ἀτάραχον καὶ τὸ ἀνέκπληκτον.—Στ. 20, Οὓς καὶ ὁ Ἀράξης.] Ἐκ διορθώσεως τοῦ Κασωβῶνος ἡ γραφὴ, ἣν οἱ πρὸ ἐμοῦ ἅσμενοι ἀπεδέξαντο, κἀμὲ ἀποδιχθῆναι ἔπεισαν, ΑΤ, Οὓς Χοαράξης· Ἀλλ' ὀψέποτε συνεὶς τὸ γραφικὸν

ἁμάρτημα, εὕρηκα τὴν γνησίαν γραφὴν ἐν ταῖς ὑπὸ τοῦ Ἄγγλου ἐκδότου παραβληθεῖσιν ἀντιγράφοις, Οὓς οὐχ ὁ Ἀράξης. Γράφε τοίνυν μηδὲν μελλήσας, περιελὼν καὶ ὃ προσέθηκα παρενθέσεως σημεῖον, Οὓς οὐχ ὁ Ἀράξης, ὥς φησιν Ἀπολλόδωρος, ἀπὸ τῆς Ἀρμενίας ὁρίζει, Κῦρος δὲ μᾶλλον καὶ τὰ ὄρη τὰ Μοσχικά. Παραπλησίᾳ τῆς ἀρνήσεως προσθήκῃ διωρθωσάμην ἕτερον χωρίον τοῦ Στράβωνος (Μέρ. Γ, σελ. 214).

ΣΕΛΙΔ. 79, στ. 5, Τρῆρας.] Ἐκ ΔΓ, ΑΤ, Τρήρωνας.—Στ. 8, Αἷμα ταύρου.] Ἐκ ΔΓ, ΑΤ, Αἷμά τε ταύρου.—Στ. 18, Γελοίαν.] Ἐξ ΕΔ, ΑΤ, Λέγοι ἄν.—Στ. 22, Ἀλλὰ κατωτέρω.] Ἐκ ΔΓ, ΑΤ, Ἀλλὰ καὶ κατωτέρω.

ΣΕΛΙΔ. 80, στ. 4, Λέγοντας, τὰ μὲν ἐν μύθου κ. τ. λ.] ΗΔ, ΑΤ, Λέγοντας· τὰ μὲν γὰρ ἐν μύθου. Οὔθ' αἱ Λατινικαὶ δὲ μεταφράσεις, οὔθ' ἡ Ἰταλικὴ, ἐξέφρασαν τὸν εἰς οὐδὲν χρήσιμον ὧδε αἰτιολογικόν.—Στ. 6, Ἐπισκοπεῖν.] Ἐκ ΔΓ, ΑΤ, Σκοπεῖν.—Στ. 11, Εἰσάγειν.] ΗΔ, ΑΤ, Ἄγειν.—Στ. 14, Οὐχ ὁμολογοῦσιν οἱ ὕςερον, οὐδ' ἐπαινοῦσι.] Ἐξ ΕΔ, ΑΤ, Οὐχ ὁμολογοῦσιν. Οἱ ὕςερον δ' ἐπαινοῦσι.—Στ. 19, Διὰ πλειόνων δεικνύς.] Ἐκ ΔΓ, ΑΤ, Διὰ πλειόνων καὶ δεικνύς.

ΣΕΛΙΔ. 81, στ. 3, Κινναμωμοφόρον.] Ἐκ ΔΓ, ΑΤ, Κιναμωμοφόρον. Εἰ γὰρ καὶ ἄβηλος, ὡς ξενικοῦ ὀνόματος, ἡ παραγωγὴ τοῦ Κινναμώμου, ἐν πλείονί ἐςι χρήσει ἡ διὰ διπλοῦ ν γραφή. Ἔοικε μέντοι ἀπὸ τῶν Σινῶν ἢ Κινῶν παρῆχθαι, ὥς φησιν ὁ Σαλμάσιος, ὡρμημένος ἀπὸ τοῦ Ἀραβικοῦ ὀνόματος, Δαρσινὶ, τουτέςι, Ξύλον Σινικὸν, ᾧ ἐκεῖνοι τὸ Κιννάμωμον προσαγορεύουσιν. Ἡρόδοτος δέ φησιν (γ', 111) ἀπὸ Φοινίκων τοὺς Ἕλληνας μαθεῖν τὸ ὄνομα.—Στ. 8, Καὶ Ἱέρνην.] Λείπει ὁ, Καὶ, σύνδεσμος παρ' ἅπασι πλὴν τῆς τοῦ Γερμανοῦ ἐκδόσεως, ὃς οὐκ ἐδήλωσεν εἴτ' ἐξ ἰδίας διορθώτεως, εἴτ' ἐξ ἀντιγράφου παρειλημφὼς προσέθηκεν αὐτόν.—Στ. 30, Εὔροις.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ Λατίνῳ μεταφραςῇ) ΑΤ, Εὕροι.

ΣΕΛΙΔ. 82, στ. 2, Λέγοιτο τό.] Ἐκ ΔΓ, ΑΤ, Λέγοι τό.—Στ. 7, Καὶ οἱ ὕςερον καὶ τῶν ΑΛΛΩΝ οἱ χαριέςατοι.] Ἴσ. ἐγέγραπτο, ΠΑΛΑΙΩΝ.—Στ. 11, Πλέον ἢ δεῖ.] ΗΔ, ΑΤ, Πλέον ἤδη.—Στ. 16, Μυρίων τετρακισχιλίων.] Ἐκ ΔΓ, ΑΤ, Μυρίων τε καὶ τετρακισχιλίων.—Στ. 25, Κάβλιον.] Ἐκ ΔΓ, ΑΤ, Κάλβιον.

ΣΕΛΙΔ. 83, στ. 16, Ὁ λόγος περὶ μὲν τῆς.] ΗΔ, ΑΤ, Ὁ λόγος τὰ μὲν περὶ τῆς. ΔΓ, Ὁ λόγος τὰ τῆς μὲν περὶ : Ὁ λόγος

τὰ περὶ μὲν τῆς.—Στ. 18, Περὶ δὲ τῆς οἰκουμένης (καλοῦμεν γάρ...)· ἐνδέχεται *δὲ* ἐν τῇ αὐτῇ κ. τ. λ.] Εἰ προαιρῇ σώζειν ὃν ἀσερίσκους διείληφα σύνδεσμον, βουλήσῃ τυχὸν γράφειν καὶ σίζειν· Περὶ δὲ τῆς οἰκουμένης, καλοῦμεν μὲν... ἐνδέχεται δὲ ἐν τῇ αὐτῇ κ. τ. λ. — Στ. 20, Πλείους, καὶ μάλιστα.] ΗΔ, ΑΤ, Πλείους, εἰ καὶ μάλιστα. ΔΓ, Πλείους εἶη καὶ μάλιστα: Πλείους εἰ ἡ καὶ μάλιστα: Πλείους εἰ ᾖ καὶ μάλιστα.—Στ. 30, Τοῦ Ἐκρήγματος, καὶ χερρονήσους.] ΗΔ, ΑΤ, Τοῦ Ἐκρήγματος· τοὺς δὲ χερρονήσους. πλὴν εἰ μή τις προαιροῖτο γράφειν, Τοῦ Ἐκρήγματος· τούτους δὲ χερρονήσους.

ΣΕΛΙΔ. 84, στ. 1, Εἰς πραγματικὸν καταφρέφοι.] Τὸ μὲν ἐξ ΗΔ, τὸ δὲ ἐκ ΔΓ, ΑΤ, Εἰς πράγματα καταφρέφοιτο. ΔΓ, Εἰς πράγματα καταφρέφοι. Ὁ νοῦς, Πῶς ἂν εἰς ἀξιόλογόν τι καὶ βιωφελὲς ἡ τοιαύτη ζήτησις τελευτῴη.—Στ. 2, Ἀλλὰ *μόνον* ἔριν διαιτώντων μᾶλλον, κατὰ Δημόκριτον, εἶναι.] Τὸ μὲν Μόνον, εἰ μὴ βούλοιο διαγράφειν, τρέπε εἰς τὸ, Λόγον, κτητικῶς πρὸς τὸ Διαιτώντων, καὶ ἀντιδιεσταλμένως πρὸς τὸ Πραγματικὸν, Τὸ δὲ, Ἔριν διαιτώντων, καλῶς μὲν ἔχειν δοκεῖ, διὰ τὸ καὶ κατωτέρω λεγόμενον, Διαιτῶν τὴν ἔριν μὴ κατὰ Δημόκριτον· οὐ μέντοι παντάπασιν ἀπήλλακται ὑποψίας. Διὸ καί τινες τῶν κριτικῶν τρέπειν δεῖν ᾠήθησαν τοῦτο μὲν, εἰς τὸ Ἔριν διαττώντων, τὸ δ' ἑξῆς εἰς τὸ, Διαττῶν τὴν ἔριν (ἴδ. τὴν Ἀγγλικὴν ἐφημερίδα ἐπιγραφομένην, Mus. critic. or Cambridge Classic. researches, n° 11, October, 1813, *pag.* 255). Ἀλλὰ τὸ Διαττᾶν, ὅπερ ἡ συνήθεια, Κοσκινίζειν, λέγει, οὐκ οἶδ' ὅπως ἂν ἁρμόσειε τοῖς ἐνθάδε λεγομένοις, καίπερ χαίροντος μάλιστα Δημοκρίτου μεταφοραῖς καὶ τρόποις ἐξηλλαγμένοις τῶν ἄλλων. Ἐμοὶ μὲν οὖν ὀνόματος ἐνταῦθα χρῄζειν τὸν λόγον δοκεῖ τινος, ὀθλοῦντος τοὺς περὶ μικρῶν ἐρίζοντας, τοὺς λεξειδίων μᾶλλον ἢ πραγμάτων φροντίζοντας· κἂν ἔγραψα Ἐαρρῶν (εἰ μὴ μετὰ τὸ ἑπόμενον, Διαιτῶν τὴν ἔριν, ἐκώλυε) ἀντὶ τῶν δύο λέξεων ΕΡΙΝ ΔΙΑΙΤΩΝΤΩΝ, μίαν μόνην, καὶ ταύτην Δημοκρίτειον, ΕΡΙΔΑΝΤΕΩΝ, ὃ ἐστι φιλονείκων, καὶ περὶ ὄνου σκιᾶς (τὸ λεγόμενον) ἐριζόντων λόγον εἶναι, παρὰ τὸ Ἐριδαίνω, συγγενὲς καὶ συνώνυμον τοῦ Ἐρίζω ῥῆμα. Ὅτι δ' ἐστὶ Δημοκρίτου ἡ λέξις, Ἐριδαντεύς, ἐφ' ἧσπερ ἔφην σημασίας τεταγμένη, μαρτυρήσει Κλήμης ὁ Ἀλεξανδρεύς (Στρωματ. Α, σελ. 279) λέγων περὶ τῶν ματαίαις ἐνασχολουμένων ἐρεύναις· α Διαν βολὰς τοῖς λόγοις ἐξευρίσκειν βιάζονται, ζητήσεις ἐριστικὰς ἐκπορί-

ζοντες,

» ζοντες, λεξειδίων θηράτορες, ζηλωταὶ τεχνυδρίων, ΕΡΙΔΑΝΤΕΕΣ » καὶ ἱμαντελικτέες, ὡς ὁ Ἀβδηρίτης ἐκεῖνός φησιν ». Προσεπιμαρτυρήσει δὲ τῷ Κλήμεντι Πλούταρχος (Συμποσιακ. Α, προβλ. 1), « Τὰς ψυχὰς αἱ μὲν ἐλαφραὶ ζητήσεις ἐμμελῶς καὶ ὠφελίμως κινοῦσιν » ΕΡΙΔΑΝΤΕΩΝ δὲ (κατὰ Δημόκριτον), καὶ ἱμαντελικτέων λό» γους ἀφετέον, οἳ αὐτούς τε κατατείνουσιν ἐν πράγμασι γλίσχροις, » καὶ δυσθεωρήτοις, τούς τε παρατυγχάνοντας ἀνιῶσι ».—Στ. 4, Τούτων.] ΗΔ, ΑΤ, Τοῦτο. ΔΓ, τοῦτον. — Στ. 5, Τοιτί.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο.—Στ. 6, Τοὺς ὅρους δὲ μὴ ἔχειν εἰπεῖν.] Πληρέστερον καὶ σαφέστερον ἂν ἐξέφρασε τὸν νοῦν, εἰ ἔλεγε, Τοὺς ὅρους δὲ τῶν ἠπείρων μὴ ἔχειν εἰπεῖν, ἢ συντομώτερον (ὥσπερ καὶ ἐγέγραπτο ἴσως πάλαι), Τὰς ἠπείρους δὲ μὴ ἔχειν εἰπεῖν.—Στ. 15, Διαιτῶν τὴν ἔριν μὴ κατὰ Δημόκριτον.] Τοῦτο, εἰ ὀρθῶς ἔχοι (ἕτερα γὰρ ἀντίγραφα Διαιτῶντες τὴν κ. τ. λ. φέρουσι), σημήνειεν ἄν, Διακρίνων καὶ ἐρευνῶν τὸ περὶ οὗ ἡ ἔρις, οὐ φιλονεικως, κατὰ τοὺς ὑπὸ Δημοκρίτου ψεγομένους ἐριδαντέας.—Στ. 18, Καὶ ὀλίγην.] Ἐκ ΔΓ, Καὶ τὴν ὀλίγην.—Στ. 20, Ἐπιόντες ὅση ἦν ἱκανὴ ὑπογράψαι κ. τ. λ.] ΗΔ, ΑΤ, Ἐπιόντες ὅσην ἱκανοὶ ἐπιγράψαι. Ἔτι δ' ὁ νοῦς, Ἐπιόντες τοσαύτην χώραν, ὅση ἦν ἱκανὴ δηλῶσαι καὶ ὑπαγορεῦσαι αὐτοῖς τὴν τῆς οἰκουμένης ἐπίνοιαν.—Στ. 23, Προεπινοεῖ.] Ἐκ ΔΓ, ΑΤ, Προσεπινοεῖ.—Στ. 24, Εἰ δ' ἐπινοεῖ μὲν τὴν οἰκουμένην.] ΔΓ, Εἰ δ' ἐπινοεῖ μὲν μὴ τὴν κ. τ. λ. μετὰ τῆς ἀπαγορεύσεως, ἣν προείλετο ὁ πρὸ ἐμοῦ ἐκδότης.—Στ. 25, Ποιεῖται.] Ἐκ ΔΓ, ΑΤ, Ἐποιεῖτο, ὃ καλῶς ἂν εἶχεν, εἰ καὶ ἀνωτέρω, ἀντὶ τοῦ Ἐπινοεῖ, ἐγράφετο, Ἐπενόει. Ἑτέρα ΔΓ, Ποιοῖτο.—Στ. 26, Εἶπε.] Ἰσ. γρ. Εἶποι.—Στ. 28, Τὸ φήσαντα.] Ἐκ ΔΓ, ΑΤ, Τὸν φήσαντα.

ΣΕΛΙΔ. 85, στ. 2, Καταῤῥέφει.] ΗΔ, ΑΤ, Καταῤῥέφον.—Διαχωρίζειν.] Καίπερ οὕτω παρ' ἅπασι γεγραμμένον, μεταμέλει μοι μὴ τρέψαντι εἰς τὸ Διορίζειν. Ὀψὲ γὰρ νῦν συνίημι ὅθεν ἔσχε τὴν γένεσιν τὸ νόθον τοῦτο, Διαχωρίζειν. Ἔν τισι τῶν ἀντιγράφων, ἐν οἷς καὶ τὸ ᾧ κέχρημαι, τοῦ τεμαχίου τούτου, « ΤΟ ΔΙΑΧΩΡΙΖΕΙΝ » τὰς χώρας· ἢ τοῦτο λέγει, ὡς ἐπὶ μὲν τῶν χωρίων, καὶ νὴ Δία τῶν » καθ' ἕκαστα ἐθνῶν πραγματικὸν, ΤΟ ΔΙΟΡΙΖΕΙΝ κ. τ. λ. » λείπουσι, πλὴν τῶν τελευταίων δύο λέξεων, ἅπαντα· ἡ δὲ τοιαύτη παράλειψις ἀποχρώντως δηλοῖ διπλῆν γεγονέναι πάλαι τοῦ πρώτου ἀπαρεμφάτου τὴν γραφὴν, τὴν μὲν ἡμαρτημένην, Διαχωρίζειν, τὴν ὀρθὴν δέ,

Διορίζειν, ἧς ἡ μετὰ τοῦ τελευταίου ταυτότης, πλανήσασα τοὺς ἀντιγραφίας παραλιπεῖν ἐποίησε τὰ ἐν μέσῳ.—Στ. 7, Ὁποτέρου Δ' ἐστὶν ἡ Αἴγυπτος.] Ὄφελον κἀνθάδε περιελεῖν τὸν κακῶς παρ' ἅπασι γραφόμενον σύνδεσμον· συνέχεται γὰρ τοῖς ἀνωτέρω τὸ λεγόμενον, Γένοιτο ἂν ἀμφισβήτησις, ὁποτέρου ἐστὶν ἡ Αἴγυπτος.—Στ. 9, Κατανεύσαντας δὲ τοῦτο.] ΗΔ, ΑΤ (παρ' ἅπασιν ἀδιανοήτου), Κατάνας δέ τες τοῦτο. Ὁ δὲ νοῦς, Συγχωρήσαντας δὲ τὸ περιττὸν εἶναι τὸν διορισμὸν τῶν τριῶν ἠπείρων, Ἀσίας δηλονότι, Εὐρώπης τε καὶ Λιβύης, διὰ τὸ μὴ πολλάκις περὶ τῶν ὁρίων αὐτῶν ἀμφισβητήσεις γίνεσθαι, ὥσπερ καὶ τῶν κατὰ μέρος χωρῶν κ. τ. λ.—Στ. 14, Μηδὲ νήσους.] ΗΔ, ΑΤ, Τὰς μὲν δὴ νήσους.—Στ. 15, Οὐκ ἐπαινέσας... τοὺς Ἀλεξάνδρῳ παρανοοῦντας κ. τ. λ.] Ἀριστοτέλης ἦν ὁ παρηνετικὸς Ἀλεξάνδρῳ, ὥσπερ καὶ Πλούταρχος (Περὶ τῆς Ἀλεξάνδρ. τύχ. ἢ ἀρετ. § 6) λέγει, τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς, τοῖς δὲ βαρβάροις δεσποτικῶς χρῆσθαι. Ἐοίκασι μέντοι κακῶς ἐκλαβεῖν ὅ τε Ἐρατοσθένης καὶ ὁ Πλούταρχος τὴν τοῦ Σταγειρίτου παραίνεσιν· εἰκὸς γὰρ τὸν φιλόσοφον, ἀποτρέψαι βουλόμενον τὸν Ἀλέξανδρον τῆς κατὰ τῶν ὁμοφύλων ἐπιβουλῆς, οὓς, καθάπερ ὁ πατὴρ Φίλιππος, δουλώσασθαι δῆλος ἦν ἐφιέμενος, τοιοῦτόν τε παραινέσαι, ὡς ἐχρῆν μὲν αὐτὸν πᾶσιν ἡγεμονικῶς καὶ μὴ δεσποτικῶς προσφέρεσθαι· εἰ δ' οὖν πάντως δεσπόζειν ἐβούλετο, τῆς γε τῶν Ἑλλήνων αὐτονομίας ὤφειλε φείδεσθαι.—Στ. 22, Πολιτευομένους.] Τὸ ἐμὸν ἀντίγραφον, Πολιτευσαμένους.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΣΕΛΙΔ. 87, στ. 8, Τῆς Ἀττικῆς, μέχρι.] ΗΔ, ἡ περιαίρεσις τοῦ πρὸ τοῦ, Μέχρι, συνδέσμου, Καὶ, ὃν οὐδ' οἱ μεταφράσαι Λατῖνοι ἐξέφρασαν.

ΣΕΛΙΔ. 88, στ. 10, Συνεπισπᾶσθαι.] ΗΔ, ΑΤ, Συνεπισπᾶσθαι. ΔΓ Συνεσπᾶσθαι.—Στ. 11, Γινομένην.] Ἐκ ΔΓ, ΑΤ, Γενομένην.—Στ. 12, Ταύτην.] ΗΔ, ΑΤ, Τοιαύτην.

ΣΕΛΙΔ. 89, στ. 11, Τούτους τε δή.] ΗΔ, ΑΤ, Τούτους γε δή. ΔΓ, Τούτους μὲν δή.—Στ. 13, Παρέντας τοὺς τοσοῦτον ἀντιμαρτυροῦντας αὐτῷ.] Ἐξ ΕΔ, ΑΤ, Παρέντας τοσοῦτον ἐπιμαρτυροῦντας αὐτῷ.—Στ. 22, Τούτῳ.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο.—Στ. 26, Περὶ τὰ ὄρη.] Ἄμεινον ἂν γράφοιτο, Παρὰ τὰ ὄρη.—

Στ. 29, Ὡς καὶ ἐκμαρτυρούμενα.] Ἀστερίσκοις διείληφα τὸν κακῶς εἰσφρήσαντα μεταξὺ σύνδεσμον.

ΣΕΛΙΔ. 90, στ. 5, Οὓς αὐτός.] ΗΔ, ΑΤ, Ὡς αὐτός.

ΣΕΛΙΔ. 91, στ. 10, Παραψελλίζοντες. Ἤδη δὲ καὶ ἡμῖν.] ΗΔ, ΑΤ, Παραψελλίζοντες ἤδη. Καὶ ἡμῖν δ'.—Στ. 17, Ὄφεις τε, βοῦς κ. τ. λ.] ΗΔ, ΑΤ, Ὄφεις τε καὶ βοῦς.—Στ. 21, Σανδρόκοττον.] Ἀνδρόκοττον, φέρουσιν αἱ ἐκδόσεις τε καὶ τὰντίγραφα (καθὰ καὶ παρὰ τῷ Πλουτάρχῳ) μετὰ ΔΓ, Ἀνδρόκοτον. Ἔγραψα, Σανδρόκοττον, ὡς φέρεται παρ' αὐτῷ Στράβωνι τρὶς ἐν τῇ πεντεκαιδεκάτῃ βίβλῳ, παρὰ τῷ Ἀθηναίῳ, καὶ ἄλλοις.—Στ. 23, Τοιαῦτα.] Τοιούτων ψευσμάτων πλήρη.—Στ. 26, Εἰ γάρ ὁ διὰ Ῥόδου κ. τ. λ.] Λείπειν εἴκασαν οἱ πρὸ ἡμῶν τινὰ ὧδε πρὸ τῶν ῥημάτων τούτων, ὥσπερ καὶ κατωτέρω πρὸ τῶν, Ὅ τε ἐξ Ἀμισοῦ, ἢ τοῖς ἀντιγραφεῦσιν ἀβλεπτηθέντα, ἢ τῷ μακρῷ χρόνῳ ἐξίτηλα γεγονότα.

ΣΕΛΙΔ. 92, στ. 5, Καὶ αὐτὸς ὁ Ἱππαρχος.] ΗΔ, ΑΤ, Καὶ ὁ αὐτὸς Ἱππαρχος· μαρτυρεῖ δὲ τῇ διορθώσει καὶ ὁ Λατῖνος μεταφραστὴς· εἴρηκε γάρ, ipse etiam Hipparchus, εἰπὼν ἄν, et idem Hipparchus, εἴπερ ἦν ὀρθὴ ἡ φερομένη γραφή.—Στ. 9, Οὐδ' ἐκεῖνο εὖ λέγει, ἐπειδή.] Αἱ ἐκδόσεις καὶ τὰ ἀντίγραφα φέρουσιν, Οὐδ' ἐκεῖνος εὐλογεῖτο, μετὰ ΔΓ, Οὐδ' ἐκεῖνος εὐλογεῖ· ὁ τινὲς μὲν παρῆνουν τρέπειν εἰς τὸ Οὐδ' ἐκεῖνος (ὁ Ἱππαρχος δηλονότι) εὖ λέγει τὸ, ἐπειδή, καθάπερ ἔγραψεν ὁ Γερμανὸς ἐκδότης· ἕτεροι δὲ εἰς τὸ, Οὐδ' ἐκεῖνο εὖ λέγει, ἐπειδή, ὃ προειλόμην αὐτός. Ἴσως μέντοι ἐγέγραπτο, Οὐδ' ἂν ἐκεῖνο (ἢ, ἐκείνως) εὖ λέγοιτο, ἐπειδή.—Στ. 11, Λόγον.] Ἰσ. γρ. ἐνάρθρως, Τὸν λόγον.—Στ. 15, Οὐδετέρωσε.] Ἐκ ΔΓ, ΑΤ, Οὐδ' ἑτέρωσε.—Στ. 22, Ὅσα εὖ διαβέβληκεν.] Παρ' ἅπασιν, Ὅσα οὐ διαβέβληκεν, πλὴν ἑνὸς ἀντιγράφου, ἔνθα λείπει ἡ ἄρνησις. Καὶ ὁ μὲν Κασωβὼν γράφειν παρῄνει, Ὅσα οὖν διαβέβληκεν· ἐμοὶ δ' ἄμεινον ἔδοξε τρέπειν τὴν ἄρνησιν εἰς τὸ, Εὖ, τουτέστιν, ὀρθῶς, εὐλόγως, κατὰ τὸ ἐν τοῖς ἑξῆς (σελ. 99) λεγόμενον, Εὐθύνει πάλιν οὐκ εὖ.

ΣΕΛΙΔ. 93, στ. 3, Αὐτό.] Ἐκ ΔΓ, ΑΤ, Αὐτός.—Στ. 24, Φέρε δὴ τὴν... ὑποβῶμεν.] Ἰσ.γρ. Φέρε δὴ ἐπὶ τὴν, ἢ Φέρε δ' ἐπὶ τὴν... ὑποβῶμεν.—Στ. 30, Ἐμπόρια.] ΔΓ, τῆς ἐκδεδομένης ἀμείνων, Ἐμπορεῖα.—Χελώνια.] Χελώνιον ὠνόμαζον τὸ τῆς χελώνης ὀστρακῶδες κέλυφος, τὸ παρὰ τοῖς ἰταλίζουσι μᾶλλον ἢ ἑλληνίζουσι τῶν ἡμετέρων Ταρταρούγα (Tartaruga) καλούμενον.

ΣΕΛΙΔ. 94, στ. 3, Τῶν ὅρων.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ ὅρου.—Στ. 18, Τὸν δὲ σῖτον ἐκ τοῦ ἐκπεσόντος καρποῦ κ. τ. λ.] Παραπλήσια τούτοις ἐρεῖ (Μέρ. Γ, σελ. 288 καὶ 293) περὶ τῆς παρ' ἐνίοις τῶν Λιβύων εὐφορίας.—Στ. 21, Ματιανῆ... Σακασηνῆ... Ἀραξηνῆ.] ΗΔ, ΑΤ, Ματτιανῆ... Σακασήνῃ... Ἀραξήνῃ. Τὸ μὲν γὰρ πρῶτον δι' ἑνὸς τ φέρεται παρ' Ἡροδότῳ, καὶ παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ (τοῦτο δὴ Στράβωνος τὸ χωρίον παριχομένῳ μαρτύριον)· τῶν δὲ λοιπῶν ἡ τάσις οὐκ ὁμολογεῖ τῷ τοῦ ἐθνικοῦ τύπου κανόνι· Σακασηνὸς γὰρ καὶ Ἀραξηνὸς (ὡς Περγαμηνὸς) φιλεῖ λέγεσθαι, οὐ Σακασῆνος, οὐδ' Ἀραξῆνος.—Στ. 24, Ἐν δὲ τῇ Μαργιανῇ κ. τ. λ.] Παράβαλε τοῖς ἀλλαχοῦ (Μέρ. Β, σελ. 338) λεχθησομένοις τῷ Στράβωνι περὶ τῆς αὐτῆς ταύτης χώρας.

ΣΕΛΙΔ. 95, στ. 5, Βαγαδαυνία.] Ἐξ ΕΔ ἐνθάδε τε καὶ τοῖς ἑξῆς (Μερ. Β, σελ. 375), ὁμολογούσης τῷ Βυζαντίῳ Στεφάνῳ, ΑΤ, Βαγαδανία.—Στ. 10, Ὄξον.] Γράφε, Ὦξον, ὡς φέρουσιν αἱ ἐκδόσεις, καὶ τῶν ἀντιγράφων τὰ πλεῖστα, οἷς ὤφειλον ἀκολουθῆσαι, οὐ διὰ τὸ πιστὸν (οὐδὲν γὰρ ἀκριβὲς οὐδ' ὁμολογούμενον ἐν τῇ γραφῇ τῶν ξενικῶν ὀνομάτων, ἐπεὶ καὶ Πολύβιος καὶ ἕτεροι, καὶ Στράβων αὐτὸς ἀλλαχοῦ τὴν διὰ τοῦ ο γραφὴν προείλοντο), ἀλλ' ἵνα γε καινοτομοῦντος αἰτίαν ἐκφύγω.

ΣΕΛΙΔ. 96, στ. 3, Παραβάλλοιντο.] Οὕτω τὰ πλεῖστα τῶν ἀντιγράφων, ΑΤ, Παραβάλλοιτο.—Στ. 19, Ἐπιδείκνυμεν.] ΗΔ, ΑΤ, Ἐπιδείκνυμεν· καὶ μαρτυρεῖ τὰ περὶ Ἱέρνης εἰρημένα τῷ Στράβωνι ἐν τοῖς πρόσθεν (σελ. 81) παρωχημένου, οὐκ ἐνεστῶτος, χρήζειν ἐνθάδε τὸν λόγον.—Στ. 21, Πεντακισχιλίων.] ΔΓ, Τετρακισχιλίων. Συνεξέτασον τοῖς ἀνωτέρω (σελ. 81) ῥηθεῖσι, προσεξετάσας καὶ τὰς Γαλλικὰς σημειώσεις.—Στ. 23, Ἔχει δὲ Βάκτρα καὶ τὰ τοῦ σώματος κ. τ. λ.] Οὕτως ἐξέδωκε τὸ χωρίον ὁ πρὸ ἐμοῦ, ἀκολουθήσας τῇ Κασωβώνος διορθώσει, προσιθέναι παραινέσαντος τὸ πρῶτον ἄρθρον. Ἀλλ', ἐπεὶ ἐν ἑνὶ τῶν ἀντιγράφων φέρεται κατὰ γενικήν, Βάκτρων, ὡς διόρθωσις τοῦ Βάκτρα, δῆλον, ὅτι ἄμεινον ἂν λέγοιτο, Ἔχει δὲ Βάκτρων καὶ τοῦ σώματος κ. τ. λ. Ἵν' ᾖ ὁ νοῦς, Τὰ περὶ τὴν Ἱέρνην εἰσὶ πάμπολυ ἀρκταιότερα τῶν Βάκτρων καὶ τοῦ σώματος τῆς Κασπίας εἴτε Ὑρκανίας θαλάττης, ὅπερ σῶμα διέχει τοῦ μυχοῦ τῆς αὐτῆς θαλάττης περὶ ἑξακισχιλίους σταδίους.

ΣΕΛΙΔ. 97, στ. 2, Ζῶντα δ' ὅμως. Πῶς οὖν, εἴπερ κ. τ. λ.] Οὕτως αἱ ἐκδόσεις καὶ τὰ παραβληθέντα ἀντίγραφα. Εἰ μέντοι γ' ἦν

δυνατόν μοι καὶ δεύτερον ἐκδοῦναι τὸν Στράβωνα, οὐκ ἂν ὤκνησα γράφειν, Ζῶντα δ' ΟΜΩΣ ΟΠΩΣΟΥΝ. ΠΩΣ ΟΥΝ, εἴπερ, κ. τ. λ. « Ὁπωσοῦν, ὁπωσδήποτε, οἱῳδήποτε τρόπῳ » φησὶν Ἡσύχιος.— Στ. 9, Αὐτά γε.] Ἐξ ΕΔ, ΑΤ, Αὐτά τε.—Στ. 13, Φησὶ δὲ ὁ.] Ἐκ ΔΓ, ΑΤ, Φησὶ δέ γε ὁ.

ΣΕΛΙΔ. 98, στ. 1, Τοῖς πρὸς τῷ Καυκασίῳ Βακτρίοις.] Οὕτως αἱ ἐκδόσεις· τὰ δὲ πλεῖστα τῶν ἀντιγράφων, Βάκτροις. Ἴσως δὲ καὶ ἀντὶ τοῦ Καυκασίῳ (ᾧ προσυπακούοιτ' ἂν τὸ, ὄρει) ἐγράφετο πάλαι Καυκάσῳ.—Στ. 11, Συνέγραψαν.] ΔΓ, Συνέγραψαν ἄν, ἀμείνων τῆς ἐκδεδομένης.—Στ. 13, Ὡμολόγει.] ΗΔ, ΑΤ, Ὡμολόγητο. Εἰ δὲ προαιρῇ πάντως τὸν παθητικὸν τύπον, γράφε γοῦν κατὰ παράτασιν, Ὡμολογεῖτο.—Στ. 14, Οὐ σοφῶς.] Ἐξ ΕΔ προσέθηκα τὴν ἄρνησιν. ΔΓ, σοφός.—Στ. 15, Ὡς ἰσοδυναμούντων τῶν ζητουμένων, λαμβάνοντος πρὸς τὸ ἀποδεῖξαι τὸ ζητούμενον.] Ὁ ἀρχαῖος μεταφραστὴς ἔοικεν ἀνεγνωκέναι μετὰ συνδέσμου, Ὡς ἰσοδυναμούντων τῶν ζητουμένων, καὶ λαμβάνοντος κ. τ. λ. Ὁ δ' Ἰταλὸς μεταφραστὴς ἡρμήνευσεν, ὥσπερ ἂν εἰ ἀντὶ, Τῶν ζητουμένων, ἐγέγραπτο, Τῷ ζητουμένῳ· λέγει γὰρ (πρὸς τὸν Ἐρατοσθένην ἀναφέρων τὸ, λαμβάνοντος), come se egli avesse preso à dimostrare il quesito per principj, i quali fussero d' eguale forza alle cose che si cercano, τουτέστιν, Ὡς τοῦ Ἐρατοσθένους λαμβάνοντος τὰ ἰσοδυναμοῦντα τῷ ζητουμένῳ πρὸς τὸ ἀποδεῖξαι αὐτὸ τοῦτο τὸ ζητούμενον· καθὰ καὶ κατωτέρω (σελ. 99) « Ὥσπερ τοῦ Ἐρατο- » σθένους προηγουμένως τὴν ἐκείνου μαρτυρίαν ἐγκρίνοντος ». Ἕτεροι δ' ἄλλως ἀποδεδώκασι τοῦ χωρίου τὸν νοῦν, εἰς αὐτὸν τὸν Ἵππαρχον ἀνενεγκόντες τὸ, Λαμβάνοντος· οἷς συνηγορεῖν ἔοικε τὰ ἑξῆς (σελ. 105, 115 καὶ 117).—Στ. 23, Ταῦτα δή.] ΔΓ, Ταῦτα δέ. Ἰσ.γρ. Ταῦτά τε.—Στ. 30, Οὐχ ὁ ἐκεῖνος· δυεῖν.] Ἐκ ΑΓ, ΑΤ, Οὐχ ὅπερ ἐκεῖνος· δυοῖν.

ΣΕΛΙΔ. 99, στ. 1, Πεσεῖν.] Ἴσως κἀνθάδε, ὡς μετ' ὀλίγα, γραπτέον, Πεσεῖν ἄν.—Στ. 2, Ὅσων.] ΗΔ, ΑΤ, Ὅσον· προσυπακούεται γὰρ τὸ, Σταδίων. Ἡ δὲ ΔΓ, Ὅσην, ἔχει μέν τι εὐπρόσωπον, ὡς ἀναφερομένη πρὸς τὸ, Ἰνδικήν, οὐκ ἔστιν ὅμως γνησία· εἴρηκε γὰρ ἂν, Ἡλίκην.—Στ. 5, Ὅτε γε.] Ἰσ. γρ. Ὅ γε—Στ. 6, Εἰπόντα.] Εἰπόντος, ἔγραψεν ὁ Γερμανὸς ἐκδότης ἐκ ΔΓ, ἀντὶ τοῦ ἐψευσμένου, Εἰπόντας· ἐμοὶ δ' ἔδοξεν αὐτὸ τοῦτο τρεπτέον εἶναι εἰς τὸ, Εἰπόντα, τὸν Ἐρατοσθένη δηλονότι.—Στ. 7, Ἀντὶ

τοῦ χειμερινοῦ.] ΗΔ, ΑΤ, Ἀπὸ τοῦ χειμερινοῦ· ἔχει δὲ γράφειν καὶ, Ἐπὶ τοῦ χειμερινοῦ.—Στ. 8, Μαθηματικῶν.] ΔΓ, Τῶν μαθηματικῶν, μετὰ τοῦ ἄρθρου.—Στ. 20, Τῶν ἐπὶ τοῦ αὐτοῦ.] Ἐξ ΕΔ προσέθηκα τὸ πρῶτον ἄρθρον.—Στ. 24, Τῶν τόπων.] Ἐκ ΔΓ, ΑΤ, Τὸν τόπον.

ΣΕΛΙΔ. 100, στ. 2, Ὡς οἴεται... πιςεύων.] Τὸ μὲν, Πιςεύων, ἐκ ΔΓ, ΑΤ, Πιςεύοντες· τοῦτο δὲ καὶ τὴν τοῦ, Οἴονται, τροπὴν εἰς τὸ, Οἴεται, ὑπηγόρευεν. Ἀναφέρεται δ' εἰς τὸν Ἐρατοσθένη τὸ Οἴεται, κατά γε τὸν Ἵππαρχον· ὁ γὰρ Στράβων τούναντίον φησὶν, ἀπολῦσαι βουλόμενος τῆς αἰτίας Ἐρατοσθένη.—Στ. 4, Ταῦτα.] Ἡ διαγραπτέον τὴν ἀντωνυμίαν ὅλως, ἢ τρεπτέον εἰς τὸ, Αὐτά, ὡς ἡρμήνευσεν ὁ ἀρχαῖος μεταφραστής.—Στ. 21, Δισχιλίους.] Ἐξ ΕΔ, ΑΤ, Χιλίους.—Στ. 24, Δισχιλίων.] Καὶ τοῦθ' ὡσαύτως, ΑΤ, Χιλίων.

ΣΕΛΙΔ. 101, στ. 13, Ποιούσαις.] Ἐκ ΔΓ, ΑΤ, Ποιούσῃ.—Στ. 25, Ἀποδούς.] Ἐκ ΔΓ, ΑΤ, Ἀποδιδούς.—Στ. 29, Πρὸς τὴν δευτέραν.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τὴν εἰς δευτέραν.

ΣΕΛΙΔ. 102, στ. 8, Ἀπὸ τῶν ὁρῶν.] Ἀπὸ τῶν ἄρκτων, δεῖν γράφειν εἴκασεν ὁ Κασωβὼν οὐκ ἀπιθάνως, διὰ τὰ ἑξῆς τῷ Στράβωνι (σελ. 114) ῥηθησόμενα.—Στ. 12, Ὑπηρεσίῳ.] Μόνος ὁ Στράβων καταχρηςικῶς ἐχρήσατο τῷ ὀνόματι (ἕτερόν τι δηλοῦντι) ἐπὶ τῆς σημασίας τοῦ, Ὑπηρετικῷ πλοίῳ, ὡς ἀπέδειξεν ὁ Κασωβών.—Στ. 16, Μὴ ἔχειν πόσον.] Γραπτέον, οἶμαι, Μὴ ἔχειν εἰπεῖν, πόσον (Ἰδ. κατωτέρ. σελ. 107).—Στ. 18, Καὶ γὰρ καὶ τὰ διαςήματα.] Ἐπαναλάμβανε τὸ, Τυπωδῶς φησιν ἀποδιδόναι, τουτέςιν οὐκ ἀκριβῶς.—Ἃ φησιν.] Ἐκ ΔΓ καὶ τῶν προτέρων ἐκδόσεων προσέθηκα τὴν πρώτην λέξιν.—Στ. 19, Συναγαγεῖν.] ΗΔ, ΑΤ, Συνάγειν.—Ὧν τινας.] ΗΔ ἡ προσθήκη τῆς πρώτης λέξεως. Ὁ δὲ Κασωβὼν παρῄνει γράφειν, Οὓς τινας.—Στ. 26, Φιλότιμον.] Οὐ μετακινητέον τὴν γραφήν· ἴσον γὰρ ἐνταῦθα δύναται τῷ, Φιλόνεικον. Ἐνδέχεται μέντοι τὸν Στράβωνα γεγραφέναι ὧδε Φιλαίτιον· καὶ γὰρ ἐν τοῖς ἑξῆς (σελ. 113) ὡς φιλαιτίου καθάπτεται τοῦ Ἱππάρχου ὁ Στράβων. Ἔςι δὲ Φιλαίτιος, ὃν οἱ Γάλλοι καλοῦσι chicaneur, ἢ chicanier.

ΣΕΛΙΔ. 103, στ. 20, Πόλυ ἐγκλίνειν.] Ἰσ.γρ. Πάλιν ἐκκλίνειν. Ἴδε κατωτέρω (σελ. 114).—Στ. 28, Γορδυαίων.] Ἐξ ΕΔ, ΑΤ, Γορτυναίων.

ΣΕΛΙΔ. 104, στ. 2, Ἀπὸ δέ τινων ἀκρωτηρίων κ. τ. λ.]

Παράβαλε τούτοις ἅπερ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 141) ἐρεῖ, καὶ τὰς ὑφ' ἑκατέροις Γαλλικὰς σημειώσεις. — Στ. 6, Γορδυαίων.] Ἐξ ΕΔ, ΑΤ, Γορτυναίων. — Περιβαλομένους.] ΗΔ, ΑΤ, Περιβαλλομένους. — Στ. 9, Γινόμενον.] Ἐκ ΔΓ, ΑΤ, Γενόμενον. — Στ. 17, Ἐπισκεψόμεθα.] Τὸ ἡμῶν ἀντίγραφον, Ἐπισκεψώμεθα, ὀρθώτερον ἴσως. — Στ. 21, Προφέρεται.] Ἐκ ΔΓ, ΑΤ, Προσφέρεται. — Στ. 29, Ἀπομετρῆσθαι.] ΗΔ (κατὰ παρακείμενον ὡς κατωτέρω, σελ. 106), ΑΤ, Ἀπομετρεῖσθαι. ΔΓ, Ἀπομετρεῖται.

ΣΕΛΙΔ. 106, στ. 8, Ὅσων.] ΗΔ, ΑΤ, Ὅσον· καθὰ καὶ ἀνωτέρω (σελ. 37) διωρθώκαμεν. — Στ. 15, Τοὺς συνάμφω.] Ἐκ ΔΓ (προσυπακουομένου τοῦ, Σταδίους), ΛΤ, Τοῦ συνάμφω. — Στ. 23, Ὅσων.] ΗΔ, ΑΤ, Ὅσον. — Στ. 24, Τὸ τοῦ Ταύρου.] Γράφε, Τὰ τοῦ Ταύρου, ὡς φέρουσι τὰ ἀντίγραφα καὶ αἱ ἐκδόσεις, πλὴν τῆς τοῦ Γερμανοῦ, ᾗ μὴ συνεδὼν ἠκολούθησα. — Στ. 27, Πρὸς τῷ... προσχρῆσθαι.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τό... προχρῆσθαι.

ΣΕΛΙΔ. 107, στ. 24, Ἡ μὲν καὶ τὰ μίλη λαμβάνει... ἀρθρώσει κ. τ. λ.] ΗΔ (ἣν πάλαι κατεχώρισα ἐν ταῖς εἰς τὸ Ἱπποκράτ. Περὶ ἀέρων κ. τ. λ. σημειώσ. σελ. 391), ΑΤ, Ἡ μὲν κατὰ μίλη (ΔΓ, μέρη) λαμβάνει... ἀρθώσει. — Στ. 26, Τοὺς δὲ θαμιλείοις ταμιῶν.] Ἐξ ΕΔ, ΑΤ, Τὸν δὲ κ. τ. λ. Ἔστι δ' ἐκ τῆς Ὁμήρου Ὀδυσσ. ι, 291. — Στ. 27, Ἑκατέρα.] Τὰ πλείω τῶν ἀντιγράφων, Ἑκατέρας· ὃ καλῶς ἔξει, εἰ, προσυπακούων τῷ Χρώμεθα τὸ, Ἀμφοτέραις, οὕτω ζήζοις, Χρώμεθα δ' οἰκείως, ἑκατέρας τὸν καιρὸν καὶ τὴν χρείαν σκοποῦντες. — Στ. 29, Ποιεῖσθαι.] ΗΔ, ΑΤ, Ποιῆσαι. Καὶ μετ' ὀλίγα δὲ (σελ. 108) καθ' ὁμοίαν διάθεσιν χρήσεται τῷ ῥήματι.

ΣΕΛΙΔ. 108, στ. 9, Ὡς τὴν Σαιλίαν.] ΗΔ, ΑΤ, Ἴσως τὴν Σικελίαν. — Στ. 11, Τὴν δέ.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ συνδέσμου. — Στ. 14, Ἡ μὲν οὖν οἰκουμένη δίχα διήρηται τῷ τε Ταύρῳ καὶ τῇ ἐπὶ Στήλας θαλάττῃ καλῶς εἴς τε τὸ βόρειον καὶ τὸ νότιον μέρος.] Ταῦθ' οὕτως ἔχει ἐν τοῖς ἀντιγράφοις· Ἡ μὲν οὖν οἰκουμένη δίχα διήρηται ΚΑΛΩΣ ΚΑΙ ΤΟΥ ΝΟΤΙΟΥ (ἄλλ. ΚΑΛΩΣ ΚΑΙ ΤΟΥ ΒΟΡΕΙΟΥ ΚΑΙ ΤΟΥ ΝΟΤΙΟΥ) ΜΕΡΟΥΣ· ὅπερ ὁ Γερμανὸς ἐκδότης, ἀκολουθήσας τῷ πρὸ αὐτοῦ Γάλλῳ Βρετιγνῷ (κἀκείνῳ ἐξ ἑτέρου διορθώσεως γράψαντι), μετέβαλεν εἰς τὸ... καλῶς εἰς τὰ τοῦ βορείου καὶ τοῦ νοτίου μέρους. Καὶ ὁ μὲν νοῦς δῆλος· τὴν δὲ διόρθωσιν

χαίρειν ἐάσας, συντομωτέρως δεῖν φήθην ἐξενεγκεῖν... ΚΑΛΩΣ ΕΪΣ ΤΕ ΤΟ ΒΟΡΕΙΟΝ ΚΑΙ ΤΟ ΝΟΤΙΟΝ ΜΕΡΟΣ, αὐτῷ πεισθεὶς Στράβωνι οὕτωσὶ φήσαντι ἐν τοῖς πρόσθεν (σελ. 101), «Τοῦ τε Ταύρου » καὶ τῆς ἀπὸ Στηλῶν θαλάττης, διελὼν [Ἐρατοσθένης] τῇ γραμμῇ » ταύτῃ τὴν οἰκουμένην δίχα, καὶ καλέσας τὸ μὲν βόρειον μέρος, » τὸ δὲ νότιον ».—Στ. 17, Ὡς ὄντος ἑνὸς ἔθνους· ὥςε.] Ἐκ ΔΓ, ΑΤ, Ὡς ἔθνος ἑνὸς ἔθνους· ὥςε. Ἀλλ' ἴσως ἦν ἡ γνησία γραφὴ· Ὡς ἔθνος ἓν· ὥςε.—Στ. 25, Οὔτε γάρ.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 109, στ. 7, Τὸ ἐνταῦθα.] Ἐκ ΔΓ, ΑΤ, Τὰ ἐνταῦθα. —Στ. 10, Οὐ μήν πω ἂν ἐξισάζοιτο ΤΗ͂ ΙΝΔΙΚΗ͂, ΑΛΛ' ΟΥΔΕ͂ τῇ Ἀρικνῇ.] Τυπογράφων ἀβλεψίᾳ ἐξερρύησαν τοῦ ἡμετέρου κειμένου τὰ κεφαλαίοις κεχαραγμένα γράμμασιν. Ἀντὶ δὲ τῶν προτέρων ἴσως ἐγέγραπτο πάλαι, Οὔπω ἂν (ἢ Οὐκ ἄν πω) ἐξισάζοιτο. Ἐνδέχεται μέντοι καὶ γεγράφθαι πάλαι, Οὐ μόνον γ' ἂν ἐξισάζοιτο.—Στ. 28 καὶ 30, Δυεῖν.] Ἵνα μὴ παλιλλογεῖν ἀναγκάζωμαι, ἅπαξ εἰπεῖν ἀπόχρη, ὅτι ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις Δυοῖν, ἔγραψα καθ' ὅλην τὴν Γεωγραφίαν τοῦ Στράβωνος, Δυεῖν (ἐπὶ γενικῆς πτώσεως) οὐκ ὀλίγοις ἀκολουθήσας ἀντιγράφοις.

ΣΕΛΙΔ. 110, στ. 8, Ἐκεῖνο.] Ἐξ ΕΔ, ΑΤ, Ἐκείνου.—Στ. 16, Ἔπειτα καί.] Ἐκ ΔΓ, ΑΤ, Ἔπειτα δὲ καί.

ΣΕΛΙΔ. 111, στ. 10, Οὐδετέρα.] Τουτέστιν, οὔθ' ἡ εὐθεῖα, οὔθ' ἡ κεκλασμένη. ΗΔ, ΑΤ, Οὐδετέρα. Εἰ δὲ προαιρῇ τὸ κατὰ δοτικήν, γραπτέον γοῦν Οὐδετέρῳ, τουτέστιν, οὔτε τῷ διὰ τῆς Ἡρώων πόλεως, οὔτε τῷ διὰ Ῥόδου.—Στ. 11, Διακόρειοι.] Ἐν τοῖς ἀμφιβαλλομένοις ἔταξα τοῦ ὀνόματος τὴν πρόθεσιν, ἄλλως τε καὶ πλὴν τούτου τοῦ χωρίου Στράβωνος, παρ' οὐδενί πω ἑτέρῳ τῶν συγγραφέων εὑρημένου τοῦ τοιούτου συνθέτου, ὥσπερ οὐδὲ τοῦ, Διανότιοι, Διαζεφύριοι, Διεῶοι.—Στ. 21, Ἔχον.] Ἐκ ΔΓ, ΑΤ, Ἔχοντα. —Στ. 22, Τῶν τὴν ὀρθὴν περιεχουσῶν.] Ἐκ ΔΓ, ΑΤ, Τῶν περὶ τὴν ὀρθὴν ἐχουσῶν (ἄλλ. ἔχουσαν).—Στ. 27, Οὐδὲ τὸ ἐπιφερόμενον εὖ.] ΗΔ, ἡ προσθήκη τοῦ ἐπιῤῥήματος.

ΣΕΛΙΔ. 112, στ. 10, Σχεδόν δή τι.] Ἀντὶ τῆς παρ' ἅπασι ταύτης γραφῆς, γραπτέον ἴσως, Σχεδόν δέ τι.—Στ. 26, Παρέσπασαι.] ΗΔ, ΑΤ, Περιέσπασαι.

ΣΕΛΙΔ. 113, στ. 7, Ἐλάττονι.] ΔΓ (ἀμείνων), Ἐν ἐλάττονι. —Ἂν... πιςεύωμεν.] Ἐξ ΕΔ, ΑΤ, Ἐν... πιςευομένη· ἀνθ' οὗ ὁ

Γερμανὸς ἐκδότης (κἀκεῖνος ἐξ ΕΔ) ἔγραψεν Εἰ... πιςεύομεν. — Στ. 14, Ἀνατολάς.] Οὕτως ὀρθῶς τὰ πολλὰ τῶν ἀντιγράφων, ΑΤ, Ἀνατολήν.—Στ. 15, Ἐφ' ἑκάτερον.] Ἐκ ΔΓ, ΑΤ, Ἐφ' ἑκάτερα. —Στ. 25, Λέγει.] Ἐξ ΕΔ, ΑΤ, Λέγειν.

ΣΕΛΙΔ. 114, στ. 5 καὶ 11, Ὀκτακισχιλίων.] Ἐξ ΕΔ (κατωτέρω δὲ καὶ ἐκ ΔΓ), ΑΤ, Ἑπτακισχιλίων.—Στ. 15, Ἐπὶ τόν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ τό.—Στ. 19, Παριτιθεμεν.] Ἐξ ΔΓ, ΑΤ, Παρατίθεμεν.—Στ. 25, Ὡς ἄν.] Ἐκ ΔΓ *προσείληφα τὸν σύνδεσμον.*

ΣΕΛΙΔ. 115, στ. 9, Οὐ γὰρ δίδοται.] Ἐκ ΔΓ, ΑΤ, Οὐ γὰρ δὴ δίδοται.—Στ. 11, Τετρακισχιλίων ὀκτακοσίων.] Ἐκ ΔΓ, ΑΤ, Τετρακισχιλίων ΣΤΑΔΙΩΝ ὀκτακοσίων. Ἴσως ὀρθωτέρα ταύτης γραφὴ ἦν, Τετρακισχιλίων ΕΠΤΑΚΟΣΙΩΝ, Ἢ ὀκτακοσίων. Ἴδ. τὴν Γαλλικὴν μετάφρασιν, τόμ. Ι, σελ. 231, σημειώσ. 2. —Στ. 23, Ἐκείνη.] Ἐκ ΔΓ, ΑΤ, Ἐκείνης.—Στ. 26, Τὰς διςαμένας.] ΗΔ *ἡ προσθήκη τοῦ ἄρθρου.*

ΣΕΛΙΔ. 116, στ. 1, Νοεῖταί τι.] Ἐκ ΔΓ, ΑΤ, Νοεῖται ἔτι.— Στ. 5, Ῥᾴδιον.] Γραπτέον, Ῥᾷον. Ἴδ. τῆς παρούσ. ἐκδ. τὰ Προλεγόμεν. Μέρ. Α, σελ. ξζ'.—Στ. 7, Ἔλαττον.] Ἐκ ΔΓ, ΑΤ, Ἧττον.— Στ. 20, Διαμέτρῳ.] Ἐκ ΔΓ, ΑΤ, Διάμετρον.—Στ. 21, Καταμετρεῖν ἄν.] ΗΔ, ΑΤ Καταμετρεῖν δὴ, ἡ τῆς ΔΓ, Καταμετρεῖν δέ.—Στ. 22, μηδέ.] Ἐκ ΔΓ, ΑΤ, Μή.

ΣΕΛΙΔ. 117, στ. 7, Ὅτι ἐπί.] ΗΔ, ΑΤ, Ὅτ' ἐπὶ· συνδέσμου γὰρ (ὃν ἐξέφρασε καὶ ὁ ἀρχαῖος μεταφραςὴς διὰ τοῦ quoniam, ἄμεινον ἂν ἐκφράσας διὰ τοῦ quod) ἐνθάδε χρεία, οὐ χρονικοῦ ἐπιρρήματος τοῦ, Ὅτε.—Στ. 17, Εἶναι κατ'.] Ἐκ ΔΓ, ΑΤ, Εἶναι καὶ κατ'.—Στ. 27, Ἀφιςάναι ἴσον τὰς Κασπίους πύλας, Θαψάκου ΔΕ καὶ τοῦ Κασπίου, ΠΟΛΥ ἐλάττους ἀφεςάναι κ. τ. λ.] Οὕτω φέρεται παρ' ἅπασι τοῖς ἐκδόταις· τῶν δ' ἀντιγράφων ἓν μὲν φέρει ἐκ διορθώσεως ΤΕ ἀντὶ τοῦ ΔΕ, ἕτερον δὲ, ΔΕ ΠΟΛΥ, ἀντὶ τοῦ ΠΟΛΥ· ἐξ ὧν ἂν τις ἡγήσαιτο τὴν γνησίαν γραφὴν ὑπάρξαι πάλαι, Ἀφεςάναι ἴσον τὰς Κασπίους πύλας Θαψάκου ΤΕ καὶ τοῦ Κασπίου· ΠΟΛΥ Δ' ἐλάττους ἀφεςάναι κ. τ. λ.

ΣΕΛΙΔ. 118, στ. 3, Λαμβάνοντος τὰς εὐθείας.] ΗΔ *ἡ προσθήκη τοῦ ἄρθρου.*—Στ. 5, Ἰσημερινήν.] Ἐκ ΔΓ, ΑΤ, Μεσημβρινήν. —Στ. 13, Ἐντεῦθεν ἑξακοσίους.] Ἐκ ΔΓ, ΑΤ, Ἐντεῦθεν δ' ἑξακοσίους. Ἑτέρα ΔΓ, Ἐνθένδε κ. τ. λ.—Στ. 15, Ἥτις.] Ἐκ ΔΓ, ΑΤ, Εἴ τις.—Στ. 17, Αὐτὸς οὖν τέτμηκε.] Περιττὸς ὁ συμπερα-

σματικὸς, καίπερ φερόμενος παρ' ἅπασι. Γραπτέον, οἶμαι, Αὐτὸς συντέτμηκε.

ΣΕΛΙΔ. 119, στ. 16, Τῶν Μαλιῶν.] ΗΔ, ΑΤ, Τῷ Μαλέᾳ. ΔΓ, Τῷ Μαλαίῳ : Τῷ Μαλέῳ. —Στ. 19, Παρείημεν.] ΗΔ, ΑΤ, Παρίημεν. Ὁ δὲ νοῦς τοῦ, Εἰ δ' οὖν παρείημεν τοῦτο, ἐξὶν, Εἰ δὲ ἐάσαιμεν, ἢ συγχωρήσαιμεν τοῦτο, τὰς τρεῖς ὀλονότι ἄκρας, κ. τ. λ. —Στ. 28, Ὁμολογοῦσι μὴ πλειόνων.] Ἐκ ΔΓ, ΑΤ, Ὁμολογοῦσι πλεόνων. Ἑτέρα ΔΓ, Ὁμολογοῦσιν ἢ πλειόνων. —Στ. 29, Πεντακισχιλίων.] Γράφε, ὡς παρήνει γράφειν ὁ Κασωβὼν, Ἐννακισχιλίων.

ΣΕΛΙΔ. 120, στ. 3, Τρισχιλίοις.] Γράφε, Τετρακισχιλίοις, κατὰ τὰ σημειωθέντα ἐν τῇ Γαλλικῇ μεταφράσει (τόμ. Ι, σελ. 241). —Στ. 11, Τὸ πλέον δ' ἔτι ὅπου καί.] ΗΔ, ΑΤ, Τὸ πλέον δ' ἔξιν ὅπου καί. Ἴσως ἄμεινον γράφειν· Τὸ πλέον δ' εἴ τί που καί. —Στ. 26, Προσαρκτίων.] Ἐκ ΔΓ, ΑΤ, Προσαρκτικῶν.

ΣΕΛΙΔ. 121, στ. 6, Τῶν κατὰ τὴν ἠπειρῶτιν πάλιν.] Πλεονάζειν ἔοικεν ἐνθάδε τὸ, Πάλιν, πλὴν εἰ μή τις ἡμαρτημένην ὑπολάβοι γραφὴν εἶναι τοῦ, Ταύτην, ἵν' ᾖ ὁ νοῦς, τῶν κατὰ ταύτην τὴν ἡμῖν προσεχῆ ἤπειρον, ἀντιδιεξαλμένως πρὸς ἃ εἴρηκεν ἀνωτέρω πολὺ διεχηκότα μέρη. —Στ. 8, Αἰτιασάμενος δ' οὖν τινα.] Γραπτέον, Αἰτιασάμενος δ' αὖ τινά. —Στ. 27, Ὡς ἂν ὑποπίπτῃ μέτρου τινὸς ἐχόμενα.] Οὕτως εἶναι γραπτέον ὑπείληφα τὴν τελευταίαν λέξιν, ἀντὶ τοῦ, Ἐχομένου, ἢ, ὡς φέρουσί τινα τῶν ὑφ' ἑτέρων παραβληθέντων ἀντιγράφων, Ἐχομένους, ἢ, ὡς τὸ ἐμὸν, Ἐχόμενος. Ὁ νοῦς, Ὡς ἂν ὑποπίπτῃ τὰ καθ' ἕκαστα, ἐχόμενα μέτρου τινὸς, τουτέστιν, ὅπου ἂν ὁ λόγος ᾖ περὶ διαστημάτων μετρήσεως.

ΣΕΛΙΔ. 122, στ. 4, Φησὶ δή.] ΔΓ, Φησὶ δέ. —Στ. 7, Ὑπερπειπτούσης.] Γράφε, Ὑπερπίπτουσαν. Ἰδ. Μέρ. Γ, Προλεγομ. σελ. ζ'. —Στ. 17, Ἕως τοῦ τῆς.] ΗΔ, ΑΤ, Ἕως τῆς. —Στ. 19, Μέχρι τοῦ ἰσημερινοῦ, λόγῳ δείκνυται.] ΗΔ, ΑΤ, Μέχρι τοῦ ἰσημερινοῦ λέγω, δείκνυται. —Στ. 30, Διορίζοι τάς.] Ἐκ ΔΓ, ΑΤ, Διορίζοι πως.

ΣΕΛΙΔ. 123, στ. 11, Τὰ ἀνθρώπεια.] Ἐκ ΔΓ, ΑΤ, Τ' ἀνθρώπεια. —Στ. 17, Μηδὲ ποταμοῖς.] Ἐκ ΔΓ, ΑΤ, Μηδὲ δὴ ποταμοῖς.

ΣΕΛΙΔ. 124, στ. 7, Πρός τε τὰς τῶν ζώων καὶ φυτῶν ΣΥΣΤΆΣΕΙΣ, καὶ τῶν ἄλλων ΜΕΤΑΛΛΑΞΕΙΣ τῶν ὑπὸ τῷ ἀέρι.] ΗΔ, ΑΤ,

Πρός τε τὰς τῶν ζώων καὶ φυτῶν ΣΥΣΤΑΣΕΙΣ, καὶ τῶν ἄλλων ΗΜΙΣΥ ΣΤΑΛΕΙΣ τῶν ὑπὸ τῷ ἀέρι. Τὸ ἀδιανόητον, Ἥμισυ ϛαλεῖς, ἢ, ὡς ἐν πολλοῖς τῶν ἀντιγράφων φέρεται, συνθέτως, Ἡμισυϛαλεῖς, ἔτρεψα εἰς τὸ Μεταλλάξεις. Ἴσως δ' ἄν τις καὶ τὸ Συϛάσεις, λεῖπον ἔν τισι τῶν ἀντιγράφων, περιελεῖν ὅλως τοῦ κειμένου προείλοιτο, ἀπὸ παραλλήλου χωρίου ὁρμώμενος τοῦ ἐν τοῖς ἑξῆς (σελ. 132) τοῦδε· α Δι' ὧν ἔμελλον ἐξαλλάξειν δείκνυσθαι ζώων τε καὶ φυτῶν καὶ ἀέρων, τῶν μὲν τῇ κατεψυγμένῃ κ. τ. λ. ». Ἔχοι δ' ἄν τις καὶ ὧδε διασκευάζειν τὸ χωρίον, Πρός τε τὰς τῶν ζώων καὶ φυτῶν ΣΥΣΤΑΣΕΙΣ καὶ τῶν ἄλλων, Ἡ ΜΕΤΑΛΛΑΞΕΙΣ τῶν ὑπὸ τῷ ἀέρι. — Στ. 22, Τμηθεῖσα δίχα ἡ σφαῖρα.] Ἐκ ΔΓ, ΑΤ, Τμηθεῖσα ἡ σφαῖρα δίχα. — Στ. 26, Τὰ εὔκρατα.] Διαγραπτέον ἴσως τὸ ἄρθρον. — Στ. 28, Ταύτας.] ΗΔ, ΑΤ, Ταύταις. — Κεχρημένας.] Καὶ τοῦτο εἰς τὸ Κεχρημένος τρεπτέον, οἶμαι.

ΣΕΛΙΔ. 125, στ. 12, Καὶ ποιεῖ.] ΗΔ ἡ προσθήκη τοῦ συνδέσμου. — Στ. 14, Ταῖς ἐν.] ΗΔ, ΑΤ, Τῶν ἐν. — Στ. 16 καὶ 24, Εἰ οὖν... Εἰ δ'.] ΔΓ, Εἴτ' οὖν... Εἴθ. — Στ. 23, Τὴν ὅλην τήν.] Ἰσ.γρ. Τὴν γῆν ὅλην τὴν, ἢ, Τὴν ὅλην γῆν τήν. — Στ. 25, Ἡ ὑποπίπτουσα.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ ἄρθρου. — Στ. 30, Εἰσάγειν.] Ἐκ ΔΓ, ΑΤ, συνάγειν.

ΣΕΛΙΔ. 126, στ. 6, Οὐδέν.] Ἐκ ΔΓ, ΑΤ, Οὐδέ. — Στ. 7, Οὐδὲ δὴ ὀρεινήν.] Ἰσ.γρ. Οὐδὲ ὀρεινήν. — Στ. 11, Ὄρη εἶναι τά.] Ἰσ.γρ. Ὄρη εἶναί τινα. — Στ. 17, Πλὴν εἰ.] Ἐκ ΔΓ, ΑΤ, Πλὴν ἤ. — Στ. 24, Παρὰ Γέλωνι.] Ἄμεινον ἂν εἴλεγετο, Παρὰ Γέλωνα. — Στ. 25, Φήσας, Εὔδοξον.] Ἐκ ΔΓ, ΑΤ, Φήσας, καὶ Εὔδοξον. — Στ. 26, Κορινθίων.] ΔΓ, Κορίων. Ἰδ. τὴν Γαλλικ. μετάφρ. τόμ. I, σελ. 258, σημειώσ. 4. — Στ. 30, Τυχεῖν δή.] Ἰσ.γρ. Τυχεῖν δέ.

ΣΕΛΙΔ. 127, στ. 2, Καταχθέντα.] ΗΔ, ΑΤ, Κατασχεθέντα. — Στ. 6, Ἀποδεχθέντα.] ΗΔ, ΑΤ, Ὑπολειφθέντα. ΔΓ, Ὑπολειφθέντα. Καὶ ἔϛι τὸ, Ἀποδεχθέντα, ἀποδοχῆς ἀξιωθέντα, πιϛευθέντα· τὸ μὲν γὰρ, Ὑπολειφθέντα, προφανῶς ἡμάρτηται· ἡ δὲ διάφορος γραφὴ, Ὑπολειφθέντα, ὑπονοεῖν παρέχει μήποτε πλημμελέϛερον ἐγράφετο πάλαι, Ὑπολειφθέντα δ' ἀληθῆ λέγειν. — Στ. 15, Διαδίξασθαι.] Ἐκ ΔΓ, ΑΤ, Δέξασθαι. — Στ. 27, Προφέροντα.] Ἐκ ΔΓ, ΑΤ. Φέροντα. — Στ. 28, Εὐπόρους.] ΗΔ (ἢν

νῦν καὶ ὑφ' ἑτέρου προβληθεῖσαν ὁρῶ ἐν ταῖς ΔΓ τῆς ἐν Ὀξονίῳ τοῦ Στράβωνος ἐκθέσεως), ΑΤ, Ἐμπόρους.

ΣΕΛΙΔ. 128, στ. 1, Ἀλλὰ καὶ τῶν.] Ἐξ ΕΔ καὶ ἡμετέρας ἐπιδιορθώσεως, ΑΤ, Ἀλλὰ τῶν δὴ ναυκλήρων. ΔΓ, Ἀλλὰ τῶν ναυκλήρων. — Στ. 6, Ἐξορμίσαι.] Ἐκ ΔΓ, (παρὰ τὸν Ὅρμον δηλονότι) ΑΤ, Ἐξορμῆσαι, ὅπερ ὤφειλον ἴσως κατὰ χώραν ἐᾶν. — Στ. 10, Καὶ ἐμβιβάσασθαι.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἐμβιβάσασθαί τε.—Παιδισκάρια.] Νεάνιδας δούλας· τοῦτο γὰρ ἀεί ποτε σημαίνει τὸ Παιδισκάριον (παρὰ τὴν παιδίσκην δηλονότι), οὐ τοὺς ἄῤῥενας τῶν δούλων· ὡς ἔστι συλλογίσασθαι ἔκ τινος χωρίου Διογένους τοῦ Λαερτίου (ζ', 13). Τοῦτ' ἀγνοήσας ὁ Κασωβὼν, οἶμαι, ἐν τῷδε τοῦ Ἀθηναίου (έ, στλ. 200) τῷ χωρίῳ, « Ἐσιφάνωτο δὲ τὰ μὲν ἡνιοχοῦντα » παιδάρια πίτυϊ, τὰ δὲ παιδισκάρια κισσῷ » ταὐτὰ τῷ γένει ὑπέλαβε τοῖς παιδαρίοις τὰ παιδισκάρια, ἡλικίᾳ μόνῃ διαφέροντα, δέον ταῦτα μὲν ἐπὶ τῶν κοράσιων, τὰ δὲ παιδάρια ἐπὶ τῶν ἀῤῥένων παίδων ἐκδέχεσθαι. Ὁμοίᾳ δὲ χρήσει καὶ, Δουλάρια, τὰ θήλεα τῶν δούλων καλεῖσθαι ἐδίδαξεν ἡμᾶς ὁ Λουκιανὸς (Λεξιφάν. § 25). Καὶ τὸ μὲν πρῶτον ἐσημειώσατο ὁ Στέφανος ἐν τῷ Θησαυρῷ τῆς Ἑλληνικῆς γλώσσης (τόμ. Ε, σελ. 16) ἐπαγαγόμενος μάρτυρα καὶ τὸν Ἡσύχιον· τὸ δὲ Δουλάριον, ἀπεναντίως τῷ Λουκιανῷ, μὴ προσχὼν αὐτοῦ τοῖς ῥήμασιν, ἐξηγήσατο (τομ. Ι, σελ. 1044) — Στ. 14, Καθίσαι γὰρ τὸ πλοῖον.] Σημειοῦ τὸ, Καθίσαι τὸ πλοῖον, ὡς σεσωσμένον ὑπὸ τῆς συνηθείας. — Στ. 19, Ἀπεγέγραπτο.] ΗΔ, ΑΤ, Ἀπογέγραπται. —Στ. 21, Ὁμοροῖεν τῇ.] Ἐξ ΕΔ, ΑΤ, Ὅμοιοι ἐν τῇ. — Στ. 29, Ἀναδειχθεῖσαν.] Ἐξ ΕΔ, ΑΤ, Ἀναχθεῖσαν.

ΣΕΛΙΔ. 129, στ. 2, Μακρὸν πεντηκόντορον.] Ὤφειλεν εἶναι, Μακρὰν, οὐχ, ὡς παρ' ἅπασι φέρεται, Μακρόν· δηλοῖ γὰρ ἡ Πεντηκόντορος, ὑπονοούμενον ἔχουσα τὸ Ναῦς. Ἐνδέχεται μέντοι τὸν Στράβωνα πρὸς τὸ προηγούμενον, Πλοῖον, ἐπιθετικῶς συνάψαι τοὔνομα. — Στ. 9, Μέχρι τῆς.] Οὐ κακῶς ὁ Κασωβὼν εἰκάζει γραπτέον εἶναι, Μέχρι τοῦδε τῆς. —Στ. 13, Οὐ γάρ μιν κ. τ. λ.] Ἐξ ἀδήλου ποιητοῦ ἡ ῥῆσις. — Στ. 17, Αὐτόν.] ΗΔ, ΑΤ, Αὐτῶν· φέρεται γὰρ πρὸς τὸν περίπλουν· δῆλον δ' ἄλλως καὶ ἐκ τῆς ἑπομένης σημειώσεως. — Ὄν.] Ἐκ δύο ἀντιγράφων, ἑνὸς μὲν τοῦ τῆς Μόσκας, θατέρου δ', ὅπερ αὐτὸς χρῶμαι, ΑΤ, Ὧν. — Στ. 18, Τὸ δὲ Βεργαῖον διήγημα.] Ὑπερκνεῖ ἔλεγε, διήγημα παραπλήσιον τοῖς ψευδῶς ἐγχρημένοις ὑπ' Ἀντιφάνους τοῦ Βεργαίου (Ἰδ. τὰς σημειώσ. τῆς

Γαλλ. μεταφράσ. τόμ. Α, σελ. 106 καὶ 264)· ἀφ' οὗ καὶ Βεργαΐζειν εἴρηται τὸ ψεύδεσθαι.—Στ. 29, Τά γε.] Ἐπελαθόμην τὴν ἐν δυσὶ φερομένην ἀντιγράφοις ὀρθὴν γραφὴν, Τό γε, ἀντὶ τῆς ἐκδεδομένης ὑπὸ πάντων παραλαβεῖν.

ΣΕΛ. 130, στ. 15, Δεικνύς.] Ἰσ.γρ. μετὰ τοῦ συνδέσμου, Καὶ δεικνύς.—Στ. 25, Ἐπειδὴ δὲ καί.] Περιαιρετέον ἴσως τὸν τελευταῖον σύνδεσμον, λείποντα καὶ ἔν τισι τῶν ἀντιγράφων.—Στ. 28, Ἑσπερίους.] Ἐκ ΔΓ, ΑΤ, Ἑσπερινούς.

ΣΕΛΙΔ. 131, στ. 2, Ναυσολίας.] Ἐκ ΔΓ, ΑΤ, Ναυτελίας.—Στ. 7, Γινόμενον.] Ἐκ ΔΓ, ΑΤ, Γενόμενον.—Στ. 17, Τῶν τοιούτων.] ΔΓ, Τῶν παραπλησίων.—Στ. 19, Πρὸς ὃ.] Ἰσ.γρ. Πρὸς ᾧ.—Στ. 23, Καὶ τοῦτο βέλτιον οἴεται λέγειν.] Ἀμείνων ἡ ΔΓ, Καὶ τοῦτο οἴεται βέλτιον εἶναι λέγειν.—Στ. 25, Καὶ τῶν συγγενῶν.] Εἴκασε πάλαι ὁ Κασωβὼν γραπτέον ἴσως εἶναι, Καὶ Τωὐγενῶν, περὶ ὧν ἐρεῖ ἐν τοῖς ἑξῆς (σελ. 241 καὶ Μέρ. Β, σελ. 8) ὁ Στράβων.—Στ. 26, Οὐ γενέσθαι κατὰ θαλάττης ἔφοδον ἀθρόαν συμβᾶσαν.] ΗΔ, ΑΤ, Γενέσθαι κατὰ θαλάττης ἔφοδον, οὐκ ἀθρόαν συμβᾶσαν. Ὁ νοῦς, Ὡς οὐκ ἐγένετο δι' αἰφνίδιον συμβᾶσαν πλημμύραν θαλάσσης. Ἴδε τὰς Γαλλικὰς εἰς τὸν Στράβωνα σημειώσεις (tom. I, pag. 269 et tom. III, pag. 17). Παραπλησίως ἐν ἄλλοις (Μέρ. Β, σελ. 507) εἴρηκεν ὁ Στράβων, «ΟΥΚ εὔλογον δὲ » ὑπὸ τοιούτων παθῶν τὴν τοσαύτην χώραν ἐμπρησθῆναι ΑΘΡΟΩΣ, » ἀλλὰ μᾶλλον ὑπὸ γηγενοῦς πυρός». Ἴσως δ' ἄν τις προίλοιτο τὴν ἀπαγόρευσιν τῆς ἀρνήσεως, Μὴ γενέσθαι κατὰ θαλάττης ἔφοδον ἀθρόαν συμβᾶσαν. Ἴσως δὲ καὶ πληρεστέρα τῆς φερομένης ἂν ἑτέρα γραφὴ, Γενέσθαι κατὰ λῃστείαν, οὐ κατὰ θαλάττης ἔφοδον ἀθρόαν συμβᾶσαν.—Στ. 29, Εὔρῳ.] Ζεφύρῳ δεῖν γράφειν διατείνονταί τινες (Bake, Posidon. Rhod. reliq. doctr. pag. 91 καὶ 276).—Στ. 30, Μυριάσιν ἔλθοις.] ΗΔ, ΑΤ, Μυριάσιν ἔλθοι. Ἔξι δὲ γράφειν καὶ, Μυριάσι τις ἔλθοι.

ΣΕΛΙΔ. 132, στ. 6, Ἐν ἀλύσει δινηκεῖ γίνεται.] ΗΔ, ΑΤ, Ἐν ἀλύσει δίκην γίνεται. Ὁ νοῦς, Ἐν ἀκαταπαύστῳ ἀπορίᾳ γρίφεται.—Στ. 9, Κατὰ τὰ ἤθνη.] ΔΓ, Κατὰ ἤθνη. Ὁ δὲ μακαρίτης Δουθείλης (du Theil) εἰκάζε γραπτέον εἶναι, Κατὰ ἤθη.—Οὐδ' αἱ διάλεκτοι.] ΗΔ, ΑΤ, Οὐδὲ διάλεκτοι.—Περίπτωσιν.] ΗΔ, ΑΤ, Ἐπίπτωσιν.—Στ. 12, Παρὰ τά.] Ἐκ ΔΓ, ΑΤ, Περὶ τά.—Στ. 13, Τὰ δ'

ἔθεσι.] ΗΔ, ΑΤ, Τὰ δὲ θέσει. Ἴδε τὰ εἰς τὸ Ἱπποκράτους, Περὶ ἀέρων, ὑδάτων, τόπων, Προλεγόμενα (Discours prélimin. p. xxxvi). —Στ. 19, Τοὺς Ἰνδοὺς τῶν Αἰθιόπων.] Τοὺς ἐν τῇ Ἰνδίᾳ Αἰθίοπας. —Στ. 20, Διαφέρειν τῶν ἐν τῇ Λιβύῃ.] Ἐκ ΔΓ, ΑΤ, Διαφέρειν ὄντων ἐν τῇ Λιβύῃ. —Εὐερνεςέρους.] ΔΓ, Εὐερνές τε: Εὐηρνεςέρους: Ἐρευνεςέρους: Ἐνεργεςέρους: Εὐεργεςέρους. Γραπτέον ἴσως, Εὐρίους τε, ἢ Εὐθυρίους τε, τουτέστιν εὐθύτριχας, ἀπεναντίως, τοῖς οὐλοτριχοῦσιν Αἰθίοψιν, ὧν καὶ ἀλλαχοῦ (Μερ. Γ, σελ. 96) μέμνηται, λέγων τοὺς Ἰνδοὺς Αἰθίοπας μὴ οὐλοτριχεῖν, ὥσπερ τοὺς ἐν τῇ Λιβύῃ· τοῦ ἰρίου ἐνθάδε καταχρηστικῶς λαμβανομένου ἀντὶ τῆς τριχός, κυριώτερον ἐν τῇ τῶν Γάλλων φωνῇ (laine) ἐπὶ τῶν οὐλοτρίχων Αἰθιόπων τατταμένου, ὧν αἱ τρίχες ἰρίοις ὄντως ἐοίκασιν. Εἰ δὲ τοιοῦτός ἐςιν ὁ νοῦς τοῦ Στράβωνος, εἴη ἂν καὶ, ἧττον ἀφιςαμένους τῆς ἐκδεδομένης γραφῆς, γράφειν, εὐερωτέρους, συγκριτικὸν τοῦ Εὔερος, ἢ Εὐερεςέρους, συγκριτικὸν μήπω κατακεχωρισμένου ἐν τοῖς Δεξικοῖς ὀνόματος τοῦ Εὐερὴς, ὃ ταὐτὸν ἂν εἴη τῷ, Εὔερος, ὥσπερ τὸ Εὐεργὴς τῷ Εὐεργὸς, καθάπερ ἔφην ἐν ταῖς ὑποκειμέναις τῇ Γαλλικῇ τοῦ Στράβωνος μεταφράσει σημειώσεσι (tom. V, pag. 30, not. 2). Ἀλλ' ἴσως ἄν τις, ἀπὸ τῆς τελευταίας διαφόρου γραφῆς (Εὐεργεςέρους) ὁρμώμενος, εἰκάσειε γραπτέον εἶναι, Εὐοργεςέρους, τουτέστιν ἡμερωτέρους, ὥσπερ καὶ ἀληθῶς εἰσι τῶν Λιβύων Αἰθιόπων οἱ Ἰνδοὶ Αἰθίοπες ἡμερώτεροι, καὶ ἁπλῶς τῶν ἀλλαχοῦ οἱ κατὰ τὴν Ἀσίαν οἰκοῦντες ἄνθρωποι, οὓς καὶ Ἱπποκράτης (Περὶ ἀέρ. ὑδ. τόπ. § xxiii καὶ lxxii) Ὀργὴν βελτίους, ἢ Εὐοργοτέρους, ἔφησεν εἶναι. —Στ. 24, Κράτητα δέ.] Προςέθεικα τὰς δύο ταύτας λέξεις ἐξ ΕΔ.

ΣΕΛΙΔ. 133, στ. 2, Αἰθίοπας, ὅτι.] ΗΔ, ΑΤ, Αἰθίοπας, ἢ ὅτι· οὐδὲ γὰρ ὁ πρῶτος εἰς τὴν Λατινίδα φωνὴν μετενεγκὼν τὸν Στράβωνα ἐξέφρασε τὸν διαζευκτικόν.—Στ. 4, Ὅπου οὐδ' ὁ Εὐεργέτης, κατά γε τόν.] Οὕτω μεταθεὶς τὸν σύνδεσμον ἔγραψα, ΑΤ, Ὅπου οὐδ' ὅ γε Εὐεργέτης κατὰ τόν. ΔΓ (ἣν μεταμέλει μοι μὴ παρειληφότι), Ὅπου γε οὐδ' ὁ Εὐεργέτης, κατὰ τόν. —Στ. 5, Ἐπ' αὐτήν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ' αὐτῇ.—Στ. 14, Ἡχί περ ἄκροι.] Ἐκ τῶν Ἀράτου Φαινομένων (στίχ. 61).—Στ. 16, Φήσει.] ΗΔ, ΑΤ, Φήσειε. Δῆλον δὲ καὶ ἐκ τῆς κακῆς ΔΓ, Φησί.—Στ. 27, Ὅλην μὲν τὴν Βρετανικὴν ἐμβαθὸν ἐπελθεῖν.] Γέγραπται ὑπὸ τοῦ Γερμανοῦ ἐκδότου, Ὅλην μέντοι Βρεττανικὴν ἐμβατὸν ἐπελθεῖν, ἧς γραφῆς

τὸ μὲν Μέντοι, διαφόρῳ γραφῇ ἀκολουθήσας ἔτρεψε εἰς τὸ, Μὲν τήν· τὸ δ' Ἐμβαδὸν, ΗΔ ἐστίν. Ἕτεροι διώρθουν, Ὅλην μὲν τὴν Βρετανικὴν, ὅσον ἐμβατὸν ἦ. Τῆς ἡμετέρας διορθώσεως ὁ νοῦς ἐστὶν, Ἔφασκεν ὁ Πυθέας ἐμβαδὸν, τουτέστι κατὰ μῆκος καὶ πλάτος, ἐπελθεῖν ὅλην τὴν Βρετανίαν. Ἔστι δὲ ἡ λέξις τῶν Μαθηματικῶν, ὧν καὶ τὸ Ἐμβαδομετρεῖν (ὥσπερ καὶ στερεομετρεῖν ἔλεγον τὸ κατὰ μῆκος, πλάτος, καὶ βάθος μετρεῖν). « Ἐμβαδομετρικὸν δὲ τὸ ἔχον » μῆκος καὶ πλάτος, ἐξ οὗ καὶ τὸ Ἐμβαδὸν γιγνώσκεται, ὃ καὶ δύ- » ναμις καλεῖται· στερεομετρικὸν δὲ τὸ ἔχον μῆκος, πλάτος καὶ βάθος, » ἐξ οὗ καὶ [τὸ] στερεὸν γιγνώσκεται, ὃ δὴ καὶ κύβος καλεῖται ». (Ἴδ. Salmas. Plinian. exercitat. pag. 492).

ΣΕΛΙΔ. 134, στ. 5, Αἰωρεῖσθαι.] Ἐκ ΔΓ, ΑΤ, Αἰωρῆσθαι.— Στ. 7, Μήτε πορευτόν.] Ἐκ ΔΓ, ΑΤ, Μή ποτε πορευτόν. — Στ. 16, Τῷ Μεσσηνίῳ.] Τῷ Εὐημέρῳ, οὗ καὶ ἀνωτέρω (σελ. 60) ἐμνημόνευσε, κἀν τοῖς ἑξῆς (Μέρ. Β, σελ. 15) μνημονεύσει. Ἔστι δ' οὗτος ὁ τὴν Παγχαίαν πλάσας νῆσον μεγίστην ἐν τῷ Ὠκεανῷ· οὗ καὶ Πλούταρχος (Περὶ Ἴσιδ. καὶ Ὀσίρ. § 23) καθάπτεται. — Στ. 19, Τὴν προσάρκτιον τῆς Εὐρώπης.] Ἐκ ΔΓ, ΑΤ, Τὴν προσάρκτιον Εὐρώπην. Ἑτέρα ΔΓ, τὸ προσάρκτιον τῆς Εὐρώπης.—Στ. 21, Βιργαῖον.] Ὅμοιον τῷ ἐκ Βίργης Ἀντιφάνει, τουτέστι ψεύστην (Ἴδ. τὰ σημειωθ. ἀνωτέρ. σελ. 44). — Καὶ ταῦτα μηδέ.] ΗΔ, ΑΤ, Καὶ ταῦτα δὲ, μήτε.—Στ. 22, Μηδέ.] ΗΔ, ΑΤ, Μήτε. — Στ. 28, Ὁλοδογματικάς.] Ἐξ ΕΔ, ΑΤ, Ὁλας δογματικάς.

ΣΕΛΙΔ. 135, στ. 7, Οὔτε.] Ἐκ ΔΓ, ΑΤ, Οὐδέ. — Στ. 19, Προσειλήφθω.] ΗΔ, ΑΤ, Προειλήφθω. — Στ. 20, Τοῦ κατά.] Ἐκ ΔΓ, ΑΤ, Τὸ κατά. — Στ. 21, Τῆς παιδικῆς μετρήσεως.] ΗΔ, ΑΤ, Τῆς παιδικῆς μετρήσεως. Καὶ ὁ μὲν Κασωβὼν διορθοῦν ἐπεβάλλετο, Τῆσδε τῆς μετρήσεως· τῶν δ' ἄλλων, οἱ μὲν, Τῆς μερικῆς (ἢ εἰδικῆς), οἱ δὲ, Τῆς πεδιακῆς, οἱ δὲ, Τῆς πρακτικῆς μετρήσεως. — Στ. 26, Αὐτοὶ οἱ.] Ἐκ ΔΓ ἡ πρόσληψις τοῦ ἄρθρου.

ΣΕΛΙΔ. 136, στ. 2, Κόρκυραν.] Ἐκ ΔΓ, ΑΤ, Κέρκυραν. Ἀμφοτέρως εὕρηται γεγραμμένον ἔν τε τοῖς ἀρχαίοις νομίσμασι, καὶ παρὰ τοῖς συγγραφεῦσιν· ἔοικε δὲ προίχειν ἡ διὰ τοῦ ο γραφή, ἣν καὶ οἱ Ῥωμαῖοι προείλοντο, Corcyra. — Στ. 12, Δυσμικώτερα.] Γραπτέον, οἶμαι, Δυσμικώτατα. Ὁ νοῦς, Ἅπερ ἄκρα τῆς Ἰβηρίας,

μέρη εἰσὶ τῆς οἰκουμένης τὰ δυσμικώτατα, καθάπερ αὐτὸς Στράβων ἐν τοῖς ἑξῆς (σελ. 178-179) ἐρεῖ.

ΣΕΛΙΔ. 137, στ. 1, Τοῦ Γαλατικοῦ.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 4, Καὶ τοῦτο οὐκ εὖ.] Γραπτέον, οἶμαι, Καὶ τοῦτο δ' οὐκ' εὖ.—Στ. 27, Περὶ αὐτὴς] Τῆς Ἰβηρίας.

ΣΕΛΙΔ. 138, στ. 1, Τούτων.] Ἐκ ΔΓ, ΑΤ, Τούτων οὖν.—Στ. 3, Καὶ τὸ μῆκος.] Ἐξ ΕΔ προσέθηκα τὸν σύνδεσμον.—Στ. 4, Ἐκθείς.] Ἐκ ΔΓ, ΑΤ, Ἐκτιθείς.—Στ. 7, Τοῦ συνάμφω.] Ἐκ ΔΓ, ΑΤ, Τῶν συνάμφω.—Στ. 8, Προσλαμβάνει.] Ἐκ ΔΓ, ΑΤ, Προλαμβάνει.—Στ. 21, Οὐδὲ τοῦ Βορυσθένους.] Γραπτέον, Οὔτε τοῦ Βορυσθένους.

ΣΕΛΙΔ. 139, στ. 1, Ἢ παρακειμένου.] Ἐξ ΕΔ προσείληφα τὸν διαζευκτικόν.—Στ. 8, Ὁδῶν.] Τῶν διὰ τῆς ἠπείρου.—Πόρων.] Τῶν διὰ τῆς θαλάσσης.

ΣΕΛΙΔ. 140, στ. 13, Περιοδεία.] Ἐκ ΔΓ, ΑΤ, Περιοδία.

ΣΕΛΙΔ. 141, στ. 13, Ἢ ὁδεύων.] ΗΔ (συνάδουσα τοῖς ἀρχαίοις μεταφρασαῖς), ΑΤ, Καὶ ὁδεύων.—Στ. 14, Ὁ πολιτικός.] Ὡσανεὶ ἔλεγεν, ὁ παιδείας μετειληχώς· ἀντιδιαξέλλει γὰρ τὸν πολιτικὸν πρὸς τὸν ἀπαίδευτον, ὡς μὴ οἷόν τ' ὂν ὑπὸ τῶν τελέως ἀπαιδεύτων πολιτείαν εὐνομουμένην συζῆναι, ἀκοινωνήτως πρὸς ἀλλήλους ἐχόντων.—Στ. 15, Καὶ τὰς πρὸς ταῦτα.] Τὰ οὐράνια δηλονότι. ΗΔ, ΑΤ, Καὶ τὰς πρὸς ταύτας. ΔΓ (οὐδὲν μᾶλλον συνετὴ), Καὶ πρὸς τὰς ταύτας.—Στ. 19, Ἐπισκοποῖ.] Ἐκ ΔΓ, ΑΤ, Ἐπισκοπεῖ.—Στ. 20, Δόξει.] Νομίσει, ὑπολήψεται.—Στ. 21, Ἴδια δόγματα.] ΠΔ, ΑΤ, Διαπτώματα. Οὕτω διωρθωκὼς πάλαι, ἐνέτυχον ἔπειτα τῇ Λατινικῇ του Σιεβεγκήσου (Siebenkees) μεταφράσει, propriæ opiniones, αὐτὴν ταύτην ἐκφραζούσῃ τὴν διόρθωσιν, εἴτ' ἐξ ἀντιγράφων ἀρυσαμένου, εἴτε αὐτοῦ συνεωρακότος.

ΣΕΛΙΔ. 332, στ. 8, Σειρηνούσσας] Διὰ διπλοῦ τοῦ σ' ἔγραψα ὧδέ τε κἀν τοῖς ἑξῆς, καὶ τῶν ἀντιγράφων ἐν πολλοῖς ἐπιμαρτυρούντων.—Στ. 9, Τιμώντων τῶν πλησίον τὸν τόπον.] ΗΔ (ἣν ὑπαγορεύουσί πως καὶ τἀντίγραφα), ΑΤ, Τιμώντων τὸν πλησίον τόπον. ΔΓ, Τιμώντων πλησίον τόπον. Τὸ δ' ἐμὸν ἀντίγραφον, Τιμώντων τῶν πλησίον τόπον.—Στ. 16, Πιθηκουσσῶν.] Διὰ διπλοῦ τοῦ σ' ἔγραψα ὧδέ τε κἀν τοῖς ἑξῆς, ἀκολουθήσας οὐκ ὀλίγοις ἀντιγράφοις.—Στ. 21, Ἀποφορᾶς.] Ἐκ ΔΓ, ΑΤ, Ὑποφορᾶς.—Στ. 26, Στρεφομένου.] Ἐκ ΔΓ, ΑΤ, Στρεφόμενον.

ΣΕΛΙΔ. 333, στ. 2, Συναπτούσας πρός τε τὰς νήσους καί.] ΗΔ, ΑΤ, Συναπτούσας νήσους πρός τε ἀλλήλας καί. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις· Συναπτούσας πρός τε ἀλλήλας καί. ΔΓ, Συναπτούσας πρός τε νήσους καί : Συναπτούσας πρός τε Ἕλληνας καί.—Στ. 16, Πολὺ ὄν.] Ἐκ ΔΓ, ΑΤ, Πάλιν.—

Στ. 18,

Στ. 18, Τὴν θάλατταν.] Ἐξ ΕΔ, ΑΤ, Τῆς θαλάττης.—Στ. 27, Κτῆρα.] Ἐξ ΕΔ, ΑΤ, Κτίσμα.

ΣΕΛΙΔ. 334, στ. 4, Αὕτη τε καὶ τῶν ἄλλων αἱ ἐπί.] ΗΔ, ΑΤ, Αὐτή τε καὶ αἱ τῶν ἄλλων ἐπί. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδύσεις, Αὕτη τε καὶ αἱ τῶν ἄλλων ἐπί.—Στ. 5, Καλλατερία.] Γράφε, Καλατία, ὡς φέρεται ἐν τοῖς ἑξῆς (σελ. 383).—Στ. 6, Καύδιον, καὶ Βενεούεντον.] Ἔγραψα, ὡς φέρεται ἐν τοῖς ἑξῆς (σελ. 383), ΑΤ, Καλύδιον καὶ Βενούεντον.—Στ. 10, Μυός.] Ἐξ ΕΔ (συναδούσης τοῖς Ῥωμαίοις ἱστορικοῖς), ΑΤ, Μεδίμνου.—Στ. 13, Ἕως τελεσφορήσειεν.] ΗΔ, ΑΤ, Ὡς τελεσφορῆσαι. ΔΓ, Ὡς τελεσφορήσειεν.—Στ. 17, Κάλη.] Ἐξ ΕΔ, ΑΤ, Κάλκη.—Στ. 22, Ἐξοδείας.] Γράφε, Ἐξοδίας, καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων· οὐ γὰρ παρὰ τὸ Ἐξοδεύω, ἀλλὰ παρὰ τὴν Ἔξοδον.—Στ. 26, Ἐκπεπόνηνται.] ΗΔ, ΑΤ, Ἐκπεπόνηται.

ΣΕΛΙΔ. 335, στ. 2, Μόνους.] Ἐκ ΔΓ, ΑΤ, Μόνον.—Ὁμόσε χωροῦντας.] ΗΔ, ΑΤ, Ὁμοίως ὁμοροῦντας. Ἴσως ἐξὶ διορθοῦν καὶ διὰ μιᾶς λέξεως, Ὁμονοοῦντας.—Στ. 15, Αἰσερνία, Πάννα.] Ἐξ ΕΔ, ΑΤ, Ἐσερνίνα, Παύνα.—Στ. 20, Εὔξαιντο.] Ἐκ ΔΓ, ΑΤ, Εὔξαντο.—Στ. 25, Ἐπιφήμισαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπευφήμισαν.

ΣΕΛΙΔ. 336, στ. 7, Κολακευόντων ὁμόρους.] Ἐκ ΔΓ, ΑΤ, Κολακευόντων δ' ὁμόρους.—Στ. 10, Στρατιᾶς.] Ἐκ ΔΓ, ΑΤ, Στρατείας.—Στ. 16, Μεταβαλόμενος.] Ἐκ ΔΓ, ΑΤ, Μεταβαλλόμενος.—Στ. 17, Ἰρπῖνοι.] Ἐκ ΔΓ, ΑΤ, Ἰρπηνοὶ, ἢ, Ἰρπηνοί.—Στ. 20, Περὶ μὲν οὖν Σαυνιτῶν.] Ἐκ ΔΓ, ΑΤ, Περὶ μὲν Σαυνιτῶν.—Στ. 22, Ἐτρύφησαν.] ΗΔ, ΑΤ, Ἐνετρύφησαν. ΔΓ, Εὖ ἐτράφησαν: Εὖ ἐτρύφησαν: Εὐετρύφησαν.—Στ. 24, Δειπνούντων.] Ἐξ ΕΔ, ΑΤ, Δείπνων.—Στ. 25, Στρατιάν.] ΗΔ, ΑΤ, Στρατείαν.—Στ. 27, Ἐπὶ τοῖς.] Ἐκ ΔΓ, ΑΤ, Ὑπὸ τοῖς.

ΣΕΛΙΔ. 337, στ. 1, Ἐσωφρόνισαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐσωφρόνησαν.—Στ. 5, Φρεντανῶν.] Ἡ Γαλλικὴ τοῦδε τοῦ χωρίου μετάφρασις ὠκείωται τοῖς οἰομένοις γραπτέον εἶναι, Λευκανῶν.—Στ. 19, Καμπανίαν.] Κάνταῦθα, Λευκανίαν, δεῖν γράφειν ὠήθησαν.—Ἱστοροῦσι περί.] ΗΔ, ΑΤ, Ἱστοροῦσιν ἐπί.—Στ. 25, Ἐν τῷ τότε δημοσίῳ.] Οὐκ ἔρρωται οὐδ' αὕτη, οὔθ' αἱ ΔΓ, Ἐν τῷ τότε δημοσίᾳ: Τῷ τότε χρόνῳ δημοσίῳ. Γραπτέον, καὶ μεταμέλει μοι μὴ γράψαντι, Ἔκτοτε τῷ δημοσίῳ.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΣΕΛΙΔ. 339, στ. 2, Ἀργωνίας.] ΗΔ, ΑΤ, Ἀργονίας. Ὁ Κασωβὼν διώρθου Ἀργὼας παρὰ τὴν Ἀργὼ, τὸ σκάφος.—Στ. 3, Ἐντεῦθεν δ' ἐκπλέοντι.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 7, Ἀντακρωτήριον.] Ἐκ ΔΓ, ΑΤ, Ἀκρωτήριον. Ἔτι δὲ ὁ μικρὸν ἀνωτέρω εἶχεν προκείμενον τῆς Λευκωσίας ἀκρωτήριον, καὶ ἀντικείμενον ταῖς Σειρηνούσσαις νήσοις, ταῖς περὶ θάτερον ἀκρωτήριον, τὸ Ἀθήναιον, ἢ καὶ Σειρηνουσσῶν ἀκρωτήριον, καλούμενον (σελ. 247), σὺν ᾧ τὸν Ποσειδωνιάτην κόλπον ποιεῖ. Διὸ καὶ Ἀντακρωτήριον ὠνόμασεν αὐτὸ ἡ λέξις τῶν μήπω κατακεχωρισμένων ἐν τοῖς Λεξικοῖς. Τῆς ἐξ ἀντιγράφων ὀρθῆς ταύτης γραφῆς, Ἀντακρωτήριον, μήπω ἐγνωσμένης, εἰκότως ἐλλιπὴς ἐκρίθη ἡ ἐκδεδομένη, Ἀκρωτήριον, τῶν μὲν, τὴν Ἀντικειμένου, τῶν δὲ, τὴν Ἀνταίρου μετοχὴν, προσθετέον εἶναι ὑπολαβόντων, ἐμοῦ δὲ συντομωτέρως, ὡς ὑπελάμβανον, διορθοῦντος, Τὸ ἀκρωτήριον, τὸ σὺν ταῖς Σειρηνούσσαις ποιοῦν κ. τ. λ.—Στ. 9, Ἕλλην] Ἐκ ΔΓ, ΑΤ, Ἕλλην.

ΣΕΛΙΔ. 340, στ. 8, Μασσαλίαν.] Ἀλαλίαν, γραπτέον εἶναι ὑπέλαβεν ὁ Κασωβὼν, ὁρμηθεὶς ἐξ Ἡροδότου (α, 166).—Στ. 18, Τετρακόσιοι.] Ἔν τινι τῶν ἀντιγράφων, Τετρακόσιοι πεντήκοντα.—Στ. 20, Ἀφ' οὗ] Ἐκ ΔΓ, ΑΤ, Ἐφ' οὗ.

ΣΕΛΙΔ. 341, στ. 6 μέχρι 13, Πρὸς ἀλλήλους. Ὕστερον μέντοι γε... διεδήκαν. Νυνὶ δὲ κ. τ. λ] ΗΔ ἡ μετάταξις τοῦ κειμένου, ὃ δεινῶς συγκεχυσθαι ὑπὸ τῶν ἀντιγραφέων, καὶ ἕτεροι πρὸ ἡμῶν συνέντες, μετέτασσον κἀκεῖνοι τρόπον ἕτερον, τὸν αὐτοῖς δοκοῦντα βελτίω, ὡς ἔστιν ἰδεῖν ἐν ταῖς ὑποκειμέναις τῇ Ἀγγλικῇ Στράβωνος ἐκδόσει σημειώσεσι (τόμ. Α, σελ. 365). Τὴν ἡμετέραν τάξιν τοῦ κειμένου ἐξέφρασε καὶ ἡ Γαλλικὴ μετάφρασις.—Στ. 6, Μέντοι γε.] Ἐκ ΔΓ, ΑΤ, Μέν γε.—Στ. 21, Οἱ ὑπεροικοῦντες.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 342, στ. 3, Πετηλία] Πετιλία, διὰ τοῦτ, φέρεται ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 347). Καὶ παρὰ Ῥωμαίοις δὲ διφορεῖται ἡ γραφὴ, Petelia καὶ Petilia.—Στ. 4, Χώνων.] Εἰς τοῦτο τρέψαι ἀπετόλμησα τὴν ἀπαξαπασῶν τῶν ἐκδόσεων τοῖς ἀντιγράφοις συνάδουσαν γραφὴν, Λευκανῶν· ὅθεν δ' ὡρμημένος, δηλώσει ἡ ἑξῆς σημείωσις.—Στ. 6, Σαυνίταις ποτὲ φρούριον ἐπετείχισαν

αὐτήν.] ΗΔ, ΑΤ, Σαννῖται ποτὲ φρουρίοις ἐπετείχισαν αὐτήν. Αὐτὴ τοῦ, Ἐπιτειχίζειν, ἡ σημασία ἀποχρώντως ἐμφαίνει τὴν διαφορὰν τοῦ χωρίου· ἐπιτειχίζουσι γὰρ καθ' ἑτέρας πόλεως, ἢ ἑτέρου ἔθνους οἱ ἐν σκέπῃ βουλόμενοι εἶναι τῶν ἐξ ἐκείνων ἐφόδων· καὶ πολὺ τοῦτο ἐν ταῖς ἱστορίαις. Οὕτω Λακεδαιμόνιοι ἐπετείχισαν Δεκέλειαν τοῖς Ἀθηναίοις, καὶ ἄλλοι ἄλλοις ἄλλα χωρία. Κατὰ τίνων οὖν οἱ Σαμνῖται τὸν ἐπιτειχισμὸν ἐποιήσαντο; οὐ μὲν οὖν κατὰ τῶν Λευκανῶν (ὥσπερ ἔλεγεν ἡ ἐκδεδομένη γραφὴ μικρὸν ἀνωτέρω), Σαμνιτῶν καὶ αὐτῶν ὄντων, καθὼς εἴρηκε Στράβων (σελ. 341), καὶ αὖθις ἐρεῖ μετ' ὀλίγα. Λείπεται οὖν κατὰ τῶν, Χώνων, οὓς ἡμεῖς τοῖς Λευκανοῖς ἀνθυπεβάλομεν, καὶ οὓς ὁ Στράβων ἀνωτέρω (σελ. 341) ὑπὸ Σαυνιτῶν ἐκβληθῆναι τῆς Τυρρηνικῆς παραλίας εἴρηκεν. Ἀλλ' οὐδὲ τούτοις καλῶς ἂν λέγοιντο ἐπιτειχίζειν οἱ Σαμνῖται, ἀδυνάτοις οὖσι, παρὰ πολὺ ἐπικρατέστεροι ὄντες αὐτοί. Οὕτως οὖν διεσκεύασα τὸ χώριον, ὡς εἶναι τὸν νοῦν, ὅτι οἱ Χῶνες ἐπετείχισαν τὴν μητρόπολιν αὐτῶν Πετιλίαν τοῖς Σαυνίταις, φυλάττεσθαι βουλόμενοι τὰς πυκνὰς ἐκείνων ἐπιδρομάς. — Στ. 8, Περὶ τοὺς αὐτοὺς τόπους.] ΗΔ (συμφέρουσα τοῖς μεταφρασαῖς καὶ τῷ τὰς Χρησομαθείας γράψαντι, (Μέρ. Γ, σελ. 347), ΑΤ, Περὶ αὐτοὺς τοὺς τόπους. — Στ. 13, Οὐερτίναι.] Ἴσ. τυπογρ. ἡμάρτηται τὸ ἐν τῇ τοῦ Γερμανοῦ ἐκδόσει Οὐερτίται. — Στ. 21, Ἀπὸ τῶν νεμομένων τὰς ἀρχάς.] ΗΔ, ΑΤ, Ὑπὸ τῶν νεμομένων ἀρχάς. Ὁ νοῦς, Ἡροῦντο βασιλέα ἐν καιρῷ πολέμου ἕνα τῶν ἀρχόντων, ἵνα στρατηγοίη τὸν πόλεμον.

ΣΕΛΙΔ. 343, στ. 11, Μετὰ δὲ ταῦτα] Πρὸς τὸ Φησὶ, οὐ πρὸς τὸ Ἐπεκτείνεται. — Στ. 12, Μεταποντίνης.] Ἐκ ΔΓ, ΑΤ, Μεταποντικὴς. — Στ. 27, Ἐτάραξεν.] ΔΓ, Ἐξετάραξεν.

ΣΕΛΙΔ. 344, στ. 1, Ἀπὸ δέ.] Ἐκ ΔΓ, ΑΤ, Ἀπὸ γάρ. — Στ. 9, Λεγόντων... ἐπικεῖσθαι αὐτοῖς.] Τῶν κριτικῶν παραλειφθέντων τι ὑπὸ τῶν ἀντιγραφέων ὑπολαβόντων ἐν τῷδε τῷ χωρίῳ, ὁ Γερμανὸς ἐκδότης σιγμαῖς ὡρίσθη δεῖν σημειῶσαι τὴν παράλειψιν. Ἴσως ἀντωνυμία μόνον, ἡ Αὐτὸν, ἐξερρύη τοῦ κειμένου· ἴσως δὲ οὐδ' ἐξερρύη, προϋπακουομένη καὶ μὴ παροῦσα. Ὁ νοῦς, Μηδεὶς τὸν Ἥρωα παροξυνέτω τὸν ἐν Τεμέσῃ, μηδεὶς αὐτῷ ἀνθιςάσθω, λεγόντων αὐτὸν ἐπικεῖσθαι αὐτοῖς ὡς πολέμιον. Ἐπιθὶ τὰ περὶ τοῦ ἥρωος τούτου ἱστορημένα τῷ Παυσανίᾳ (ς', 6) καὶ τῷ Αἰλιανῷ (Ποικ. Ἱς. ἡ, 18). Μνημονεύει τῆς παροιμίας καὶ ὁ Εὐςάθιος (σελ. 1409), ἑτέρως ὅμως αὐτὴν ἐξηγούμενος.

—Στ. 18, Καταπεφύγει.] Ἐκ ΔΓ, ΑΤ, Καταφύγει.—Στ. 21, Ὁ ἐκ Δωδώνης.] Ἐκ ΔΓ, ΑΤ, Ὁ ἐν Δωδώνῃ. Ὁ δὲ χρησμὸς διαφόρως ἐκτέθειται ἐν τῷ ἔναγχος ἐκδοθέντι τοῦ Τρύφωνος Περὶ τρόπων συγγραμματίῳ (Id. Museum Criticum, or Cambridge classical researches, N° 1, pag. 47), ὅπου ταῦτα φέρεται· « Ὡς ἔχει » ὁ δεδομένος χρησμὸς Ἀλεξάνδρῳ τῷ Μολοσσῷ, Φυλάξασθαι τὸν » Κηρόεντα. Ὁ μὲν γὰρ ὤετο τὸν ἐν Ἰταλίᾳ ποταμόν· ἦν δὲ ἕτερον. » Προσδοθέντος γὰρ αὐτῷ πινακιδίου κεκηρωμένου, τοῦτο ἀνα- » γινώσκων ἐσολοφονήθη ».

ΣΕΛΙΔ. 345, στ. 10, Ἄρχεται ἐπιστρέφειν.] ΗΔ, ΑΤ, Ἀρχὴ τοῦ ἐπιστρέφειν.

ΣΕΛΙΔ. 346, στ. 1, Ἀποστροφήν.] Γράφε (διορθῶν τὸ τυπογραφικὸν ἁμάρτημα) Ἀνταποστροφήν. Ἡ δὲ λέξις ἰδιάζει, καθάπερ καὶ ἀνωτέρω (σελ. 339) τὸ Ἀνταικρωτήριον.—Στ. 2, Τοῦ Ποσειδωνίου, [καὶ] τῆς... ὅσον ἑξαστάδιος, [οὗ] μικρῷ πλέον τὸ ἐλάχιστον διαπέραμα.] ΗΔ, ΑΤ, Τοῦ Ποσειδωνίου, τῆς... ὅσον ἑξαστάδιος, μικρῷ δὲ πλέον κ. τ. λ. Οὕτω δ' ἀνεγνωκέναι καὶ τὸν ἀρχαῖον μεταφραστὴν, ὅῆλον ἐκ τῆς ἑρμηνείας, Posidonium recessum, et Rheginam columellam... ad stadia sex, ubi minimus trajectus, paulo majorem, καίπερ τὸ, Οὗ, κακῶς τοπικὸν ἐπίῤῥημα ἐκδεξάμενον, καὶ τὰ λειπόμενα τοῦ χωρίου μὴ κατανοήσαντα. Μικρῷ δὲ πλέον τοῦ ἑξαστάδιου λέγει τὸ ἐγγυτάτω διάρμα ἢ διαπέραμα, τὸ ἀπὸ Σικελίας εἰς Ἰταλίαν· ἦν γὰρ ἑπταστάδιον, ὡς αὐτὸς ἀνωτέρω (σελ. 158) εἴρηκεν. Ἔπιθι τὰς Γαλλικὰς σημειώσεις (Strab. tom. II, pag. 309, not. 1).—Στ. 15, Ἃς καὶ ΑΥΤΟΙ ἐβιάσαντο.] ΑΥΤΑΣ, οἶμαι, χρὴ γράφειν.

ΣΕΛΙΔ. 347, στ. 2, Περιοικίδας.] Ἐκ ΔΓ, ΑΤ, Περιοικίας.—Στ. 5, Εἶθ'.] Τουτέστιν, Εἶτε. Αἱ ἐκθέσεις ἅπασαι, Εἶθ', ἀντὶ τοῦ, Εἶτα, ἐπιῤῥήματος ἐκδιξαμένων τῶν ἐκθετῶν, ὥσπερ καὶ τῶν ἀντιγραφέων. Αἴτιον δὲ τῆς πλάνης, τὸ μακρῷ τούτου διεσκέναι τὸ ἀνταποδιδόμενον ἕτερον, Εἶτε. Ὁ νοῦς, Ὠνομάσθη Ῥήγιον, εἴτε διὰ τὸ ἀπορῥαγῆναι, ὥς φησιν Αἰσχύλος, εἴτε ὡς βασίλειον, ὅπερ Ῥήγιον Rhegium, τῇ Ῥωμαίων φωνῇ καλεῖται. Οὐκ ὀρθῶς δ' ὁ Στράβων ἀμφιβάλλει περὶ τῆς παραγωγῆς τοῦ ὀνόματος· καὶ αὐτοὶ γὰρ οἱ Ῥωμαῖοι, ὡς ἐσημειώσατο ὁ Κασωβὼν, τῆς Ἑλλήνων φωνῆς εἶναι τὸ Ῥήγιον (παρὰ τὸ Ῥηγνύω) ὡμολογήκασι.—Στ. 17, Σαυχόμενον.] Ἐκ ΔΓ, ΑΤ, Συνεχόμενον.—Στ. 18, Μοχλευόμενοι.] Τῶν τις

κριτικῶν, Ἀνοχλευόμενοι, γραπτέον εἶναι εἴκασι. — Στ. 20, Τῶν ταύτῃ νήσων.] Ἐκ ΔΓ ἡ τάξις ΑΤ, Νήσων τῶν ταύτῃ. — Στ. 22, Σειρηνοῦσσαι.] Ἐκ τῶν Χρηστομαθειῶν, ΑΤ, Σειρῆνες. — Στ. 26, Διειργομένας.] Ἐκ τῶν αὐτῶν (Μέρ. Γ, σελ. 349), ΑΤ, Διῃρημένας.

ΣΕΛΙΔ. 348, στ. 5, Διονύσιον.] Προσίθει μετὰ τὸ κύριον ὄνομα τόδε τὴν μετοχήν, Αἰτιασάμενον, ἀβλεπτηθεῖσαν τοῖς τυπογράφοις. — Στ. 7, Φοιβίαν ἐκάλεσεν. Ἐπὶ δὲ Πύρρου ἡ τῶν.] Οὕτω κάλλιστα ὁ Γερμανὸς ἐκδότης ἔγραψεν, αὐτὸς, ὥς φησι, διορθώσας, ΑΤ, Φοιβίαν ἐκάλεσεν ἐπὶ Πύρρου. Ἡ δὲ τῶν. Οὕτω γράφειν δεῖν καὶ ὁ Ἄγγλος ἐκδότης ἐσημειώσατο, ἰδίαν καὶτὸς ποιούμενος τὴν διόρθωσιν. Ἀλλ' ὁμοῦ τι πεντήκοντα πρότερον ἔτεσι τὴν αὐτὴν ταύτην διόρθωσιν κατεχώρισεν ἐν ταῖς εἰς τὸν Σικελιώτην Διόδωρον (τόμ. Β, σελ. 117) σημειώσεσιν ὁ Οὐεσσελίγγιος. Τοῦτο δὲ λέγω, οὐδέτερον τῶν τοῦ Στράβωνος ἐκδοτῶν λογοκλοπίας αἰτιώμενος, ἀλλὰ τοὺς ἀπείρως ἔχοντας τῆς περὶ τὰ τοιαῦτα σπουδῆς διδάσκων, ἵν', εἴ τι καὶ ἡμῖν συμβαίη τοιοῦτον, εὐγνωμονέστερον κρίνειν ἔχωσι. Τί γὰρ θαυμαστὸν τοὺς καὶ χρόνοις καὶ τόποις ἀλλήλων διεσηκότας μακροῖς ὁμολογεῖν πολλάκις ἐν ταῖς διορθώσεσι; — Στ. 10, Κατήρειψαν.] Ἐκ ΔΓ, ΑΤ, Κατείρειψαν. — Στ. 12, Αὐτοῖς.] Ἐκ ΔΓ, ΑΤ, Αὐτῇ. — Στ. 27, Συμπραξάντων καὶ Συρακουσίων ἅμα τούτοις· ἐν οἷς ἐστι καὶ κ. τ. λ.] Οὕτω διώρθωκα, ὡρμημένος ἐκ τῆς ἀρχαίας Λατινικῆς μεταφράσεως, Opem ferentibus Syracusanis una cum iis : apud quos est, ΑΤ, Συμπραξάντων καὶ Συρακουσίων· ἅμα γὰρ οὗτοι, ἐν οἷς καὶ ἔστιν ἐκεῖ.

ΣΕΛΙΔ. 349, στ. 7, Συνάγων.] ΗΔ, ΑΤ, Συναγαγών. — Στ. 11, Περιδιώκειν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιδιώκειν. — Στ. 14, Παίδων.] Ἐκ ΔΓ, ΑΤ, Παιδίων. — Στ. 15, Ἦσαν αἱ θυγατέρες.] ΔΓ, Ἦσαν οἱ θυγατέρες· ἢν εἰς τὸ ὀρθότερον καὶ γνήσιον ἐπανάξεις γράφων αὐτωνυμικῶς, καὶ κατ' ἔγκλισιν, Ἦσάν οἱ θυγατέρες. — Στ. 18, Σώματα.] Ἀποκατέστησα τὴν τῶν προτέρων ἐκδόσεων γραφὴν, ΑΤ, Πράγματα. — Στ. 26, Τοῦτο.] ΗΔ, ΑΤ, Τοῦτον.

ΣΕΛΙΔ. 350, στ. 1, Δεῖν δὲ τὰς αὐτὰς εἶναι. Ἐπαινεῖ δὲ καὶ τό.] ΗΔ, ἣν κατεχώρισα πρὸ τῆς Γαλλικῆς μεταφράσεως ἐν ταῖς εἰς τὸν Βεκκαρίαν (Περὶ ἁμαρτημ. καὶ ποιν. σελ. 212) σημειώσεσιν, ΑΤ (σιγμαῖς διειλημμένου, ὡς ἐλλιποῦς), Δεῖν δὲ τὰς αὐτὰς... ἐπαινεῖν· καὶ τὸ, ὅπερ ἄλλοι ἄλλως διορθοῦν ἐπεβάλοντο. — Στ. 3,

Ἀκριβοῦν θέλοντας ΠΕΡΑ ΤΩΝ ΛΟΚΡΩΝ, ἐνδοξοτέρους μὲν κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, ΠΕΡΙ ΤΩΝ ΑΚΡΩΝ, ἢ ὡς ἑτέρα ΔΓ, ΠΑΡΑ ΤΩΝ ΑΚΡΩΝ. Ἔστι δὲ τὸ Πέρα τῶν Λοκρῶν, ὑπὲρ τοὺς Λοκροὺς, ἢ μᾶλλον τῶν Λοκρῶν. Ἔστι δὲ καὶ οὕτω διορθοῦν τὸ χωρίον· Ἀκριβοῦν θέλοντας περιττῶς, Λοκρῶν ἐνδοξοτέρους μέν κ. τ. λ. — Στ. 14, Παλίσκιον.] Ἐκ ΔΓ, ΑΤ, Παλίσκιον. — Στ. 16, Εὐφρῶς.] Ἴσ. γρ. Εὐφώνως. — Στ. 17, Εὐείκνυτο δ'.] Ἴπως ἄμεινον τὸ γράφειν, Εὐδείκνυτο δὲ καί.—Στ. 24, Ἐκείνοις τῶν.] Ἐκ ΔΓ, ΑΤ, Ἐκείνοις αὐτοῖς τῶν. — Στ. 28, Ἐπειδή.] Ἐκ ΔΓ, ΑΤ, Ἐπεί.

ΣΕΛΙΔ. 351, στ. 3, Ὁ δρυμὸς, ὁ φέρων τὴν ἀρίστην πίτταν τὴν Βρεττίαν, ὃν Σίλαν καλοῦσιν.] Ἐξ ΕΔ, ΑΤ, Ὁ δρυμὸς Σίλα, ὁ φέρων τὴν ἀρίστην πίτταν, ἣν Βρέττιον καλοῦσιν Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Ὁ δρυμὸς, ὁ φέρων τὴν ἀρίστην πίτταν, ἣν Βρεττιάνιον Σίλαν καλοῦσιν. — Στ. 14, Συμμένειαι.] Ἐκ ΔΓ, ΑΤ, Συμμένειν. — Στ. 17, Εἰς Σικελίαν.] ΗΔ, ΑΤ, Ἐν Σικελίᾳ.

ΣΕΛΙΔ. 352, στ. 4, Ὡς γε ἐπί.] ΗΔ, ΑΤ, Ὥσε γε ἐπί.—Στ. 6, Δισχιλίους.] Ἴδε τὰς Γαλλικὰς σημειώσεις (Strab. tom. II, pag. 326, not. 1), ἐν αἷς καὶ τὰ ἐχόμενα ὅτι συγκέχυται εἴση.—Στ. 8, Μιλίων ΔΙΑΚΟΣΙΩΝ ΤΕΤΤΑΡΑΚΟΝΤΑ... καὶ τὸ ΛΕΙΠΟΝ τοῦ πλάτους.] Ὅτι μὲν κακῶς διατέθειται ὑπὸ τῶν ἀντιγραφέων ὅλον τοῦτο τὸ χωρίον, δηλοῦσι τὰ κενὰ διαστήματα· ὅπως δ' ἀναπληροῦν αὐτὰ πιθανῶς ἔστιν, εἴση ἐπιὼν τὰς Γαλλικὰς σημειώσεις. Ἔγραψα οὐδετέρως, ΛΕΙΠΟΝ, ἐκ τῶν ἀντιγράφων, ὧν τινὰ καὶ ΤΕΤΡΑΚΟΣΙΩΝ ΤΕΤΤΑΡΑΚΟΝΤΑ φέρει, ἀντὶ τοῦ, ΔΙΑΚΟΣΙΩΝ ΤΕΤΤΑΡΑΚΟΝΤΑ.—Στ. 16, Ἐν ἑκατὸν καὶ πεντήκοντα.] Ἐν πεντήκοντα μόναις φησὶν ὁ Λίβιος. —Στ. 17, Λιμήν.] Λίμνην γραπτέον εἶναί τινες ὑπέλαβον.—Στ. 18, Ὧν τὴν ἐπωνυμίαν.] Γράφε θαρρῶν, Οὗ τὴν ἐπωνυμίαν· Νέαιθος γάρ ἐστι μόνος ὁ ἀπὸ τοῦ συμβεβηκότος, τουτέστι τοῦ ἐμπρησμοῦ τῶν πλοίων (παρὰ τὸ Ναῦς καὶ Αἴθω), οὕτως ὀνομασθείς.— Στ. 23, Ἐκείνους.] Ἴσ. γρ. Ἐκεῖ. — Στ. 24, Αὖθις.] ΗΔ, ΑΤ, Εὐθύς.

ΣΕΛΙΔ. 353, στ. 5, Ἐπανερέσθαι οὖν... εἰ λῷον... τὸν δὲ ἀντειπεῖν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπανέρεσθαι δ' οὖν... εἰ δοτὸν... τὸν δὲ ἀντειπεῖν.—Στ. 8, Παρὲκ θεόν.] Ἐξ ΕΔ, ΑΤ, Πάρεκ σέθεν.—Στ. 9, Κλαύματα.] ΗΔ (ὧδέ τε καὶ ταῖς Χρησμωθείαις, Μέρ. Γ, σελ. 351),

ΑΤ, Κλάσματα, ὃ φέρουσι τὰ πλεῖστα τῶν ἀντιγράφων, ἐν ἑτέροις τριῶν, ἀντὶ μιᾶς, λέξεων (ἃς οὐκ ἐπιδέχεται τὸ μέτρον), Οὐκ ἀγαθὰ κλάσματα, φερομένων. Παρὰ δὲ τῷ Ζηνοβίῳ (Παροιμ. γ', 42) Οὐκ ἄλλα· καὶ τοῦτό τινες τρισπτέον ἔφασαν εἶναι εἰς τὸ, Οὔδαλα· ὅπερ ὁ μὲν Καλλίστρατος (παρ' Εὐσταθ. εἰς τὸ Ὀδύσσ. Ρ, σελ. 1808) ἐξηγεῖται διὰ τοῦ, ακόπρια, ἢ ἄλλως λύματα, παρὰ τὸν οὐδόν, » ἤτοι τὸν βατήρα, κείμενα », Ἡσύχιος δὲ διὰ τοῦ ατῶν ἄρτων τὰ » φλογίσματα ». Οὐδετέρας οὖν τῶν σημασιῶν τούτων προσηκούσης τῷ νῷ τοῦ χρησμοῦ, ὥσπερ οὐδὲ τῆς πρὸ ἡμῶν ἐκδεδομένης γραφῆς, Κλάσματα, μόνον τὸ ἡμέτερον, Κλαύματα, καλῶς ἔξει, μετωνυμικῶς λαμβανόμενον ἀντὶ τοῦ, δυσχήματα. Πείσεται δὲ τὴν διόρθωσιν οὐ μόνον τὸ προσθειμένον, Οὐκ ἀγαθὰ, τῇ γραφῇ, ὃ προδήλως, οὐ μέρος αὐτῆς, ἀλλ' ἐξήγησίς ἐστι τοῦ Κλαύματα, ἀλλ' ἔτι μᾶλλον τὸ συνώνυμον Δακρύματα, παραπλησίως ἀντὶ τοῦ, δυσχήματα, δι' ἑτέρου χρησμοῦ τοῖς Κρησὶν ἀποφοιβασθέν, οἳ, καθάπερ ἱστόρησεν Ἡρόδοτος (ἡ, 169), « Τὸν θεὸν ἐπειρώτεον, εἰ σφι ἄμεινον γίνε- » ται τιμωρέουσι τῇ Ἑλλάδι. Ἡ δὲ Πυθίη ὑπεκρίνατο, Ὦ νήπιοι, » ἐπιμέμφεσθε ὅσα ὑμῖν... Μίνως ἔπεμψε μηνίων δακρύ- » ματα ». — Στ. 12, Ὥρμητο.] ΗΔ, ΑΤ, Ὥρμηντο.—Στ. 27, Ὑποσπάσαι δὲ καί.] Ἐκ ΔΓ, προσείληφα τὸν δεύτερον τῶν συνδέσμων.

ΣΕΛΙΔ. 354, στ. 4, Ἐπισυμπίσειν... ἀπολῃθέντα δ' αὐτὸν ἐν τοιαύτῃ.] Ἐκ ΔΓ, ΑΤ, Συμπεσεῖν... ἀπολειῥθέντα δ' αὐτὸν ἐν τῇ τοιαύτῃ. — Στ. 8, Οἰκιστὴς δ' αὐτῆς ΟΙΣ... ΕΛΙΚΕΥΣ.] ΗΔ, ΑΤ, Ὁ ΙΣΕΛΙΚΕΥΣ, ὅπερ ἅπαντες, ἀντὶ κυρίου ὀνόματος συντεταγμένου τῷ ἄρθρῳ ἐκδεξάμενοι, τὸν οὐδαμοῦ γῆς ὑπάρξαντα Ἰσελικέα οἰκιστὴν τῆς Συβάριδος ὑπέλαβον (οὐδεὶς γὰρ Ἑλλήνων ποτὲ τοιαύτης ἔτυχε κλήσεως). Τὸ ὑπὸ τῶν ἀντιγραφέων κεκολοβωμένον (ΟΙΣ..) ὄνομα τἀνδρὸς, οὐκ ἐξισχύσας μαντεῦσαι, τὸ γοῦν τῆς πατρίδος αὐτοῦ πιστῶς οἶμαι διεδηλωκέναι, Ἑλικέα φήσας αὐτόν· Ἐπεὶ γὰρ ἡ Σύβαρις ὑπὸ Ἀχαιῶν ᾠκίσθη, εἰκὸς καὶ τὸν εἰς τὸν οἰκισμὸν ἀποκαλέντα Ἀχαιὸν γεγονέναι· ἦν δ' οὗτος ἐξ Ἑλίκης, μιᾶς τῶν Ἀχαϊκῶν δώδεκα πόλεων (Στράβ. Μέρ. Β, σελ. 142), καθὰ καὶ ὁ ἀνωτέρω (σελ. 353) μνημονευθεὶς Μύσκελλος, ὁ κτίσας τὴν Κρότωνα, Ἀχαιὸς κἀκεῖνος, ἐκ Ρυπῶν ἦν, ἑτέρας Ἀχαϊκῆς πόλεως (Στράβ. Μέρ. Β, σελ. 143). — Στ. 19, Διεχειρίσαντο.] Ἐκ ΔΓ, ΑΤ, Διεχειρώσαντο.—Στ. 23, Ξανθοτριχεῖν καὶ λευκοτριχεῖν.] Ξανθοτριχεῖν, μόνον ἐν τῇ τοῦ Γερμανοῦ,

ἐκδόσει, τὰ λοιπὰ ἡ τῶν τυπογράφων παριδόντων, ἢ καὶ αὐτοῦ διαγράψαντος, ὡς ἀνοίκεια τῷ χωρίῳ. Τῶν γὰρ ἐξορησάντων τὰ περὶ τοῦ ποταμοῦ τοῦδε, οἱ μὲν ξανθίζειν αὐτὸν, οἱ πλείους, οἱ δ' εἰς τὸ λευκὸν μεταβάλλειν ἔφασκον τὴν χρόαν, οὐδενὸς ἀμφότερα ποιεῖν ἅμα φήσαντος (Ἰδ. τὰς εἰς τὸν Ἀριστοτέλ. περὶ θαυμασ. ἀκουσμ. κφ. 183 σημειώσ. τοῦ Βεκκάννου, καὶ τὰς εἰς τὸν Αἰλιαν. περὶ ζώων ἰδιότητ. εβ', 36 τοῦ Σνειδέρου). Ἴσως οὖν κἂν τῷ προκειμένῳ χωρίῳ τοῦ Στράβωνος, τρέποντας τὸν συμπλεκτικὸν εἰς τὸν διαζευκτικὸν, γραπτέον, Ξανθοτριχεῖν, ἢ λευκοτριχεῖν, ἵν' ᾖ τῶν μὲν μελάνων εἰς τὸ ξανθὸν, τῶν δ' αὖ ξανθῶν εἰς τὸ μέλαν τρέπειν τὴν χρόαν.—Στ. 27, Κοπίας.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Κωπιάς.

ΣΕΛΙΔ. 355, στ. 4, Ἡράκλεια πόλις.] Ἐξ ΕΔ, ΑΤ, Ἡρακλεόπολις.—Στ. 7, Ἀνοικισθείσης.] ΗΔ, ΑΤ, Οἰκισθείσης. Ὁ νοῦς, Μικρὸν ὑπὲρ τῆς θαλάττης ἦσαν Ἡράκλεια, καὶ ἑτέρα πόλις Σεῖρις, ὁ μώνυμος τῷ ποταμῷ Σείρις· ὕστερον δὲ, τῆς Ἡρακλείας ἀνοικισθείσης ἐντεῦθεν, τουτέστι μετατεθείσης ἀνώτερον οὗ κατεῖχε τόπου πρὸς τῇ θαλάττῃ, ἡ Σεῖρις ἐγένετο ἐπίνειον τῆς Ἡρακλείας.—Στ. 16, Μὴ καταμύσαι φανῆναι μόνον.] ΠΔ, ΔΤ, Μὴ μόνον καταμῦσαι φαινόμενον, ΔΓ, Μὴ καταμύσαι φαινόμενον.—Στ. 17, Ἀποσκραφῆναι.] Προσυπακουσέον ἀπὸ κοινοῦ τὸ, Φανῆναι. Ὁ γὰρ νοῦς τοῦ ὅλου χωρίου, Μὴ φανῆναι καταμύσαι μόνον ἅπαξ, ἀποσπωμένων τῶν ἑκτῶν, ὥσπερ καὶ τὸ ἐν Ἰλίῳ ἐφάνη καταμύσαι, βιαζομένης τῆς Κασσάνδρας, ἀλλὰ καὶ δείκνυσθαι νῦν ἔτι καταμύον.—Στ. 21, Σειρίτιδι.] Γραπτέον ἔοικεν εἶναι, Σείριδι.—Στ. 24, Καὶ τὴν Σειρῖτιν (γρ. Σεῖριν, ἢ, Σείριδα), καὶ τὴν ΠΕΡΙ ΤΟΝ ΤΡΑΕΝΤΑ Σύβαριν.] ΗΔ, ΑΤ, Καὶ Σειρῖτιν, καὶ τὴν ΕΠΙ ΤΕΥΘΡΑΝΤΟΣ Σύβαριν. Ὅτι μὲν ἡμάρτηται τὸ χωρίον, ὡμολόγηται καὶ τοῖς πρὸ ἡμῶν ἅπασιν· ὅτι δὲ καὶ δυσχερὴς αὐτοῦ ἡ ἐπανόρθωσις, καὶ τοῦτο τῶν ὡμολογημένων ἐστίν. Ἐφ' ὑδροῦντος, εἰκαζε δεῖν γράφειν τῶν ἐν ὀνόματί τις κριττικῶν· ὃ μετ' ἐκεῖνον ὑπενόησε καὶ ὁ Ἄγγλος ἐκδότης, Ἡμῖν δὲ τοῦ, Περὶ τὸν Τράεντα, γράφειν τὰς ἀφορμὰς δέδωκεν ὁ Σικελιώτης Διόδωρος (εβ', 22), λέγων α Διαφεύγοντες τὸν ἐν » τῇ ςάσει κίνδυνον Συβαρῖται περὶ τὸν Τράεντα ποταμὸν κατῴκησαν· » καὶ χρόνον μέν τινα διέμειναν, ἔπειθ' ὑπὸ Βρεττίων ἐκβληθέντες » ἀνῃρέθησαν ». Εἰκὸς γὰρ τοὺς ἐκ τῆς περὶ τὸν Κρᾶθιν Συβάριδος ἐκβληθέντας Συβαρίτας, καὶ τὸ τῆς πόλεως ὄνομα μετενέγκαι ἐφ' ὃν μετῳκίσθησαν περὶ τὸν Τράεντα χῶρον. Ἔστι δὲ καὶ συντομωτέρως

γράφειν, Περὶ Τράεντα, ἢ Ἐπὶ Τράεντος, τῆς, Ἐπὶ, προθέσεως πλατύτερον ἐκλαμβανομένης. Εἰ δέ τις οὐκ ἀποδέχεται τὴν ἡμετέραν διόρθωσιν, προαιρείσθω τὴν τῶν πρὸ ἡμῶν, γράφων μέντοι, οὐκ, Ἐφ' Ὑδροῦντος, ἀλλ', Ὑπὲρ Ὑδροῦντος, ἢ γοῦν Περὶ Ὑδροῦντα. Ἔστι γὰρ πόλις, οὐ ποταμὸς, ὁ Ὑδροῦς (τανῦν Otranto), ἧς πλησίον καὶ Λουπίαι πόλις, πρότερον, Σύβαρις καλουμένη, ὥς φησιν ὁ Παυσανίας (ϛ', 19).—Στ. 26, Κλεανδρίδᾳ.] Ἐξ ΕΔ, ΑΤ, Κλεανδρίᾳ.

ΣΕΛΙΔ. 356, στ. 13, Δυεῖν δ' οὐσῶν πόλεων, τοῦ δὲ Μεταποντίου ἐγγυτέρω τοῦ Τάραντος ὄντος, πεισθῆναι.] ΗΔ (συγχέουσα ἐν μέρει τοῖς ἀντιγράφοις), ΑΤ, Δυοῖν δ' οὐσῶν τῶν πόλεων τῶν Μεταποντίων ἐγγυτέρω τοῦ Τάραντος, πεισθῆναι.—Στ. 23, Παρωνομᾶσθαι.] Ἐκ ΔΓ, ΑΤ, Παρονομασθῆναι.

ΣΕΛΙΔ. 357, στ. 5, Ἀποδοίη.] Ἰσ.γρ. Ἀποδιδοίη.—Στ. 19, Στηλίδα τήν.] Ἐξ ΕΔ, ΑΤ, Στηλίδα καὶ τήν.—Στ. 23, Ταύτην.] Ἐκ ΔΓ, ΑΤ, Αὐτήν.

ΣΕΛΙΔ. 358, στ. 1, Ἢ μὲν ἐπί.] ΗΔ, ΑΤ, Ἥ τ' ἐπί.—Στ. 7, Ἐκμέν.] ΗΔ, ΑΤ, Ἔκ γε, εἰς ὅπερ μετέβαλεν ὁ Γερμανὸς (ἐξ ΕΔ) τὸ τῶν προτέρων ἐκδόσεων (οὐδὲν μᾶλλον ὀρθὸν), Ἐκ δέ.—Στ. 10, Ἄλαισαν.] Προσέθηκα τὸ ϖ, ἵν' ᾖ αἰτιατικὴ τοῦ θηλυκοῦ ὀνόματος Ἄλαισα.—Στ. 15, Ἀκραγαντίνων.] Ἐκ ΔΓ, ΑΤ, Ἀκραγαντῖνον.—Στ. 23, Τὸν περίπλουν ἡμερῶν καὶ νυκτῶν πέντε.] Πλούταρχος δὲ (Περὶ φυγ. § 10) τεσσάρων ἡμερῶν τὸν τῆς Σικελίας περίπλουν λέγει.—Στ. 24, Ποσειδώνιος δὲ τοῖς... τὴν νῆσον, πρός.] ΗΔ, ΑΤ, Ποσειδώνιός τε τοῖς... τὴν νῆσον, καὶ πρός.

ΣΕΛΙΔ. 359, στ. 3, Ἐκκεῖσθαι πρὸς ἕω μὲν καὶ πρὸς ἄρκτον βλέπουσαν, ποιοῦσαν δὲ τὴν πλευρὰν τὴν πρός.] Οὕτω διεσκεύασα τὸ χωρίον, ΑΤ, Ἐκκεῖσθαι πρὸς ἄρκτον βλέπουσαν· ποιήσει δὲ τὴν πλευρὰν καὶ πρός. Τὸ μὲν Ἀντίγραφον σὺν ἄλλοις, Ἐκκεῖσθαι πρὸς ἕω φαμὲν πρὸς ἄρκτον βλέπουσαν, ποιήσει δὲ τὴν πλευρὰν καὶ πρός. Ἑτέρα ΔΓ, Ἐκκεῖσθαι πρὸς ἕω πρὸς ἄρκτον βλέπουσαν, ποιήσεις δὲ κ. τ. λ.—Στ. 10, Ἐπὶ Πάμισον.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ' Ἀμισόν.—Στ. 12, Λέγῃ.] Ἐκ ΔΓ, ΑΤ, Λέγειν.—Στ. 15, Λοξοῖτο ἀπό.] Ἐξ ΕΔ, ΑΤ, Δόξοι τὸ ἀπό. ΔΓ (ἣν ἀπεδέξατο ὁ Γερμανὸς ἐκδότης), Δόξοιτο ἀπό.

ΣΕΛΙΔ. 360, στ. 2, Συνῆλθον.] Ἐκ ΔΓ, ΑΤ, Συνελθοῦσαι.

ΣΕΛΙΔ. 361, στ. 1, Ἐκπεσὼν τῆς νήσου.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ-

πεσὼν ἐκ τῆς νήσου.—Στ. 4, Εὐθέως.] ΗΔ, ΑΤ, Εὐφυῶς.—Στ. 9, Καλοῦσί τε.] ΗΔ, ΑΤ, Καλοῦσι δέ.—Στ. 20, Ξύνες ὅ τε.] ΕΞ ΕΔ, ΑΤ, Ξύνες τέ.—Στ. 21, Ἱερῶν.] ΕΞ ΕΔ, (ἐπιθετικῶς), ΑΤ, κυριωνυμουμένου, Ἱέρων.—Στ. 23, Μετὰ δὲ τὴν·] ΗΔ, ΑΤ, Κατὰ δὲ τὴν.

ΣΕΛΙΔ. 362, στ. 3, Ὅταν οὖν, φησὶ Ποσειδώνιος, φλέγηται τά.] ΗΔ, ΑΤ, Ὅταν τῷ Ποσειδωνι φαίνηται τά Τὸ ἐμὸν ἀντίγραφον, Ὅταν τῷ Ποσειδῶνι φαίνηται τά. Ἔπειθε τὰ ἐπισημειωθέντα μοι τῇ διορθώσει (Μέρ. Γ, σελ. ζ΄) —Στ. 9, Φασίν.] Ἰσ.γρ. Φησὶν ὁ Ποσειδώνιος δηλονότι.—Στ. 23, Ἥ τε Νάξος.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἡ Νάξος.—Στ. 25, Χρηκηριασομένους.] ΗΔ, ΑΤ, Χρηςηριαζομένων. ΔΓ, Χρηςηριαζομένους.

ΣΕΛΙΔ. 363, στ. 4, Οὐκ ἂν ἐκγένοιτο αὐτοῖς ἡ Συρακουσίων δεκάτη.] Ἀσαφὴς ἡ παροιμία, ἣν ἀσαφεστέρως ἐξήνεγκεν ὁ τῶν Χρησομαθειῶν (Μέρ. Γ, σελ. 354) συγγραφεύς, φήσας, Οὐδὲ τὴν τῶν Συρακουσίων δεκάτην ἀμείβω. Εἴη δ' ἂν ὁ νοῦς, ἐπὶ τῶν ἀφειδῶς ἀναλισκόντων λεγομένης, οὐκ ἂν ἐξαρκέσειεν αὐτοῖς οὐδ' ἡ Συρακουσίων δεκάτη, καίπερ οὖσα μεγίστη. — Στ. 6, Στρατιάς.] Ἐξ ΕΔ, ΑΤ, Στρατείας.—Στ. 9, Οἰκίσαι.] Ἐκ ΔΓ, ΑΤ, Οἰκῆσαι.—Στ. 12, Μετ' αὐτῶν.] Ὧδε ἐκ ΔΓ μετέθηκα τὸ κακῶς τεθὲν μετὰ τὸ, Συρακούσας.—Στ. 14, Οἵ τε ἄνδρες.] Ἐκ ΔΓ, ΑΤ, Οἱ ἄνδρες.—Στ. 22, Πρώτους... γενέσθαι... Καὶ τό.] ΗΔ, ΑΤ, Πρώτους... λέγεσθαι... Καὶ τήν.

ΣΕΛΙΔ. 364, στ. 11, Ἐνθένδε.] Ἐκ ΔΓ προσέθηκα τὴν λέξιν. —Στ. 12, Εἰς τὸν ποταμὸν ἐν Ὀλυμπίᾳ.] Τῆς ἐκδεδομένης γραφῆς, Εἰς τὸν ποταμὸν ἐνόμισαν ἐν Ὀλυμπίᾳ, διαγράψαι δεῖν ᾠήθην τὸ, Ἐνόμισαν, καὶ τοῖς πρὸ ἡμῶν ὕποπτον εἶναι δόξαν.—Στ. 18, Ταὐτά.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Ταὐτα.—Στ. 25, Συμμεῖναι.] Ἄμεινον ἂν γράφοις Συμμεῖναι, κατ' εὐκτικὴν ἔγκλισιν.—Γλυκύ.] Ἐκ ΔΓ, ΑΤ, Γλυκύν.

ΣΕΛΙΔ. 365, στ. 2, Ἐκεῖ μὲν καὶ βραχὺ τὸ διάζημα.] ΗΔ (μόνου τοῦ, Καὶ, προσληφθέντος ἐκ ΔΓ), ΑΤ, Ἐκεῖνο μὲν βραχὺ διάζημα.—Στ. 5, Οἰκεῖος.] Ἐκ ΔΓ, ΑΤ, Οἰκείας.—Στ. 6, Αὐτὴ ῥεύματι εὐπειθὴς, οὐχ ὅπως τοσούτῳ τε καὶ διὰ τοιούτων πόρων φερομένῳ.] Οὕτω διεσκεύασα, τὸ μὲν ἐξ ΕΔ, μέρος δέ τι καὶ αὐτὸς ἀναπληρώσας τὰ ὄντα καὶ δόξαντα τοῖς πρὸ ἡμῶν ἐλλιπῆ, ΑΤ, Αὕτη ῥεύματι εὐπειθὴς... οὐχὶ τῷ τότε (ΔΓ, οὐχὶ τῷ)... οὕτω

(ΔΓ, οὕτω τε) καὶ διὰ τοιούτων ὁρῶν φερομένῳ (ΔΓ, φερομένων). Ὁ νοῦς, Καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ φαλὴ οὐκ ἔστιν εὐπειθὴς ῥεύματι, μήτι γε τοσούτῳ ῥεύματι, καὶ διὰ τοιούτων πόρων φερομένῳ.—Στ. 10, Καὶ τῷ περί.] ΗΔ, ΑΤ, Καὶ τὰ περί.—Στ. 16, Τοῖς Ἀχελῴου.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ Ἀχελῴου.—Στ. 17, Καὶ ὑποβάς.] Ἐχώρισα ταῦτα τοῦ ἑξῆς Σοφοκλείου ἔπους, κακῶς μέρος αὐτοῦ νομισθέντα, τῶν μέν, « Καὶ ὑποβὰς ἐνθένδ' εἰς Ἄργος », τῶν δέ, Καὶ γῆν » ὑποβὰς ἔνθεν εἰς Ἄργος » γραφόντων. Ἴδε τὰς ὑποτεταγμένας σημειώσεις τῇ τοῦ Ἄγγλου ἐκδόσει, καὶ Mus. Critic. or Cambridge Classic. research. n° II, october, 1813, pag. 145.—Στ. 29, Οὗτος.] Ἐκ ΔΓ, ΑΤ, Οὕτω. Ἑτέρα ΔΓ, Οὕτως.

ΣΕΛΙΔ. 368, στ. 3, Συμβαλομένην.] ΗΔ, ΑΤ, Συμβαλλομένην.—Στ. 22, Περειλημμένην.] Γράφε, Περειλημμένῳ, ὡς παρήνει τις τῶν κριτικῶν.—Στ. 23, Ὀροπεδίοις.] Ἐκ ΔΓ, ΑΤ, Ὀρεπεδίοις.—Πᾶσιν.] Ἐξ ΕΔ, ΑΤ, Πᾶσαν.—Στ. 25, Τὰ αὐτὰ ταῦτα καί.] Ἐκ ΔΓ, ΑΤ, Τὰ αὐτὰ καί.

ΣΕΛΙΔ. 369, στ. 2, Ἀνετίθεσαν.] Ἐκ ΔΓ, ΑΤ, Ἀνέθεσαν.—Στ. 4, Αὐτή.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Αὕτη.—Στ. 14, Οἱ Καμικοί.] Ἑνικῶς καὶ ἀθλικῶς, ἡ Κάμικος, φέρεται παρ' Ἡροδότῳ καὶ τοῖς λοιποῖς συγγραφεῦσι.—Στ. 22, Σέλουρος.] Ἐν ταῖς Χρησμωδίαις (Μέρ. Γ, σελ. 354) γράφεται, Σέρουλος.—Στ. 25, Χρόνον' ὃν ἐν τῇ.] Ἐκ ΔΓ, ΑΤ, Χρόνον' τοῦτον δ' ἐν τῇ.

ΣΕΛΙΔ. 370, στ. 7, Ταμιεῖον.] ΗΔ, ΑΤ, Ταμεῖον.—Στ. 13, Κακάκωται δέ... εὐτυχημάτων οὐκ ἀεί] Κακῶς ὧδε μετενηχθῆναι ἔοικεν ὅλη ἡ περίοδος αὕτη, οἰκειοτέρως ἂν καταχωρισθεῖσα ἀνωτέρω (σελ. 369) μετὰ τὰς λέξεις, Εὔβοιαν δὲ οἱ Λεοντῖνοι, ὥσπερ ὀρθῶς ἔκρινεν ὁ Γερμανὸς ἐκδότης.

ΣΕΛΙΔ. 371, στ. 4, Ἐχούσῃ.] ΗΔ, ΑΤ, Ἔχοντι.—Στ. 5, Ὁρᾶν τ' ἐν τῷ μέσῳ.] Ἐκ ΔΓ, ΑΤ, Ὁρᾶν τε τὸ μέσον.—Στ. 9, Προελθεῖν... ἐπειδὴ θερμοτέρας ἐπέβαινον τῆς ψάμμου.] Ἐκ ΔΓ, ΑΤ, προσελθεῖν... ἐπεὶ δὲ θερμοτέρας ἔβαινον τῆς ἄμμου.—Στ. 14, Καθάλοιτο.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Καθάλλοιτο.—Στ. 22, Φθάνειν.] ΗΔ, ΑΤ, Φθάνοι.—Στ. 24, Ἐπιλειπούσης τῆς.] ΗΔ, ΑΤ, Ἐπιλειπούσης ποτὲ τῆς.

ΣΕΛΙΔ. 372, στ. 5, Ἀναβολάς.] Ἐκ ΔΓ, ΑΤ, Ἐκβολάς.—Στ. 7, Ἔχουσαι.] Ἐκ ΔΓ, ΑΤ, Ἔχουσι.—Στ. 10, Θολῶδες.] ΗΔ, ΑΤ, Θολοειδές. Ἔπιθι τὸν Μακρόβιον (Macrob. *Saturnal. V*, 19).—

Στ. 13, Ἔχει.] Ἐκ ΔΓ, ΑΤ, Ἔχειν.—Στ. 22, Πιπιεσῦσθαι.] Ἐκ ΔΓ, ΑΤ, Πιεσυθῆναι.—Στ. 26, Ἰταλίαν.] Ἐκ ΔΓ, ΑΤ. Σικελίαν.

ΣΕΛΙΔ. 375, στ. 4, Θέρμισσαν.] Ἐκ ΔΓ (ὧδέ τε καὶ κατωτέρω) ΑΤ, Θέρμισσαν. — Στ. 9, Καὶ γῆν... μέταλλον εὐπρόσοδον.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὴν γῆν... μετάλλων πρόσοδον.—Στ. 21, Ἐξαπτόμενον.] Ἐκ ΔΓ, ΑΤ, Ἐξαναπτόμενον.—Στ. 22, Ἀμωσγέπως.] ΗΔ, ΑΤ, Ἄλλως γέ πως.—Στ. 25, Πεντήκοντα.] Ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 350), Τριάκοντα.—Στ. 26, Καθ' οὗ.] Οὕτω καὶ ἐν ταῖς Χρησομαθείαις. Ἀλλ' ἴσ. γρ. Μεθ' ὃ, τουτέστι, μετὰ τὴν εἰς πεντήκοντα πόδας συναγωγήν, καθάπερ ἐξέφρασε καὶ ὁ Λατῖνος μεταφραστὴς (atque inde).—Στ. 27, Ἀπιστεῖον.] Ἐκ ΔΓ, ΑΤ, Ἀπιστεῖον.

ΣΕΛΙΔ. 374, στ. 8, ΤΩΝ γοῦν ἐν Λιπάραις, γενομένης ἀπλοίας; προειπεῖν τινάς φησι ΤΟΝ ἐσόμενον ἄνεμον, καὶ μή.] Ἀποκατέστησα τὴν πρότερον γραφήν, προσειληφὼς ἐξ ΕΔ καὶ τὴν προπαρατελευταίαν λέξιν, ΑΤ, ΤΗΣ γοῦν ἐν Λιπάραις γενομένης ἀπλοίας (ΔΓ ἀπονοίας) προειπεῖν τινας ΤΟ ἐσόμενον, καὶ μή. Ὁ δὲ σοφὸς τοῦ Πολυβίου (τόμ. Δ, σελ. 651, καὶ τόμ. Η, σελ. 115) ἐκδότης (Schweighäuser) διώρθου τὸ χωρίον τόδε, γράφων, ΤΗΣ γοῦν ἐν Λιπάραις γενομένης ἀπνοίας, προειπεῖν τινας τὸν ΣΕΙΣΜΟΝ, καὶ μή. Καὶ ἔχει τῆς ἐκδεδομένης γραφῆς μακρῷ πιθανωτέραν ἡ διόρθωσις αὕτη, μικρᾶς μόνον, ὡς γε μοι δοκεῖ, ἐπιδιορθώσεως χρήζουσα τῆσδε· ΤΟΙΣ γοῦν... τὸν ΕΣΟΜΕΝΟΝ ΣΕΙΣΜΟΝ, καὶ μή.—Στ. 15, Αὕτη.] ΗΔ, ΑΤ, Αὐτή.

ΣΕΛΙΔ. 375, στ. 9-11, Ἐν δὲ τῶν... γινομένους.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ δὲ τῶν... γενομένους. — Στ. 17, Φλαμινῖνον.] Ἐξ ΕΔ, ΑΤ, Φλαμίνιον.—Στ. 25, Ἑκατέρας ἀμφότεραι διέχουσαι.] Ἄκρας παρήνει τις τῶν κριτικῶν γράφειν, ἀντὶ τοῦ Ἑκατέρας. Ἴσ. ἐγέγραπτο πάλαι δίχα τῆς λέξεως ταύτης, Ἀμφότεραι διέχουσαι, ἢ, Ἑκατέρα διέχουσα, ἄνευ τῆς μεταξὺ λέξεως.—Στ. 28, Ἀφ' ἑκατέρας.] Ἐκ ΔΓ, ΑΤ, Ἐφ' ἑκατέρας.

ΣΕΛΙΔ. 376, στ. 6, Εἰσὶ, καὶ Ἄπουλοι, οἱ καὶ Δαύνιοι.] ΗΔ, ΑΤ, Εἰσὶ καὶ οἱ Δαύνιοι. ΔΓ, Εἰσὶ καὶ Αὐδάνιοι: Εἰσὶ καὶ Ἀδαύνιοι. Ὑπηγόρευσε δέ μοι τὴν διόρθωσιν αὐτὸς ὁ Στράβων, φήσας ἀνωτέρω (σελ. 325), «Τοὺς Ἀπούλους, οὓς οἱ Ἕλληνες Δαυνίους κα» λοῦσιν».—Στ. 9, Ἔστι δέ τι χερρόνησίζουσα.] ΗΔ, ΑΤ, Ἔστι δ' ἐπιχερρόνησιάζουσα.—Στ. 11, Ἐπὶ τὴν ἄκραν.] ΗΔ, ΑΤ, Περὶ

τὴν ἄκραν.—Στ. 15, Λιμήν.] Ἐξ ΕΔ προσειληφα τὴν λέξιν. —Στ. 23, Τὸ πρὸς τῷ ἰσθμῷ.] Ἐκ ΔΓ προσειληφα τὸ πρῶτον ἄρθρον.

ΣΕΛΙΔ. 377, στ. 7, Κολοσσικάς.] Ἀπήλειψα (ἐκ ΔΓ) τὸ πρὸ τῆς λέξεως ἄρθρον.—Στ. 18, Τοῖς παρὰ τῆς βουλῆς ὀνομασθεῖσι.] ΔΓ, Τοῖς περὶ τῆς βουλῆς ὀνομασθεῖσι. Ἐνδέχεται τὴν γνησίαν γραφὴν ὑπάρξαι πάλαι, Τοῖς περὶ τῆς ἐπιβουλῆς νομισθεῖσι, τουτέστι, προσάτης μὲν ὑπῆρχεν ὁ Φάλανθος τῶν ἐπιβουλευσάντων τῷ δήμῳ, οὐχ ἁπλῶς δ' ἅπασι τοῖς ὑπ' ἐκείνων κριθεῖσι περὶ τῆς ἐπιβουλῆς ἠρίσκετο, ἀπηνέστερον ἴσως ἐκείνων βουλομένων τίσασθαι, αὐτὸς πραοτέραν χρῆναι ποιήσασθαι τὴν ἐπίθεσιν ἐγνωκώς.—Στ. 19, Ἰακινθίοις.] Ἐκ ΔΓ, ΑΤ, Ἰακινθίνοις. — Στ. 20, Περίθηται.] Ἐκ ΔΓ, ΑΤ, Περιθῇ.—Στ. 21, Ἐξαγγειλάντων δὲ τινῶν... τῶν περὶ Φάλανθον.] ΔΓ, Ἐξαγγείλαντες δὲ... οἱ περὶ Φάλανθον, ἀνακολούθως δηλονότι πρὸς τὰ ἑπόμενα, καθάπερ καὶ κατωτέρω (σελ. 379) « Ἐξαγγείλαντες... χαλεπὸν ἔγνωσαν » ἔνθα ἕτεροι τῶν γνόντων εἰσὶν οἱ ἐξαγγείλαντες. Τοῦ δ' οὖν προκειμένου χωρίου ἡ γνησία γραφὴ ἔοικεν εἶναι, Ἐξαγγειλάντων δὲ λάθρα τὰ συγκείμενα τῶν περὶ Φάλανθον, τουτέστιν αὐτοῦ τοῦ Φαλάνθου ἐξαγγείλαντος, ὡς μὴ ἀρεσκομένου ἅπασιν ἁπλῶς τοῖς ὑπὸ τῶν συνεπιβούλων κριθεῖσι.—Στ. 23, Εἶπε.] Ἄμεινον ἂν ἐγράφετο, Ἀνεῖπε. —Μὴ περιθέσθαι.] ΗΔ, ΑΤ, Μὴ ἂν περιθεῖναι.—Στ. 25, Κελεύσαντες δ' αὐτούς.] ΔΓ (ἀμείνων), Κελεύσαντος δ' αὐτοῦ, τοῦ φαλάνθου δηλονότι· μέσος γὰρ ἦν τῶν τε ξασιωτῶν καὶ τοῦ δήμου, τὸ παρὸν εὖ θέσθαι βουλόμενος.

ΣΕΛΙΔ. 378, στ. 1, Παρθενίαι.] ΗΔ (ὧδέ τε κἀν τοῖς ἑξῆς) ΑΤ, Παρθενεῖαι.—Στ. 24, Στρατιᾶς.] ΗΔ, ΑΤ, Στρατείας.

ΣΕΛΙΔ. 379, στ. 14, Τινὲς ἐξαγγείλαντες.] Ἀνακολουθον, ὥσπερ τὸ ἀνωτέρω, πλὴν εἰ γράφοις, Τινὸς ἐξαγγείλαντος.—Στ. 23, Τὸν Τάραντα.] ΗΔ, ΑΤ, Τὴν Τάραντα.

ΣΕΛΙΔ. 380, στ. 3, Ἢ τὰς ἄλλας ἡμέρας.] Ἐκ ΔΓ, ΑΤ, Ἢ τὰς ἡμέρας. Ἡ δὲ ΔΓ ἔχει οὕτω, κατὰ τὸν Γερμανὸν ἐκδότην· Ἢ τὰς ἄλλας ἡμέρας ἐργατικάς. Ὁ μέντοι Εὐσάθιος (εἰς τὸν Περιηγητ. στίχ. 376) ἀνέγνω, ὥσπερ ἡμεῖς, Ἢ τὰς ἄλλας ἡμέρας.—Στ. 12, Τῆς Ταραντίνης.] Ἴσως ἐγράφετο πάλαι, Τοῖς Ταραντίνοις, συνηρτημένως πρὸς τὸ, Ἔθος ἦν.—Στ. 13, Ἐκέλευσέ τε... Καὶ δὴ καὶ ἡ.] Ἐκ ΔΓ, ΑΤ, Ἐκέλευσε δὲ... Καὶ δὴ ἡ.—Στ. 16, Περὶ δὲ

τά.] ΗΔ, ΑΤ, Περι τε τά.—Στ. 21, Ἰαπύγων.] Ἐκ ΔΓ, ΑΤ, Ἰαπυγίων.

ΣΕΛΙΔ. 381, στ. 3, Κλεῖον.] ΗΔ, ΑΤ, Κλείων.—Στ. 7, Περίπλους δέ.] ΔΓ (ἀμείνων), Περίπλους δ' ἐκ.—Στ. 8, Βάριδος.] Οὕτως ἔγραψα, ΑΤ, Βάριτος (Ἰδ. τὰς εἰς τὸν Βυζάντ. Στέφ. λέξ. Βαρήτιον, σημ. τοῦ Πινέδου).—Στ. 13, Περιλειφθέντας.] Ἐκ ΔΓ, ΑΤ, Περιληφθέντας.—Στ. 15, Καταφυγόντες δὲ δεῦρο.] ΗΔ, ΑΤ, Καταφυγόντας δεῦρο. Εἰ δὲ προαιρῇ τὴν ἐχομένην (στίχ. 16) ΔΓ, Περισταλῆναι, τῆς ἐκδεδομένης, Περισταλεῖεν, τόθ' ἅπαν τὸ χωρίον οὕτως ἔξεστι διασκευάζειν, Καλουμένους, οὓς Ἡρακλῆς ἐξήλασε, καταφυγόντας δεῦρο, ὑπὸ γῆς περισταλῆναι.—Στ. 25, Ῥωδαιῶν.] ΗΔ, ΑΤ, Ῥωδαίων. Ῥωδαῖαι γὰρ ἡ πόλις, ὡς αὐτίκα δειχθήσεται.

ΣΕΛΙΔ. 382, στ. 3, Περίπλῳ.] ΗΔ, ΑΤ, Παράπλῳ. Καὶ γὰρ μικρὸν ἀνωτέρω (σελ. 381), «Τὸ περιπλεόμενον χωρίον» εἴρηκε.—Στ. 4, Ῥωδαῖαι.] Ἐκ ΔΓ (πληθ. καὶ θηλυκ.), ΑΤ, Ῥωδαῖοι.—Στ. 5, Ἀλητία.] Ἐξ ΕΔ, ΑΤ, Σαληπία.—Στ. 6, Οὐρία, ἐν ᾗ.] Ἐξ ΗΔ, ΑΤ, Θυραῖοι, ἐν ᾧ.—Ἔτι δείκνυται.] ΗΔ, ΑΤ, Ἐπιδείκνυται.—Στ. 7, Ὑρίαν.] Ἐξ ΕΔ, ΑΤ, Οὐρίαν.—Στ. 8, Στόλου εἰς.] ΔΓ (ἀμείνων), Στόλου τοῦ εἰς.—Ἡ ταύτην.] ΗΔ, ΑΤ, Ἤτοι αὐτήν.—Στ. 13, Ὕστερον δέ.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου προσείληφα τὸν σύνδεσμον.—Στ. 18, Σφόδρα.] Ἐκ ΔΓ, ΑΤ, Λίαν.—Στ. 23, Βρέντιον.] Ἐξ ΕΔ, ΑΤ, Βρεντέσιον.—Στ. 24, Τῆς ἐλάφου.] ΗΔ, ΑΤ, Τοῦ ἐλάφου.—Στ. 25, Προβραχῆ.] Ἐξ ΕΔ, ΑΤ, Προσβραχῆ.

ΣΕΛΙΔ. 383, στ. 2, Εὐθύπλοα.] Ἐκ ΔΓ, ΑΤ, Εὐθύπλους.—Στ. 5, Δαυνίων.] ΗΔ, ΑΤ, Δαυνιτῶν.—Στ. 6, Κελία, καὶ Κανύσιον, καὶ Ἑρδωνία.] Ἐξ ΕΔ, ΑΤ, Κελία, καὶ Νήτιον, καὶ Κανύσιον, καὶ Κερδονία.

ΣΕΛΙΔ. 384, στ. 12, Αὔφιδον.] Ἐκ ΔΓ, ΑΤ, Αὐφίδιον.—Στ. 14 καὶ 18, 19, Ἀργυριππίνων... Ἀργυρίππα.] Ἐκ ΔΓ, ΑΤ, Ἀργυριπηνῶν... Ἀργυρίππη.—Στ. 19, Λέγονται δ' ἀμφότεραι.] Ἐκ ΔΓ, ΑΤ, Λέγεται δ' ἀμφότερα.—Στ. 20, Κτίσματα.] Ἐκ ΔΓ, ΑΤ, Κτίσμα.—Πεδίον.] Ἰσ.γρ. Ἐπίνειον.—Στ. 28, Ἡμέρους.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ μέρους.

ΣΕΛΙΔ. 385, στ. 28, Παρὰ σφίσι πως.] Ὁ ἀρχαῖος μεταφραστὴς

ἐξέφρασε, Παρὰ σφίσιν οὐκ οἶδ' ὅπως, nescio quo pacto penes se.

ΣΕΛΙΔ. 386, στ. 4, Εἰς Ἀσπίαν ποταμὸν, πλησίον ὄντα τοῦ Ἀγκῶνος.] Ἐξ ΕΔ, ΑΤ (ἀδιανοήτου τούτου), Εἰς ασ η πλησίον τὰ τοῦ Ἀγκῶνος. ΔΓ, Εἰς χίλια διακόσια ἐνενηκοντα πλησίον τὰ τοῦ Ἀγκῶνος. — Στ. 11, Ἑξακισχιλίων.] ΔΓ (ἀμείνων), Ἑξακισχιλίους. — Τοῦτον.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο. — Στ. 20, Παραπεμφθέντα οὐδὲν ἔβλαψεν, ἢ οὐ πολύ.] ΗΔ, ΑΤ, Παραπεμφθέντα ἔλαθε καὶ οὐδὲν, ἢ οὐ πολύ. Πρὸ τοῦ Γερμανοῦ ἐκδότου ἐγράφετο, Παραπεμφθέντα ἔλαθε οὐκ ἔβλαψε καὶ οὐδὲν, ἢ οὐ πολύ. ΔΓ, Παραφεθέντα ἔλαθε, καὶ οὐδὲν, ἢ οὐ πολὺ (ἀλλ. ἢ πολύ). — Στ. 26, Πάντων.] Ἐκ ΔΓ, ΑΓ, Ἁπάντων.

ΣΕΛΙΔ. 387, στ. 8, Καταλείπον.] Ἐκ ΔΓ, ΑΤ, Καταλιπόν. — Στ. 11, Τοῖς περί.] Ἐκ ΔΓ, ΑΤ, Τῆς περί. — Στ. 13, Εἰρηκότων.] Ἐκ ΔΓ, ΑΤ, Εἰρηκότες. — Στ. 17, Οὖσι.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Οὔτοι. — Στ. 26, Τοσαύτη οὖσα, καὶ τοσούτῳ.] Ἐκ ΔΓ, ΔΤ... Τοσοῦτον. Φέρεται δὲ πρὸς τὸ Μήκει.

ΣΕΛΙΔ. 388, στ. 2, Ὧς' ἐκ τούτων.] ΗΔ, ΑΤ, Ὧςε καὶ τούτων. — Στ. 6, Δὲ τῶν πλευρῶν.] Ἐκ ΔΓ, ΑΤ, Δὲ πλευρόν. — Στ. 7, Ἀπολειπόντων.] Ἐκ ΔΓ, ΑΤ, Ἀπολιπόντων. — Στ. 13, Ὕλης δέ.] ΗΔ, ΑΤ, Ὕλης τε. — Στ. 22, Σύμπασαν ἡγεμονίαν.] Ἐκ ΔΓ, ΑΓ, Σύμπασαν τὴν ἡγεμονίαν.

ΣΕΛΙΔ. 389, στ. 1, Τῶν πλησιεχώρων.] Ἐκ ΔΓ προσείληφα τὸ ἄνθρον. — Στ. 10, Ἀνιδην.] ΗΔ, ΑΤ, Ἄδην. ΔΓ, Ἀναίδην. — Στ. 19, Ὅσην.] ΗΔ, ΑΤ, Ὅσον. — Στ. 21, Τοῦ Ταύρου.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Τῶν Ταύρου. — Στ. 28, Ὑπακούουσι.] Ἐκ ΔΓ, ΑΤ, Ἐπακούουσι.

ΣΕΛΙΔ. 390, στ. 1, Καντάβρους.] Ἐκ ΔΓ, ΑΤ, Κανταύρους. — Στ. 4, Καὶ μετὰ τοῦτα.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον. — Στ. 12, Διὰ τῶν... ἐκλελοιπότων.] Ἐκ ΔΓ, ΑΤ, Ὑπὸ τῶν... ἐκλιπόντων. — Στ. 21, Ἡγησομένων.] Ἐκ ΔΓ, ΑΤ, Ἡγησαμένων. — Καλῶς δέ.] Ἰσ.γρ. Καὶ ἄλλως δέ. — Στ. 25, Τῷ ἀκοινωνήτῳ.] ΗΔ, ΑΤ, Τὸ ἀκοινώνητον. Ὁ νοῦς, Οἱ δὲ Νομάδες εἰσὶ παντάπασιν ἄχοηστοι, διὰ τὸ μὴ κοινωνεῖν τοῖς ἄλλοις ἔθνεσι.

ΣΕΛΙΔ. 391, στ. 8, Διαφθορὰς.] ΔΓ (ἴσως ἀμείνων), Διαφορὰς.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΣΕΛΙΔΙ, 1, στ. 4, Τὰ πρὸς ἕω τείνοντα πέραν.] ΗΔ, ΑΤ, Τὰ πρὸς ἕω μὲν τὰ πέραν. Παράθες τῷ προκειμένῳ χωρίῳ τὰ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 166) εἰρημένα.

ΣΕΛΙΔ. 2, στ. 2, Αὖθις.] ΗΔ, ΑΤ, Εὐθύς.—Στ. 6, Ἐκκλίνων πρός.] Ἐκ ΔΓ, ΑΤ, Ἐκκλίνων πως πρός. — Στ. 26, Σχεδόν δέ τι.] Ἐκ ΔΓ, ΑΤ, Σχεδόν δέ τοι.

ΣΕΛΙΔ. 3, στ. 3, Μεταναςάντα.] Ἀποκατέςησα τὴν τῶν προτέρων ἐκδόσεων γραφήν, ΑΤ, Μεταξάντα. — Στ. 15, 16, Ταύτῃ... καθάπερ.] Ἐκ ΔΓ, ΑΤ, Ταύτης... καθάπου.—Στ. 19, Μαχομάνους.] Ἐκ ΔΓ, ἡ δι' ἑνὸς π τῆς τρίτης συλλαβῆς γραφή.—Στ. 24, Καὶ τῶν.] Ἀποκατέςησα τὴν προτέραν γραφήν, ΑΤ, Καὶ τὸ τῶν. — Στ. 26, Οἰκεῖ.] Ἐξ ΕΔ, ΑΤ, Ὤκει. — Στ. 27, Μέγιςον μὲν οὖν.] Ἐκ ΔΓ, ΑΤ, Μέγιςον μέν. — Στ. 30, Νυνί.] Ἐκ ΔΓ, ΑΤ, Νῦν.

ΣΕΛΙΔ. 4, στ. 5, Καθάπερ.] Ἐκ ΔΓ, ΑΤ, Καθάπου. — Οἰκία.] ΗΔ (παρὰ τὴν, Οἰκίον, εὐθεῖαν), ΑΤ, Οἰκεῖα. — Στ. 22, Ἀπανιςαμένους.] ΗΔ, ΑΤ, Ἐπανιςαμένους.—Στ. 26, Διεδίχοντο.] ΗΔ (πιςευμένη, ὡς γέ μοι δοκεῖ, ὑπὸ παρελλήλου ἑτέρου χωρίου, Μέρ. Α, σελ. 256), ΑΤ, Διεῖχον.

ΣΕΛΙΔ. 5, στ. 2, Τούτοις... παρ' οἷς τρία.] Ἐκ ΔΓ, ΑΤ, Τούτων... παρ' οἷς τὰ τρία. — Στ. 7, Ὁ Σεγέςου.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. — Στ. 12, Σιγιμήρου.] Ἐξ ΕΔ, ΑΤ, Σαιγιμήρου.— Τοῦ Χηρούσκων ἡγεμόνος, καὶ γυνή.] Ἐκ ΔΓ, ΑΤ, Τῶν χηρούσκων ἡγεμόνος καὶ ἡ γυνή.—Στ. 14, Βαιτόριγος.] ΗΔ, ΑΤ, Βαιτόριτος. Ἴδε τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει. — Σεγέςης.] Ἐξ ΕΔ, ΑΤ, Σαιγέςης. — Στ. 17, Λίβης... ἱερεύς.] ΔΓ, Λέβης... ἱερὸς· περὶ ἧς, καίπερ ἀπιθάνου δοξάσης τῷ Κασωβῶνι, σκοπητέον ἀκριβέςερον, μὴ τὸ αὐτὸ βαρβαρικὸν ἔθος ἐμφαίνῃ, ὁ μετὰ μικρὸν (σελ. 6) περὶ τῶν Κίμβρων ἱςόρηται.

ΣΕΛΙΔ. 6, στ. 3, Οὐινδελικούς.] Ἐκ ΔΓ, ΑΤ, Οὐινδελικοῖς. — Στ. 11, Ἐρημία. Μέχρι Πανωνίων πάντες, τὸ πλέον δ'.] Εἰσὶν οἱ οὕτω γίζειν παρήνεσαν· Ἐρημία, μέχρι Πανωνίων. Πάντες, τὸ πλέον δ'. Ὁ δ' Ἰταλὸς μεταφραςὴς ἑρμήνευσε γίζων· Ἐρημία,

μέχρι

μέχρι Παννονίων πάντες. Τὸ πλέον δ'.—Στ. 16, Γάβρητα ἐπὶ τάδε.] Ἐκ ΔΓ, ΑΤ, Γαβρῆτα· ἔπειτα δέ.—Στ. 20, Μετρίας.] Ἐκ ΔΓ, ΑΤ (μετ' ἀρνήσεως), Οὐ μετρίας.—Οὐδέ.] Εἰς τοῦτο ἔτρεψε τὸ Οὔτε, μὴ συνιδὼν τὴν λανθάνουσαν, διὰ τὸ μεταξὺ μακρὸν διάστημα, ἀπόδοσιν. Γράφε οὖν, Οὔτε γὰρ τὴν τοιαύτην... Ἔοικέ τε πλάσματι.—Στ. 22, Ἐξελαθεῖεν.] Ἐκ ΔΓ, ΑΤ, Ἐξελασθεῖεν.

ΣΕΛΙΔ. 7, στ. 1, Παρορμηθέντας.] ΗΔ, ΑΤ, Παροργισθέντας. —Στ. 2, Ἔοικε δὲ καὶ πλάσματι.] Γράφε, Ἔοικέ τε πλάσματι· ἔχει γὰρ ἀπόδοσις τοῦ ἀνωτέρω (σελ. 6) Οὔτε.—Στ. 10, Τοιαύτας ἀτοπίας.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ Λατίνῳ μεταφραστῇ), ΑΤ, Ταύτας τὰς ἀτοπίας.—Στ. 12, Αἰσθίσθαι.] ΗΔ, ΑΤ, Αἰσθάνεσθαι. —Στ. 17, Ὁρμωμένην.] Ἐξ ΕΔ, ΑΤ, Ὁρωμένην.—Στ. 22, Ταῦτα δέ.] Γραπτέον, οἶμαι, Ταῦτά τε δή.

ΣΕΛΙΔ. 8, στ. 8, Ὑπερβαλόντες.] Ἐκ ΔΓ, ΑΤ, Ὑπερβάλλοντες.—Στ. 16, Ἀναβᾶσαι ὑπερπετεῖς... ἐλαιμοτόμουν.] ΗΔ, ΑΤ, Ἀναβᾶσα ὑπερπετὴς... ἐλαιμοτόμει.—Στ. 18, Μαντείαν τινὰ ἐποιοῦντο.] Διαγραπτέον εἶναί μοι δοκεῖ τὸ, Τινά, ὅπερ ἀγνοεῖ καὶ ὁ ἀρχαῖος μεταφραστής.—22, Παρήκουσι.] Ἴσ. γρ. Παροικοῦσι.

ΣΕΛΙΔ. 9, στ. 3, Μέρη, μέχρι.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Μέρη, τὰ μέχρι.—Στ. 5, Πιζῇ.] Ἐκ ΔΓ, ΑΤ, Πεζοί.—Στ. 7, Βορρᾶν τοῦ.] Ἐξ ΕΔ, ΑΤ, Βορρᾶν μέρη τοῦ.—Στ. 14, Ἢ καὶ γένος.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Ἢ εἰ καὶ γένος.— Στ. 16, Προσαρκτίων, ὧν ἔλεγον.] ΗΔ (κατὰ πρῶτον πρόσωπον τὸ τοῦ Στράβωνος), ΑΤ, Προσαρκτίων ἔλεγεν.—Στ. 18, Ὑπὲρ τὸν Πόντον... συνάπτουσιν αὐτῇ.] Ἐκ ΔΓ, ΑΤ, Ὑπὲρ τοῦ Πόντου... συνάπτουσιν ἐν αὐτῇ.—Στ. 24, Παρωρείᾳ... μέρος τι τῶν ὀρῶν καὶ αὐτή.] Ἐκ ΔΓ, ΑΤ, Παρορείᾳ... μέρος τι καὶ αὐτὴ τῶν ὀρῶν.

ΣΕΛΙΔ. 10, στ. 4, Πάντα.] ΗΔ, ΑΤ, Τοιαῦτα. ΔΓ, Ταῦτα. —Στ. 5, Καὶ τὰ μαθηματικά.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 11, στ. 3, Ὄντων.] ΗΔ, ΑΤ, Ἐόντων· οὐ γὰρ Ὁμήρου, ἀλλὰ Στράβωνος ἡ λέξις.—Στ. 6, Πάλιν τρέπειν.] Ἐκ ΔΓ, ΑΤ, Πάλιν τρέπειν· ἐξ ἐναντίας γὰρ ἐνθάδε, Ὁμήρου, οὐ Στράβωνος ἐστὶν ἡ φράσις. Πιστοῦται δὲ τὴν διόρθωσιν καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστής, ἑρμηνεύσας, rursus vertit.—Στ. 8, Ἐπὶ τοὺς ΜΗ ὄπισθεν αὐτῶν, Ἢ ἐκ κ. τ. λ.] Γραπτέον ἴσως, Ἐπὶ τοὺς ὄπισθεν αὐτῶν

ΚΑΙ ἐκ κ. τ. λ. περιαιρέσει τῆς ἀπαγορεύσεως, καὶ τροπῇ τοῦ διαζευκτικοῦ εἰς τὸν συμπλεκτικὸν, κατὰ τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (Strab. tom. III, pag. 24, not. 2) —Στ. 10, Δὲ τούτου.] ΗΔ, ΑΤ, Δ' αὐτοῦ τὸ, ἀνθ' οὗ ὁ Γερμανὸς ἐκδότης ἔγραψε, Δ' αὖ τοῦτο. Ὁ νοῦς, Καὶ τὸ ἐπιφερόμενον τῷ «Μυσῶν ϑ' ἀγχεμάχων» μαρτύριόν ἐςι τούτου, τοῦ περὶ τῶν ἐν Θράκῃ Μυσῶν εἶναι τὸν λόγον Ὁμήρῳ, οὐ περὶ τῶν ἐν Ἀσίᾳ. Λέγει γὰρ (Ἰλιάδ. ν', 5),

> Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
> Γλακτοφάγων, ἀβίων τε· . . . . . .

οὓς οὐκ ἔζειν εὑρεῖν ἐν τοῖς Ἀσιανοῖς Μυσοῖς· Ἐςι δὲ γράφειν καὶ, Δ' αὖ τούτου, ἢ Δ' αὖ τούτῳ. — Στ. 12, Ἀμάξοικοι.] Οἱ ἐν ἁμάξαις οἰκοῦντες. Κακῶς καὶ ὧδε (ἔϑ. ἀνωτέρ. σελ. 52) φέρεται ἐν ταῖς ἐκδόσεσι καὶ ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων, Ἀμαξοικοὶ, καὶ χειρόνως ἐν ἐνίοις, Ἀμαξικοί. Ἔγραψα τοίνυν προπαροξυτόνως Ἀμάξοικοι, κατὰ τὸ Ἄγροικοι, ὥπερ ἐδήλουν οἱ Ἀττικοὶ τοὺς ἐν ἀγρῷ οἰκοῦντας. — Στ. 17, Τυρίσκους.] ΗΔ, ΑΤ, Λιγυρίσκους. —Στ. 21, Θεοσεβεῖς τε καὶ Καπνοβάτας.] Ὑποπτον μὲν τὸ Θεοσεβεῖς ἐνθάδε, ὑποπτότερον δὲ τὸ Καπνοβάτας. Αἱ παρὰ τῶν κριτικῶν προτεθεῖσαι διορθώσεις εἰσὶ, Καπνοπάτας, Καπροβάτας, Καπανοβάτας, Σεμνοβάτας, Σεμνοβιώτας, Ἀπνοβιώτας· ἔναγχος δέ τις καὶ Ἁγνοβιώτας γραπτέον εἶναι εἶπασε. Τούτων οὐδεμίαν ἀποδεξάμενος, εἶπα τὸ Καπνοβάτας κατὰ χώραν, καίπερ οὐδὲν μᾶλλον σαφὲς ὂν τῶν προτεθεισῶν διορθώσεων. Ἴσως, καθάπερ ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει (Strab. tom. III, pag. 26, not. 1), γραπτέον Καπάτας, τουτέςι καθαρούς, ὡς ἐξηγεῖται τὸ ξενικὸν ὄνομα τοῦϑ' Ἡσύχιος. — Στ. 22, Γυναικός.] Γράφε, Γυναικῶν, ὡς φέρεται ἐν μόνῳ τῷ ἐμῷ ἀντιγράφῳ.—Κτίσας.] Καὶ τοῦτο ξενικὸν εἶναί μοι δοκεῖ τοὔνομα, καθὰ καὶ ἑτέροις ἔδοξε. —Στ. 27, Ἡγούμενον.] ΗΔ, ΑΤ, Ἡγούμενος. ΔΓ, Ἡγούμενοι.

ΣΕΛΙΔ. 12, στ. 1, Καθὸ καὶ ἀγαθοὶ κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, Καθὰ καὶ οἱ ἀγαθοί. — Στ. 2, Τρισκαιδεκάτῳ.] Ἐξ ΕΔ, ΑΤ, Δεκάτῳ. Τὸ δ' ἑξῆς, Μοισῶν τ' ἀγχεμάχων, αὐτὸς προσέθηκα, ἀναπληρώσας ὅπερ οἱ πρὸ ἐμοῦ κατέλιπον κενὸν γραφῆς διάστημα.—Στ. 6, Δὲ Μοισοὺς νῦν.] ΗΔ, ΑΤ, Δὲ καὶ νῦν. — Στ. 9, Ἔγκτησιν.] ΗΔ, ΑΤ, Ἐκτίμησιν. Ἕτεροι διώρθουν, Ἔκτισιν. Σημαίνει δὲ τὸ

τῆς Ἐγκτήσεως ὄνομα, πρώτως εὑρισκόμενον παρὰ τοῖς Ἑβδομήκοντα (Λευϊτικ. κέ, 13), αὐτὴν τὴν ἐνέργειαν τοῦ κτᾶσθαι, τούτῳ διαφέρον ἐνθάδε γε τοῦ Κτῆσις, ᾧ παρὰ τοῖς Γάλλοις ἡ Acquisition τῆς Possession.—Στ. 10, Ζῶντας, δικαιοτάτους.] Γραπτέον, οἶμαι, Ζῶντας, ἀβίους καὶ δικαιοτάτους, ἀναπληροῦντας ὅπερ ἔοικεν ἐξερρύηκέναι τοῦ χωρίου Ὁμηρικὸν ὄνομα.—Στ. 13, Ἀφ' οὗ καὶ κατά προέκπωσιν τινές αὐτῶν παρεώσθησαν ἐπὶ τὸν κυνισμόν.] ΗΔ, ΑΤ, (ἀσυναρτήτου καὶ ἀσυνέτου), Ἀφ' οὗ καὶ πρὸς ἐκπτώσεις τινὰς (Γεμίς. Πλήθ. ἔκπτωσίν τινες) αὐτῶν παρέωσαν ἐπὶ τὸν κυνισμόν.—Στ. 14, Τὸ δὲ χήρους... ὑπογράφει.] Ἰσ.γρ. Τοῦ δὲ χήρους κ. τ. λ. κατὰ γενικήν, ἵν' ᾖ ὁ νοῦς, Οὐθεμίαν Ὅμηρος, τῷ καλεῖν αὐτοὺς ἀβίους, ἔμφασιν ὑπογράφει τοῦ χήρους γυναικῶν αὐτοὺς εἶναι.—Στ. 22, Τίθησι παραδείγματα.] ΗΔ, ΑΤ, Τίθησι τὰ παραδείγματα.—Στ. 24, Εἰ μὴ δέκ', ἤ.] Ἐξ ΕΔ, ΑΤ, Ὧ οὐ δέκ' ἤ.—Στ. 25, Γυναῖκας, δώδεκά τε πλείους τινές.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀντὶ τοῦ, Γυναῖκες, δώδεκα δ' ἢ πλείους τινές. Σημαίνει γὰρ καὶ δίχα τοῦ διαζευκτικοῦ, πλείους τῶν δώδεκα. Εἰδὲ βούλει σώζειν τὸν διαζευκτικὸν, γράφε, Γυναῖκας, δώδεκα τ', ἢ πλείους, τινές.—Στ. 26, Τύχῃ.] Ἐκ ΔΓ, ΑΤ, Τύχοι.

ΣΕΛΙΔ. 13, στ. 10, Ταῖς περὶ τὰς θυσίας... ΔΑΠΑΝΑΙΣ.] ΗΔ, ΑΤ, ΑΠΑΤΑΙΣ. Οὕτω γὰρ εἰκὸς φάναι τὸν Στράβωνα, καθὰ καὶ Ἰσοκράτης (Μέρ. Α, σελ. 354 ἐμ. ἐκδ.) ἔφη περὶ Ἀλκιβιάδου, «Ἐν ταῖς » θυσίαις, καὶ ταῖς ἄλλαις ταῖς περὶ τὴν ἑορτὴν δαπάναις, οὕτως » ἀφειδῶς διέκειτο ».—Στ. 18, Κἀνωλόλυζον] ΗΔ, ΑΤ, Αἱ δ' ὠλόλυζον, ἀνθ' οὗ ὁ Γερμανὸς ἐκδότης ἔγραψεν, Αἷσ' ὠλόλυζον.—Στ. 21, Σπουδὴν, ὥςε καὶ ἐμψύχων ἀπέχεσθαι δι' εὐσέβειαν, ἔκ θ' ὧν εἶπε Ποσειδώνιος, οὐκ ἀπιστητέον, καὶ ἐκ τῆς ἄλλης ἱστορίας.] ΗΔ (συνάδουσά πως τῇ παρὰ τῷ Γεμίζῳ Πλήθωνι γραφῇ), ΑΤ (παρ' ἅπασι συγκεχυμένου τοῦδε χωρίου), Σπουδὴν, ἔκ τε ὧν εἶπε Ποσειδώνιος, οὐκ ἀπιστητέον, καὶ ἐμψύχων ἀπέχεσθαι δι' εὐσέβειαν, καὶ ἐκ τῆς ἄλλης ἱστορίας.—Στ. 27, Οἰκείαν.] Ἐκ ΔΓ, ΑΤ, Οἰκίαν.

ΣΕΛΙΔ. 14, στ. 1, Καὶ κατ' ἀρχάς.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ συνδέσμου.—Στ. 8, Τουτί.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο.—Στ. 13, Βοιρίβίας.] ΗΔ (ἵνα συνάδῃ τῇ ἐν τοῖς ἑξῆς, σελ. 21 καὶ 22, γραφῇ

τοῦ ὀνόματος), ΑΤ, Βυρεβίας.—Στ. 16, Πυθαγόρειον.] Ἰσ. γρ. Πυθαγόρειον ὂν, ἢ Πυθαγόρου ὄν. — Ὑπὸ τοῦ Ζαμόλξιος.] Ἐκ ΔΓ καὶ ΕΔ *πρωτεῖθη ἡ πρόθεσις*. — Στ. 17, Ταῦτα.] ΗΔ, ΑΤ, Τοιαῦτα. — Μὲν οὖν οὐ κακῶς.] Ἡ μὲν ἄρνησις ἐξ ΕΔ, τὰ λοιπὰ δ' ἐκ ΔΓ, ΑΤ, Μὲν οὖν καλῶς. — Στ. 21, Τοὺς ἄλλους.] Ἐκ ΔΓ *ἡ προσθήκη τοῦ ἄρθρου*.

ΣΕΛΙΔ. 15, στ. 3, Πλάττειν.] Ἐξ ΕΔ, ΑΤ, Πάντας.—Στ. 9, Σκυθαῶν.] Ἐκ ΔΓ, ΑΤ, Σκυθῶν.— Στ. 24, Ὠγύγιον.] Ἐκ ΔΓ, ΑΤ, Ὠγυίου. — Στ. 26, Εὐημέρῳ.] Τῷ ἐκ Μεσσήνης, οὗ καὶ πρότερον (Μέρ. Α, σελ. 134) ἐμνημόνευσε. — Στ. 27, Πεταμίους λίθους ἐξ ἄμμου.] Ἐξ ἄμμου δηλονότι συγκειμένους, κισσηρώδεις τινὰς λίθους, ἀμμώδει συγκρίματι ἐοικότας, καὶ οὐχ, ὡς οἱ λοιποὶ λίθοι, τὴν πῆξιν ἔχοντας· οἵους ἦσαν οἱ ἐν Νισύρῳ τῇ νήσῳ, ὥς φησιν ὁ τοῦ Σταγειρίτου μαθητὴς Θεόφραστος (Περὶ λιθ. σελ. 394), «Ἡ γὰρ ἐν » Νισύρῳ, καθάπερ ἐξ ἄμμου τινὸς ἔοικε συγκεῖσθαι· σημεῖον δὲ » λαμβάνουσιν, ὅτι τῶν εὑρισκομένων ἔνιαι διαῤῥύπτονται ἐν ταῖς » χερσὶν, ὥσπερ εἰς ἄμμον, διὰ τὸ μήπω συνεῖραι μηδὲ συμπε- » πηγέναι. Εὑρίσκουσι δὲ αὐθρόας κατὰ μικρὰ (ἴσ. γρ. κατὰ μικρὰς, » ἤ, καὶ μικρὰς) χειροπληθεῖς ὅτου, πολλὰς, ὅταν ἀπαμείρωνται » τἄνω ». — Στ. 29, Ἐπιτιμᾷ.] Ἐξ ΕΔ, ΑΤ, Ἐπιτείνει.

ΣΕΛΙΔ. 16, στ. 1, Ἂν χρῆναι.] ΗΔ, ΑΤ, Αὖ χρῆναι.—Στ. 4, Γραμματικὴς.] Ἴσον τῷ Κριτικὴς ὧδε. — Στ. 9, Ὧς καί.] Ἰσ. γρ. Ὧν καί.

ΣΕΛΙΔ. 17, στ. 4, Πῶς οὖν... οἱ Σκύθαι· ΠΡΌΤΕΡΟΝ δ' οὐδ' Ἱππημολγοὶ κ. τ. λ.] Γραπτέον, οἶμαι, ΠΟΤΕΡΟΝ, καθ' ὁμοίαν λόγου συνάρτησιν τῇ ἀνωτέρω (Μέρ. Α, σελ. 40), «Πῶς οὖν;... πότερ' » οὐδ' ἡ Αἴγυπτος κ. τ. λ ». — Στ. 8, Ἀμάξοικοι.] Ὀρθῶς ἐνθάδε ὁ Γερμανὸς ἐκίνησε τὸν τόνον. — Στ. 16, Αἰθιοπας, Λίβυάς τ', ἠδὲ Σκύθας ἱππημολγούς.] Οὕτω διώρθου πρὸ ἐμοῦ ὁ Κλήρικος, οὐχ, ὡς ἔφην ἐν ταῖς ὑποτεταγμέναις τῇ Γαλλικῇ μεταφράσει σημειώσεσι (Strab. tom. III, pag. 39, not. 1), πρῶτος αὐτὸς εἰς τοῦτο μετεποίησα τὴν κακὴν γραφὴν, οὕτως ἔχουσαν· Αἰθιοπάς τε Λυγυς δὲ Σκύθας ἱππημολγούς. — Στ. 18, Καὶ ἀγαυούς.] ΗΔ ἡ τοῦ συνδέσμου προσθήκη, ὃν ἡρμήνευσε καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστής.—Στ. 21, Ἐν δὲ τοῖς.] Ἐκ ΔΓ, ΑΤ, Ἐν δὲ τούτοις· ταὐτὸ γὰρ τοῦτο σημαίνει τὸ, Ἐν δὲ τοῖς. — Στ. 25, Αὕτη

δ' ἡ.] ΗΔ, ΑΤ, Αὕτη δή.—Στ. 29, Εἰς πλεονεξίας.] Ἴσ.γρ. Καὶ πλεονεξίας.

ΣΕΛΙΔ. 18, στ. 13, Τῶν περὶ Σάτυρον καὶ Λεύκωνα.] Τῶν ἀρχαίων τινὲς ἐκδόσεων ἔφερον, Τῶν περὶ Σελεύκωνα, ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις, Τῶν περὶ Λεύκωνα. Καὶ ἐπεὶ οὐδεὶς ἱστόρηται Σελεύκων Βοσπόρου βασιλεὺς, ὑπέλαβέ τις τῶν κριτικῶν γεγράφθαι πάλαι, Τῶν περὶ Σέλευκον καὶ Λεύκωνα. Ἡμῖν δ' ἤρεσε μᾶλλον τὸ Σατύρου ὄνομα, οὗ γεγονὼς ὁ Λεύκων διεδέξατο τὴν ἀρχὴν (Διόδωρ. Σικελ. ιδ', 93). Ἐρεῖ δὲ καὶ μετ' ὀλίγα (σελ. 30) ὁ Στράβων, «Τῶν » περὶ Λεύκωνα καὶ Σάτυρον κ. τ. λ. ».—Στ. 17, Τοιοῦτοι παρὰ τοῖς Ἕλλησιν.] Ἐκ ΔΓ, ΑΤ, Παρὰ τοῖς Ἕλλησι τοιοῦτοι.

ΣΕΛΙΔ. 19, στ. 3, Παρὰ πότον.] Ἐκ ΔΓ, ΑΤ, Παρὰ τὸν πότον.—Στ. 8, Τὴν εἰς τὴν νῆσον.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου.—Στ. 11, Τοῦ Ἀλιξάνδρου.] ΔΓ, Τοὺς Ἀλεξάνδρου.—Στ. 16, Καὶ Πλάτων δὲ ἐν τῇ πολιτείᾳ.] Ἐν μὲν οὖν τῷ Περὶ νόμων (σελ. 705) τοῦτό φησι Πλάτων.—Στ. 18, Πολιτευσομένους.] Ἐκ ΔΓ, ΑΤ, Πολιτευομένους.—Στ. 26, Δεῖν δὲ τἀναντία.] ΗΔ, ΑΤ, Δέον τἀναντία. ΔΓ, Δεινὸν δὲ τἀναντία.

ΣΕΛΙΔ. 20, στ. 1, Τῇ τε δικαιοσύνῃ.] Ἐξ ΕΔ, ΑΤ, Τῇ δικαιοσύνῃ.—Στ. 6, Αἶαν.] Ἐκ ΔΓ, ΑΤ, Γαῖαν.—Στ. 17, Ἕνα, ἐπ' εὐτελείᾳ.] Ἐξ ΕΔ, ΑΤ, Ἕνα τελείᾳ. Συντομώτερον, ἴσως δὲ καὶ ἀληθέστερον, ἢν διορθοῦν, Ἐν εὐτελείᾳ.

ΣΕΛΙΔ. 21, στ. 5, Ἢ τοὺς ἐν τῇ Ἀσίᾳ δέχεται; Τοὺς μὲν οὖν ἐν τῇ Ἀσίᾳ δεχόμενος, παρερμηνεύσει κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, Ἢ τοὺς ἐν τῇ Ἀσίᾳ δεχόμενος παρερμηνεύσει. Ἐν τοῖς ἑξῆς δὲ ἥ τε ζεῦξις καὶ ἡ προσθήκη τοῦ, δὲ, συνδέσμου, καὶ τοῦ ῥήματος, Ἐρεῖ, ἐξ ΗΔ εἰσί.—Στ. 8, Ἐφ' ἡμῶν Αἴλιος.] Ἐκ ΔΓ, ΑΤ, Ἐφ' ἡμῶν γοῦν Αἴλιος.—Στ. 14, Μυσῶν καλουμένων.] Ἐκ ΔΓ, ΑΤ, Καλουμένων Μυσῶν.—Στ. 15, Ἐπάνιμεν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπάνειμεν.—Στ. 16, Τῶν δὲ.] Ἐκ ΔΓ, ΑΤ, Τῶν δή.—Στ. 25, Βοίους δὲ καί.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ πρώτου συνδέσμου.

ΣΕΛΙΔ. 22, στ. 4, Ὑπεκρίνετο.] Ἐκ ΔΓ, ΑΤ, Ὑπεκρίνατο.—Στ. 5, Ζαμόλξιος.] Οὕτως ἔγραψα, καθὰ γέγραπται ἀνωτέρω (σελ. 14), ΑΤ, Ζαμόλξεως, τὸ ποικίλον τῆς γραφῆς παραιτούμενος.—Στ. 9, Στρατιάν.] ΗΔ, ΑΤ, Στρατείαν.—Στ. 10, Στρατιάν.] Ἐξ ΕΔ, ΑΤ, Στρατείαν.—Στ. 11, Τότε δέ.] Ἀποκατέστησα

τὴν ἀρχαίαν γραφήν, ἀντὶ τῆς τοῦ Γερμανοῦ ἐκδότου διορθώσεως, Ποτὲ δέ.

ΣΕΛΙΔ. 23, στ. 14, Σκυθῶν.] Ἐκ ΔΓ, ΑΤ, Τῶν Σκυθῶν. — Στ. 18, Αὐξηθέντες οὖν.] Ἐκ ΔΓ οὕτω γράψαντι, μεταμέλει μοι νῦν, ΑΤ, Αὐξηθέντες δ' οὖν. — Στ. 20, Στρατιᾶς.] ΗΔ, ΑΤ, Στρατείαν. ΔΓ, Στρατείας.

ΣΕΛΙΔ. 24, στ. 14, Τὰ δ' ἑξῆς ἐν παράπλῳ.] ΗΔ, ΑΤ, Τὰ δ' ἑξῆς εἰς ἕω παράπλῳ. ΔΓ, Τὰ δ' ἑξῆς ἕω παράπλῳ.—Στ. 16, Τὰ ἐφεξῆς.] Ἐκ ΔΓ προσέλιπε τὸ ἄρθρον.—Στ. 25, Οφιοῦσσα.] Ἐκ ΔΓ, ΑΤ, Οφιοῦσα.

ΣΕΛΙΔ. 25, στ. 3, Ἑξακοσίους σαδίους.] ΗΔ, ΑΤ, Ἑξακοσίοις σαδίοις.—Στ. 23, Ἦκον δ' ἐπὶ Παλάκιον συμμαχήσοντες τῷ Σκιλούρῳ.] ΗΔ, ΑΤ, Ἦκον δὲ Παλάκῳ συμμαχήσοντες τῷ Σκιλούρου (ΔΓ, Σκιλούρῳ). Τὴν παρ' ἅπασι ταύτην κακὴν γραφὴν ἐξέφρασα καὶ αὐτὸς ἐν τῇ Γαλλικῇ μεταφράσει (Strab. tom. III, σελ. 53), μήπω τότε συνιδὼν τῶν ἀντιγραφέων τὰ μάρτημα, ὅπερ ὕστερον ἐδήλωσα, ἐπανορθώσας καὶ τὴν μετάφρασιν (Strab. tom. V, pag. 147). Ὅτι δ' οὐ Παλάκῳ, ἀνδρὸς ὄνομα, ἀλλὰ Παλάκειον, ὄνομα χωρίου ἢ φρουρίου, γραπτέον, αὐτὸς ὁ Στράβων ἐν τοῖς ἑξῆς (σελ. 33) δηλώσει, ἑτέροις αὐτὸ συγκαταλέγων φρουρίοις. Ἔτι δὲ τὸ Παλάκιον ὁ νῦν Παλουκλαβᾶς καλούμενος, ὡς φησιν ὁ Μελέτιος· ᾧ συνάδει καὶ ὁ Πάλλας (Second voyag. tom. III, pag. 82, καὶ 157).

ΣΕΛΙΔ. 26, στ. 1, Ἀμυντήρια ἔχοντες λόγχας.] Τὸ μὲν ἐξ ΗΔ, τὸ δὲ ἐκ ΔΓ, ΑΤ, Ἀμυντήρια δ' ἔχουσι, καὶ λόγχας.—Στ. 6, Ἀκολουθοῦσι δὲ ταῖς νομαῖς ΜΕΤΑΛΑΜΒΑΝΟΝΤΕΣ τόπους ἀεὶ τοὺς ἔχοντας πόαν.] Ἀσείως πάνυ προσήρμοσε τῶν γαζοφυλάκων τινὶ τὸ Σκυθικὸν ἔθος τοῦτο ὁ Λουκιανὸς (Συμποσ. ἢ Λαπίθ. § 13) «Ἐθέλειν φησὶ, ὥσπερ οἱ Σκύθαι, πρὸς τὴν ἀφθονωτέραν νομὴν ΜΕΤΕΞΑΝΙΣΤΑΜΕΝΟΣ, καὶ τοῖς περιφέρουσι τὰ ὄψα συμπερινοστῶν». — Στ. 8, Ἐν τοῖς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἐν τοῖς.—Στ. 22, Πλοῦν.] ΗΔ (πάλαι κατακεχωρισμένη ἐν ταῖς εἰς τὸ Ἱπποκράτους Περὶ ἀέρων κ. τ. λ. σημειώσεσι, σελ. 290), ΑΤ, Πηλόν.—Ἰχθύες.] Ἐκ ΔΓ διέγραψα τὸ ἄρθρον.—Στ. 23, Γαγγάμη.] «Γαγγάμη, σαγήνη, ἢ δίκτυον ἁλιευτικὸν φησὶν Ἡσύχιος· καὶ αὖθις διὰ τοῦ ω, «Γωγγάμη, ἐν ᾧ οἱ ἁλιεῖς συνάγουσι τὰ ὄρεα· εἴρηται καὶ Γαγγάμη». Καὶ οὐδετέρως δὲ Γάγγαμον παρ' Αἰσχύλῳ (Ἀγαμέμν.

371). Ἔοικε δ' οὖν ξενικὸν εἶναι τοὔνομα, ἀπὸ τῶν προσαρκτίων ἐθνῶν εἰς τοὺς Ἕλληνας διαβάν, συγγενὲς ἴσως, καίπερ οὐχ ὅμοιον, τῷ παρὰ τοῖς νῦν Νορουεγοῖς καὶ Γροιλλανδοῖς Γαγγουὰδ (Gangwad) καλουμένῳ ἁλιευτικῷ ἐργαλείῳ. Id. Lacepède, *Histoir. Natur. des Poissons, tom. X, pag.* 219. Ἔπιθι καὶ τὰ σημειωθέντα μοι εἰς τὴν Γαλλικὴν τοῦδε τοῦ χωρίου μετάφρασιν. Προσίθει δὲ τούτοις, ὅτι ὁ Πάλλας (*Second voyag. tom. III, pag.* 361), παραχθεὶς ὑπὸ τῆς μεταφράσεως τοῦ Ξυλάνδρου, τὴν Γαγγάμην, οὐχ ἁλιευτικοῦ ἐργαλείου, ἀλλὰ τόπου ὄνομα κακῶς δεξαμένου, αἰτιᾶται μηδὲν θέον τὸν Στράβωνα, ὡς οὐκ ἀκριβῶς ἱστορήσαντα τήν γε ἐπὶ τῶν πάγων ἁλιείαν τῶν ἀντακαίων.—Στ. 28, Πολλήν.] ΗΔ, ΑΤ, Πολύ. Συμμένει δὲ μέχοι καὶ δεῦρο παρὰ τοῖς Βοσπορανοῖς Σκύθαις ἡ περὶ τὰς ἀμπέλους πρόνοια, τὸ ἐπαμᾶν αὐταῖς γῆν χειμῶνος, ἀνακαλύπτειν δὲ ἔαρος κατὰ τὸν Ἀπρίλιον μῆνα, ὥς φησιν ὁ Πάλλας (*Second voyag.*, etc. *tom. III, pag.* 46, *et tom. IV, pag.* 141).

ΣΕΛΙΔ. 27, στ. 9, Καλούμενον δ' Ἅλσος.] Ἐκ ΔΓ καὶ ἡ τάξις καὶ ὁ σύνδεσμος, ΑΤ, Ἅλσος καλούμενον. Ἐναντιωματικῶς πρὸς τὸ ψιλόν· ἢ ὅλον ἐξ ὧν κατωτέρω (σελ. 183) φησι· «Οἱ δὲ ποιηταὶ καὶ κοσμοῦσιν, ἅλση καλοῦντες τὰ ἱερὰ πάντα, κἂν ᾖ ψιλά».—Στ. 18, Οἱ δὲ καί.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ἀνθ' ἧς ὁ Γερμανὸς ἐκδότης διορθῶν ἔγραψεν, Οἱ δ' ἐκεῖ. Ταύτην καὶ αὐτὸς ἐξέφρασα τὴν διόρθωσιν ἐν τῇ Γαλλικῇ μεταφράσει, πιθανωτέρας ἀπορῶν· νῦν δὲ προειλόμην κατὰ χώραν μὲν ἐᾶν τὴν γραφήν, τὰ δ' ἐξῆς σιγμαῖς διασείλαι, ὡς ἐξερρυηκότων τινῶν τοῦ χωρίου λέξεων.—Στ. 21, Τὴν Σαπρὰν λεγομένην λίμνην.] Ἣν οἱ Τοῦρκοι Τσουρούκ δενίζ, τουτέστι Σαπρὰν θάλασσαν, καλοῦσι νῦν.—Στ. 22, Σταδίων τεττεράκοντα.] Ὀκτὼ Οὐέρστας λεγομένας Ῥωσικὰς καὶ ἡμίσειαν δύνανται τὰ τεσσαράκοντα στάδια, ὡς φησιν ὁ Πάλλας περὶ τοῦ ἰσθμοῦ τούτου τὸν λόγον ποιούμενος ἐν τῇ δευτέρᾳ Περιηγήσει (Pallas, *Second voyag. de l'Empir. de Russie, tom. III, pag.* 4)· ἐν ᾗ ἐξυμνῶν τοῦ Στράβωνος τὴν ἀκρίβειαν καὶ ταῦτα προστίθησι, Cette étendue de huit verstes et demie, s'accorde assez exactement avec celle que Strabon indique... et confirme l'étonnante et scrupuleuse exactitude qu'a mise cet ancien Géographe dans la description qu'il nous a laissée de la mer Noire, de celle d'Asoph, et particulièrement de la presqu'île de Crimée.

ΣΕΛΙΔ. 28, στ. 7, Προσβραχῆ.] Προβραχῆ κἀνθάδε γραπτέον

εἶναί φησι τῶν ἐν ὀνόματι κριτικῶν τις.—Στ. 9, Καὶ καλός.] Ἐξ ΕΔ, ΑΤ, Καὶ ἄλλος. Ἔχει δὲ τὸ Καλὸς ὧδε κυριωνυμικόν.—Στ. 14, Τετρακοσίων.] Ἐκ ΔΓ, ΑΤ, Τεσσαρακοσίων.—Στ. 15, Ἄκρα... καλουμένη Παρθένιον.] Νῦν δὲ, κατὰ τὸν Πάλλαν, ὀνομάζεται Aja-Burun, σύνθετον, ὡς φησιν, ὄνομα ἐκ τοῦ Ἑλληνικοῦ Ἅγιος, καὶ τοῦ Τουρκικοῦ Burum, ὡς ἄν τις εἴποι, Ἅγιον ἀκρωτήριον (*Second voyag. tom. III, pag.* 73, 74, 108). Ὁ Δαμβίλλης δὲ Eski-Bourun (ὃ ἐστι Παλαιὸν ἀκρωτήριον) αὐτὸ καλεῖ.—Στ. 21, Συμβόλων λιμήν.] Κοινῶς Σύβουλα, κατὰ τὸν ἡμέτερον Μελέτιον· κατὰ δὲ τὸν Γάλλον Δαμβίλλην, Port de Koslevé· ὁ δὲ Πάλλας (*Second voyag. tom. III, pag.* 65) Port de Balaklawa καλεῖ αὐτόν.—Στ. 22, Κτενοῦντα.] Ἀλικὰς αὐτὸν νῦν καλεῖσθαί φησιν ὁ Μελέτιος· ὁ δὲ Πάλλας, Port d'Achtiar.—Στ. 5, Πόλιν Χερρόνησον.] Ἣν οἱ μετὰ Στράβωνα Χερσῶνα ἐκάλεσαν.

ΣΕΛΙΔ. 29, στ. 7, Παλάκιον.] ΗΔ (φρουρίου δηλοῦσα ὄνομα), ΑΤ (ἀνδρωνυμικοῦ), Πάλακον. Ἔπειθι τὰ ἀνωτέρω (σελ. 118) σημειωθέντα.—Στ. 22, Διςχιλίους.] ΔΓ, Χιλίους. Ἔπειθι τὰς Γαλλικὰς σημειώσεις.—Στ. 26, Τραπεζοῦς.] *Mancoup* φησὶν ὁ Δαμβίλλης καλεῖσθαι νῦν τὸ ὄρος τοῦτο· ὁ δὲ Πάλλας (*Second voyag. tom. III, pag.* 227) Tschatyr dag, ὃ ἐστι Σκηνῶν ὄρος.—Τῇ περὶ τὴν.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ δευτέρου ἄρθρου.

ΣΕΛΙΔ. 30, στ. 3, Βοσπορανῶν.] ΗΔ, ΑΤ, Βοσποριανῶν.—Στ. 5, Βοσπορανῶν.] Ὧδε δὲ ἐκ ΔΓ, ΑΤ, Βοσπορειανῶν.—Στ. 13, Σάτυρον.] Ἐξ ΕΔ, ΑΤ, Σάγαυρον.—Στ. 19, Ἴςατος, ὃς οὐχ.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν, ἀνθ' ἧς ἔγραψεν ὁ Γερμανὸς ἐκδότης, Ὕςατος, οὐχ.—Στ. 25, Ἀπὸ ἑβδομήκοντα.] Περιττὴ ἡ πρόθεσις.

ΣΕΛΙΔ. 31, στ. 1, Φαναγορίαν.] Τὴν ὑπὸ τῶν Ῥώσων ὀνομασθεῖσαν Τμυταράκαν, νῦν δὲ καλουμένην Ταμάν (Pallas *Second voyag.*, etc. *tom. III, pag.* 362).—Στ. 19, Ἐνακισχιλίων.] Ἴδε τὰς Γαλλικὰς σημειώσεις.

ΣΕΛΙΔ. 32, στ. 6, Ὀρύκτου.] ΗΔ (παρὰ τὴν εὐθεῖαν Ὀρύκτης), ΑΤ, Ὀρυκτοῦ. Ἔσωσε δὲ καὶ ἡ παρ' ἡμῖν συνήθεια τοῦ Ὀρύκτου τοὔνομα ἐν τῷ Ἀξινορύγειον (χωδ. Ἀξινογύρι), ὃ ἐστιν ἐξ ὀρύκτου καὶ ἀξίνης συγκείμενον ἐργαλεῖον.—Στ. 11, Μυριάδας μεδίμνων διακοσίας καὶ δέκα.] Ἴδε τὰς Γαλλικὰς σημειώσεις.—Στ. 15, Ὀξυγάλακτι.] Ἔςι τὸ ἐν τῇ συνθέσει Ὀξυνόγαλον.—Ὄψημα.] ΔΓ, Ἔψημα.

ἐχρήσατο καὶ Πλούταρχος (Συμποσιακ. δ', ι, § 3) τῷ Ὄψημα ἐκ Πλάτωνος (Πολιτ. β', σελ. 372) παραλαβών. Ἀλλ' ἐπεὶ παρὰ τῷ Πλάτωνι φέρεται Ἔψημα, εἰκότως ὁ Σνειδέρος ἀμφιβάλλει περὶ τῆς γραφῆς τοῦ Ὄψημα, καίπερ παρῆχθαι δοκοῦντος ἀπὸ τοῦ Ὀψᾶσθαι ῥήματος, ᾧ πάλιν Πλούταρχος ἐχρήσατο (Συμποσιακ. δ', 4, § 2), λέγων, «Τί γὰρ ἐπ' ἀκτῆς, τίς λέκυθον ὀψᾶται καὶ κάππαριν; » ὁ καθαριεῖς τῶν γραφικῶν κηλίδων, μεταποιῶν εἰς τὸ, «Τίς γὰρ ἐπ' » ἀκτῆς λέκυθον κ. τ. λ.». Ἔςι δὲ τὸ Ὀψᾶται, ὄψῳ χρῆται· τὸ δὲ Ὄψημα (εἴ γε γνήσιον τοὔνομα), οὐδὲν ἂν λέγοι πλέον τοῦ Ὄψον. —Στ. 25, Δὲ, δυνάμει πεποιθότες.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν, ἄμεινον ἂν γράψας, ὡς φέρουσιν ἔνια τῶν ἀντιγράφων, Δ' οἱ δυνάμει πεποιθοτες. Ὁ Γερμανὸς ἐκδότης ἔγραψε, Δ' αὖ δυνάμει πεποιθότες.

ΣΕΛΙΔ. 33, στ. 1, Ἐπιςήσαντα πύργους καθ' ἕκαςον ςάδιον ὀίκα.] Ἔπιθι τὰ εἰρημένα τῷ Πάλλᾳ (*Second voyag.*, etc. *tom. III, pag.* 334), περὶ τῶν σωζομένων ἐρειπίων τῶν πύργων τούτων. —Στ. 6, Πρὸς δὲ τοῖς καταριθμηθεῖσι τόποις.] ΗΔ (ἦν καὶ ἕτεροι πρὸ ἡμῶν εἴκασαν, ὡς ἐςιν ἰδεῖν ἐν ταῖς Γαλλικαῖς σημειώσεσι καὶ ταῖς ὑπὸ τοῦ Ἄγγλου ἐκδότου συλλεγείσαις ΔΓ), ΑΤ, Πρὸς δὲ καὶ τὴν καταρίθμησιν τῶν τόπων.—Στ. 14, Ὁ Κτησοῦς ἦν.] Ἐκ ΔΓ προσειληφα τὸ ὑπαρκτικὸν ῥῆμα.—Ἵν' οὖν ἀντέχοιεν.] Ἐξ ΕΔ, ΑΤ, Ἵν' οὖν ταῦτ' ἔχοιεν.

ΣΕΛΙΔ. 34, στ. 2, Ὅρεσιν.] ΗΔ, ΑΤ, Ἔλεσιν.—Στ. 3, Ἐν τοῖς τόποις τούτοις.] Οὕτω γράφε, προσιθεὶς τὴν τυπογράφων ἀβλεψίᾳ ἐκφυγοῦσαν ἀντωνυμίαν.—Στ. 22, Διῖλοι.] ΗΔ, ΑΤ, Διέλθοι.

ΣΕΛΙΔ. 35, στ. 4, Ὁ Πολύβιος... οὐκ ἀληθῆ λέγων.] Θεοπόμπῳ πιςεύσας ἴσως· ὃς γε μὴν οὐκ ἀπὸ τοῦ Αἵμου, ἀλλ' ἀπό τινος ὄρους Ἰλλυρικοῦ, ἄμφω κατοπτεύεσθαι τὰ πελάγη φησὶ (κατωτέρ. σελ 40), τό τε Ἰόνιον δηλονότι πέλαγος καὶ τὸ Αἰγαῖον, οὐ τὸν Πόντον. Τὸ δὲ ὄρος Δέλφιον ὀνομάζει ὁ τοῦ Περὶ θαυμασίων ἀκουσμάτων (κεφ. CXI) συγγραφεύς.—Στ. 11, Συνάπτοντα τῷ τε Ἴςρῳ, καὶ ταῖς Ἄλπεσιν.] Τῷ μὲν Ἴςρῳ οὐ συνάπτει τὰ Ἰλλυρικὰ, πλὴν εἰ μὴ τὸν κατὰ τὸν Ἀδρίαν Ἴςρον λέγει, ὁμολογῶν ἐνθάδε οἷς ἀλλαχοῦ (Μέρ. Α, σελ. 73) ὡς ψευδέσιν ἐπιτιμᾷ. Τὸ δὲ Ἄλπεσι καλῶς ἔχει, εἰ τὰ ἄκρα τῶν Ἄλπεων τὰ κατὰ τοὺς Ἰάποδας, τὰ καὶ Ἄλβια καλούμενα (κατωτέρ. σελ. 36, 37, καὶ Μέρ. Α, σελ. 267) βούλεται λέγειν. Ἴδε τὰς Γαλλικὰς σημειώσεις (Strab. tom. III, pag. 72, not. 4).—Στ. 12,

Ἃ κεῖται... ἀρξάμενα ἀπὸ τῆς λίμνης κ. τ. λ.] Ἐν τῇ Γαλλικῇ μεταφράσει συνῆψα τὸ ἀναφορικὸν, Ἃ, τῷ Ἰλλυρικά, καθὰ καὶ οἱ πρὸ ἐμοῦ μεταφράσαι, πλὴν τοῦ Ἰταλοῦ, συνάψαντος πρὸς τὸ Ἄλπεσιν, con quell' Alpi che sono tra l'Italia et l'Alemagna. Ἡ τοίνυν γραπτέον, Ἃ κεῖνται... ἀρξάμεναι, ἢ ὑποληπτέον τὸν Στράβωνα πρὸς τὸ ὑπονοούμενον, Ὄρεσι, συναρτῆσαι τὰ ἑξῆς. Τὴν δ' οὖν ἐμὴν μετάφρασιν, Commençons par l'Illyrie qui touche à l'*Ister* et aux Alpes, SITUÉE entre l'Italie et la Germanie, διορθώσεις γράφων, SITUÉES. Ἡ δὲ λίμνη, ἧς εἰρηκεν ἀνωτέρω (σελ. 6) προσάπτεσθαι τοὺς Ῥαιτοὺς τούς Ἑλουητίους τε καὶ τοὺς Οὐϊνδελικούς, ἐστὶν ἡ νῦν καλουμένη Lac de Constance ἀπὸ τῆς σύνεγγυς πόλεως Κωνσαντίας.—Στ. 14, Ἑλουητίους.] Τοῦθ' εὑρηκέναι ἐν ἀρχαίᾳ βίβλῳ φησὶν ὁ Κασωβὼν, ΑΤ (παρ' ἅπασι φερομένου), Τοινίους, ἢ Τονίους, ψευδεστάτης γραφῆς. Ὅτι δὲ περὶ Ἑλουητίων ἐστὶν ὁ λόγος ὧδε, μαρτυρεῖ καὶ ὅπερ ἔφθην σημειωσάμενος παράλληλον τοῦ Στράβωνος χώριον. Τοῦτ' ἀπεδέξαντο καὶ δύο τῶν μεταφραστῶν, ὅ τε Ἰταλὸς (Svizzeri) καὶ ὁ Γερμανὸς (Helvetier).—Στ. 18, Μαρίσου.] Ἐξ ΕΔ, ΑΤ, Παρίσου. Ἐμνημόνευσε καὶ ἀνωτέρω (σελ. 23) τοῦ Μαρίσου.—Στ. 28, Πολλοί.] ΗΔ (συνάδουσα τῇ τοῦ Ξυλάνδρου μεταφράσει), ΑΤ, Πολύν. Ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, καὶ τῇ Ἰταλικῇ, ἐκπέφρυγαι ἀμφότερα, Πολλοὶ πολύν.

ΣΕΛΙΔ. 36, στ. 8, Τεργεσσῶν.] ΗΔ (ἵνα συνάδῃ τῇ μετ' ὀλίγα, στ. 16, γραφῇ), ΑΤ, Τεργέστης. ΔΓ, Τεργέσται: Τηργέσται. —Στ. 15, Πλωτὸς προσλαβών.] Ἐξ ΕΔ, ΑΤ, Πλῆθος προσλαβών. ΔΓ, Πλήθει προσλαβών. Ἡ δὲ γνησία ἦν ἴσως, Πλεῖται, καὶ προσλαβών.—Στ. 28, Ἱερους.] Οὓς ἀνωτέρω (Μέρ. Α, σελ. 288) Ἱερίους ἐκάλεσε.

ΣΕΛΙΔ. 37, στ. 12, Οὐένδων.] Ἐκ ΔΓ, ΑΤ, Οὐενδον.—Στ. 14, Ὁμοίως τοῖς ἄλλοις.] Ἐκ ΔΓ, ΑΤ, Ὁμοίως καὶ τοῖς ἄλλοις.—Στ. 21, Κυρακτική.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν (συνάδουσαν τῇ ἀνωτέρω, Μέρ. Δ, σελ. 159) ΑΤ, Κηρυκτική.

ΣΕΛΙΔ. 38, στ. 4, Καὶ Νινίαν.] Ἰσ.γρ. Καὶ Αἰνῶνα (περιττοσυλλάβως), ἢ Καὶ Αἰνώναν (ἰσοσυλλάβως, καθὰ φέρεται παρὰ τῷ Πτολεμαίῳ, καὶ τῷ Πλινίῳ), ἥ ἐστιν ἡ νῦν καλουμένη Νώνα (Nona), πόλις Ἰλλυριδος.—Στ. 10, Νομίσματι.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Νομίσμασι.—Στ. 12, Μέσην.] ΗΔ (συνάδουσα τῇ

ἐν ταῖς Χρησομαθείαις γραφῇ), ΑΤ, Μέσον.—Στ. 18, Οὐαρδαίους.] Ἐξ ΕΔ, ΑΤ, Οὐαραλίους.

ΣΕΛΙΔ. 39, στ. 5, Ἡ συνάπτει τοῖς.] Ἐκ ΔΓ, ΑΤ, Συνάπτει δὲ τοῖς.—Στ. 6, Δασσαρήτιοι.] Ἐξ ΕΔ ἡ τοῦ σ διπλωσις.—Στ. 8, Δαρδανιάταις.] ΗΔ, ΑΤ, Αὐταριάταις.—Γαλάβριοι.] Τοὺς αὐτοὺς ἰσάζουσί τινες εἶναι τοῖς παρὰ τῷ Συζαντίῳ Στεφάνῳ Γαλάβραις. Ἴσως μέντοι γραπτέον Ταυλάντιοι, ἢ γοῦν τοὺς Γαλαβρίους μοῖραν εἶναι τῶν ἑξῆς (σελ. 53) ῥηθησομένων Ταυλαντίων ὑποληπτέον. Ὁ γὰρ Πολύαινος (Στρατηγημ. δ', 1, σελ. 109, ἐμ. ἐκδ.) καὶ Γάλαυρον (ἢ Γάλαβρον), βασιλέα Ταυλαντίων ἱστόρηκε.—Στ. 10, Δαρδάνιοι.] Οὐχ ἕτεροι τῶν Δαρδανιατῶν.—Στ. 26, Καὶ ἀσφάλτου.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ συνδέσμου.—Τκομένης.] ΗΔ, ΑΤ, Καιομένης.

ΣΕΛΙΔ. 40, στ. 2, Ἐκτμηθέν.] Ἐκ ΔΓ, ΑΤ, Τμηθέν.—Στ. 16, Ἀπὸ ἀνδρός.] Ἐκ ΔΓ, ΑΤ, Ἀπὸ τοῦ ἀνδρός.—Στ. 21, Καὶ ἄλλα δ' οὐ πιχά.] Ἐκ ΔΓ προσείληφε τὸν δεύτερον τῶν συνδέσμων.—Στ. 23, Ἀπό τινος ὄρους.] Τοῦ κληθέντος ὑπό τινων Δελφίου, ὡς ἐσημειωσάμεθα ἀνωτέρω (σελ. 121). Καὶ συνεχύθη ἴσως τὸ ὄρος τοῦτο τῷ ὄρει Πίνδῳ (τῷ νῦν Μετσόβῳ), ἀφ' οὗ τῷ ὄντι κατοπτεύεσθαί φασιν ἄμφω τὰ πελάγη, τό τε Ἰόνιον καὶ τὸ Αἰγαῖον.—Στ. 24, Τὴν θέσιν.] ΗΔ, ΑΤ, Τεθείς.—Στ. 27, Λαοδογματικά.] Ἐξ ΕΔ, ΑΤ, Λαοδογματικῶς. Ἰδ. Μέρ. Α, σελ. 134.

ΣΕΛΙΔ. 41, στ. 7, Ἐκτιτράχυνται.] Ἐκ ΔΓ, ΑΤ, Ἐκτραχύνεται.—Στ. 10, Ἔθος.] Ἐξ ΕΔ, ΑΤ, Ἔθνος.—Στ. 11, Νιφοβόλος.] Γράφε, Νιφόβολος, καθὰ διώρθωκα ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 371).—Στ. 17, Συνάπτοντα... τῇ δὲ, παρὰ τὰ ὄρη.] Ἐξερύηκέναι τι τοῦ χωρίου δηλοῖ τὸ ἀσυνάρτητον αὐτοῦ. Ἴσως οὕτως ἀναπληροῦν ἐχρῆν, Συνάπτοντα τοῖς παρὰ τὰ ὄρη. Εἶεν δ' ἂν οἱ παρὰ τὰ ὄρη Σκορδίσκοι, οὓς ἐν τοῖς ἑξῆς (σελ. 42) Μεγάλους Σκορδίσκους ὀνομάζει.

ΣΕΛΙΔ. 42, στ. 8, Μάρτου.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ΑΤ, Μάργου.—Στ. 9, Μάργον.] Ἐξ ΕΔ, ΑΤ, Βάργον.—Στ. 12, Ὀρῶν.] Ἐξ ΕΔ, ΑΤ, Ὑρων.—Στ. 19, Τόμιν.] ΗΔ, ΑΤ, Τομέα. ΔΓ, Τόμνα : Τομέαν : Τομαία. Ἡ ἡμετέρα διόρθωσις συνάδει οὐ μόνον τῇ κατωτέρω (σελ. 43) ὑφ' ἁπάντων ὡμολογημένῃ γραφῇ, Τόμις, εὐθείας πτώσεως, ἀλλὰ καὶ τοῖς ἀρχαίοις νομίσασιν, οἷς ἐγκεχάρακται ΤΟΝΕΩΣ κατὰ γενικήν, ὡς πόλις, πόλεως, πόλιν. Προσίθει δέ, ὅτι καὶ ὁ ἐκεῖ διατρίψας τὸν τῆς ἐξορίας χρόνον ποιητὴς

Οὐίδιος οὐκ ἄλλως αὐτὴν ὀνομάζει (Ovid. *Ex Ponto epistol. libr. IV*, 14, 59).

Tam mihi cara Tomis : patria quæ sede fugatis
Tempus ad hoc nobis hospita fida manet.

Ἔτι δ' ἡ Τόμις τὸ νῦν καλούμενον Τομισβάρ, ἡ Τεμισβάρ, οὗ σύνεγγυς καὶ λίμνην εἶναί τινα φασι καλουμένην, Ὀβεδοβιτζέρο, τουτέστιν, Οὐϊδίου λίμνην.—Στ. 24, Ἀπὸ τῶν.] ΗΔ, ΑΤ, Ὑπὸ τῶν.—Στ. 26, Ἰλλυριῶν.] ΗΔ, ΑΤ, Ἰλλυρίδων.

ΣΕΛΙΔ. 43, στ. 9, Σημειωδιτζέρας... ΠΕΡΙΓΡΑΦΑΣ.] ΗΔ, ΑΤ, ΠΑΡΑΓΡΑΦΑΣ. Εἴρηκε δὲ καὶ ἀλλαχοῦ (Μέρ. Α, σελ. 224), «Τὸ ν εὐπερίγραφόν τε καὶ σημειῶδες.»—Στ. 16, Τόμις.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν συνάδουσαν ὧδε πᾶσι τοῖς ἀντιγράφοις (ἴδ. τὰ ἀνωτέρ. σημειωθέντα), ΑΤ, Τομεύς.—Στ. 17, Καλλατις.] Κατὰ μὲν τὸν Δαμβίλλην, ἡ νῦν λεγομένη Μαγγάλια (Mangalia), κατὰ δὲ τὸν ἡμέτερον Μελέτιον, Παγκάλλια.—Στ. 20, Ἐν νησίῳ τινί, ὅπου ἱερὸν τοῦ Ἀπόλλωνος.] ΔΓ (οὐ κακὴ) Ἐν νησίῳ τινὶ ἱερῷ τοῦ Ἀπόλλωνος.

ΣΕΛΙΔ. 44, στ. 10, Καὶ Ἀγχιάλη, καὶ αὐτὴ Ἀπολλωνιατῶν.] Ἀγχιάλοις διείληφα ὡς πλεονάζοντα· οὐ πλεονάσουσι δέ, ἐάν τις γράφῃ, Καὶ ἀκτὴ ἄλλη, καὶ αὕτη Ἀπολλωνιατῶν. Ἔπειθε τὰς εἰς τόδε τὸ χωρίον Γαλλικὰς σημειώσεις μου.—Στ. 20, Οὔπερ.] ΗΔ, ΔΤ, Ὅπερ. Ὁ νοῦς, ἐν ᾧ τόπῳ (τῷ ἱερῷ τῶν Χαλκηδονίων, δηλονότι) ἐστὶ τὸ ξενώτατον τοῦ Εὐξείνου πόντου.—Στ. 21, Πενταςάδιον.] Ἐν δὲ τοῖς πρόσθεν (Μέρ. Α, σελ. 162) τετραςάδιον εἴρηκε τὸ στόμα τοῦ Θρακίου Βοσπόρου.

ΣΕΛΙΔ. 45, στ. 7, Πρῶτον.] ΠΔ, ΑΤ, Πρότερον· ἐν γὰρ τοῖς ἑξῆς (σελ. 389) περὶ αὐτῆς ταύτης τῆς Φαρνακίας τὸν λόγον ποιούμενος, λέγει· «Πρώτιστα γὰρ ἁλίσκεται ἐνταῦθα τὸ ὄψον τοῦτο» ἡ πηλαμὺς δηλονότι. Ἡ δὲ Φαρνακία, Φερνάκη νῦν καλεῖται, ἣν τὴν αὐτὴν εἶναι βούλονταί τινες τῇ Κερασοῦντι. Ὁ δὲ Στράβων (σελ. 388), καὶ μετ' αὐτὸν ὁ Πτολεμαῖος ἑτέραν παραδεδώκασι τῆς Φαρνακίας τὴν Κερασοῦντα. Ἁλίσκεται δ' ἐν αὐτῇ καὶ ἐν ἑτέροις οὐκ ὀλίγοις τόποις τῆς Ποντικῆς παραλίας οὐ πηλαμὺς μόνον, ἀλλὰ καὶ πλεῖστ' ἄλλα γένη ἰχθύων, περὶ ὧν ἔπειθε τὸν Πάλλαν (Pallas, *Second voyag. tom. IV, pag.* 253).—Στ. 12, Προπίπτουσα.] Ἐκ ΔΓ, ΑΤ, Προσπίπτουσα.—Στ. 23, Πρότεροι.] ΗΔ, ΑΤ, Πρότερον.

—Στ. 24, Περαίαν.] Ἐκ ΔΓ, ΑΤ, Πέραν.—Στ. 26, Ἐπειδὴ πόλις.] ΗΔ, ΑΤ, Ἐπεὶ δ' ἡ πόλις.

ΣΕΛΙΔ. 46, στ. 4, Καὶ τὴν κατὰ τὰ ἀριστερὰ τοῦ Πόντου ΛΕΓΟΜΕΝΗΝ.] Ἰσ.γρ. ΛΕΓΟΜΕΝΑ· ἐρεῖ γὰρ ἐν τοῖς ἑξῆς (σελ. 377), « Ἐν ἀριστερᾷ μὲν τὰ προσεχῆ τῷ Βυζαντίῳ... καλεῖται δὲ Τὰ ἀριστερὰ τοῦ Πόντου. » —Στ. 12, Ἐπαγαγομένου.] ΗΔ, ΑΤ, Ἐπαγομένου.—Στ. 13, Δρυόπων δέ.] ΗΔ, ΑΤ, Δρυόπων τε. —Στ. 18, Ὡς καὶ Πίνδαρός φησιν.] ΗΔ, ΑΤ, Ὡς δὲ Πίνδαρός φησιν. Οὕτω δέ πως ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, e così dice Pindaro.—Στ. 23, Κρίνακος.] Ἐξ ΕΔ, ΑΤ, Κρεινανός.

ΣΕΛΙΔ. 47, στ. 16, Καὶ ἐκ παλαιοῦ.] Διαγραπτέον ἴσως τὸν σύνδεσμον, ὃν καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς παρέλιπε.—Στ. 28, Ἀλίης.] Ἀποκατέστησα τὴν γραφὴν τοῦ Εὐσταθίου, τὸ ψιλὸν μόνον πνεῦμα μεταποιήσας εἰς τὸ δασύ (ἴδ. Ησιοδον τῆς τοῦ Λοισυήρου ἐκδόσεως σελ. 435), ΑΤ, Ἀλεούς, ἢ Ἀλέους, ὅπερ ὁ Γερμανὸς ἐκδότης ἔτρεψεν ἐξ ΕΔ εἰς τὸ Λαούς. Ἔστι δὲ τὸ Ἀλέας, ἀθρόους· οἱ δὲ ἀρχαῖοι μεταφραστὰι, ὅ τε Λατῖνος καὶ ὁ Ἰταλὸς, ὡς συνώνυμον ἐξεδέξαντο τοὺς Ἀλήτας, τουτέστι πλάνητας.

ΣΕΛΙΔ. 48, στ. 2, Καὶ διὰ τοῦτο.] Οὕτως ἐγραψεν ὁ Γερμανὸς ἐκδότης, ἐκ τοῦ Γεμίσου τὰς ἀφορμὰς λαβών, ΑΤ, Καὶ διὰ τὸ, ὅπερ ὁ Κασωβὼν ὑπενόει τρεπτέον εἶναι εἰς τὸ, Καὶ οὐ διὰ τὸ, ἕτερος δέ τις εἰς τὸ, Μὴ διὰ τὸ, παραλείπων τὸν σύνδεσμον.—Στ. 8, Νυνί.] Ἐκ ΔΓ, ΑΤ, Νῦν.—Κατοικιῶν.] Ἐκ ΔΓ, ΑΤ, Κατοίκων.—Στ. 13, Αὐτῶν.] Ἐκ ΔΓ, ΑΤ, Αὐτοῖς.

ΣΕΛΙΔ. 49, στ. 22, Ἐθνῶν.] Ἰτ.γρ. Ὁρῶν.

ΣΕΛΙΔ. 50, στ. 7, Εὐφυΐας.] Ἰσ.γρ. Εὐφορίας· ὅπερ ἔοικεν ἐκφράσαι καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς, uberitate. Τὰ ἀρχαῖα Γλωσσάρια, « Εὐφορία... ubertas » καὶ « Uberimum, εὐφορώτατον ».

ΣΕΛΙΔ. 51, στ. 13, Ὁ Θύαμις.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 52, στ. 7, Γόργου.] Ἐξ ΕΔ (συναδούσης τῇ ἐν ταῖς Χρησομαθείαις γραφῇ Μέρ. Γ, σελ. 376, καὶ τῇ παρὰ Σκύμνῳ τῷ Χίῳ, στίχ. 454), ΑΤ, Τόλγου· ἀνθ' οὗ τὸ ἡμῖν ἀντίγραφον φέρει Τόργου, διὰ τοῦ ρ, καθὰ γράφεται καὶ ἐν ταῖς Αντωνίν. Λιθερᾶλ. Μεταμορφ. κεφ. 4. Αὐτὸν δὲ τοῦτον, τὸν εἴτε Τολγον, εἴτε Τόργον, ἢ Γόργον, Γάργασον ὁ Στράβων ἐν τοῖς ἑξῆς (σελ. 241) ὀνομάζει. Διαπεφώνηται δὲ οὐ μόνον περὶ τοῦ ὀνόματος, ἀλλὰ καὶ περὶ τῆς πρὸς Κύψελον

σχέσεως αὐτοῦ· Στράβων μὲν γὰρ (ὡς γοῦν ἐγὼ εἰκάσαι ἐκ τοῦ προκειμένου χωρίου καὶ ἐκ τῶν Χρησομαθειῶν), καὶ Σκύμνος ὁ Χῖος παῖδα Κυψέλου λέγουσι τὸν Γόργον· Ἀντωνῖνος δ' ὁ Λιβεράλις, ἀδελφόν. — Στ. 9, Ὀλίγων.] Ἰσ.γρ. Ὀκτώ, ὥσπερ ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει. — Στ. 10, Τύμφης.] ΕΞ ΕΔ, ΑΤ, Στύμφης. Δηλοῖ δὲ καὶ τὸ ἑξῆς (σελ. 53) ἐθνικόν, Τυμφαῖοι. — Παρωραίας.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Παρωρείας. Δῆλον δὲ καὶ ἐκ τοῦ ἑξῆς (σελ. 53) ἐθνικοῦ, Παρωραῖοι. — Στ. 28, Περιπόλεοι.] Ἰσ.γρ. Περιπόλεα.

ΣΕΛΙΔ. 53, στ. 15, Καὶ Ἀμφίλοχοι.] Ἄμεινον ἂν ἐγράφετο ἐνάρθρως, Καὶ οἱ Ἀμφίλοχοι.

ΣΕΛΙΔ. 54, στ. 1, Ἀργυρεῖα.] Ἐκ ΔΓ, ΑΤ, Ἀργύρια. — Οὗ Περισάδυες.] Προσέθεικα τὸ τοπικὸν, Οὗ, ὡρμημένος ἐκ τῆς ἀρχαίας Λατίνης μεταφράσεως (ubi), διαγράψας καὶ τὸν μετὰ τὸ, Περισάδυες, σύνδεσμον, Τε, ὃν παρέλιπε καὶ τὸ ἐμὸν ἀντίγραφον. Ὑποπτον δὲ καὶ τὸ ἐθνικὸν, Περισάδυες. Ἴσως γραπτέον, Οὗπερ Ὑλλεῖς· εἰσὶ δ' οἱ Ὑλλεῖς ἔθνος Ἰλλυρικὸν, κατὰ τὸν Βυζάντιον Στέφανον. — Στ. 2, Οὓς καὶ Ἐγχελίους.] Προσέθηκα τὴν ἀντωνυμίαν ἐκ τῆς αὐτῆς ἀρχαίας Λατίνης μεταφράσεως. Τοῦ δ', Ἐγχελίους, φέρεται ΔΓ, Ἐγχελείους: Ἐγχελέους. Ἰσ.γρ. Ἐγχελίας. — Στ. 5, Ἐγχελίοις.] ΔΓ, Ἐγχελέοις: Ἐγχελίαις (ἐκ τοῦ ἐμοῦ ἀντιγράφου). Ἰσ.γρ. Ἐγχελέσιν. — Στ. 7, Οὗτοι μὲν οὖν οὐχ ὑπό.] Ἀποκατέστησα τὴν ἄρνησιν, ἣν διέγραψεν ὁ Γερμανὸς ἐκδότης ἐξ ΕΔ. — Στ. 8, Οἵ τε Λυγκησταί.] ΗΔ, ΑΤ, Οἱ δὲ Λυγκησταί. — Στ. 20, Παραπλησίοις.] ΗΔ, ΑΤ, Παραπλησίως.

ΣΕΛΙΔ. 55, στ. 1, Ἐριγῶν (γρ. Ἐριγὼν).] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Ἐρίγων, ὡς κατωτέρω (σίχ. 6), Ἐριγῶνι, ΑΤ, Ἐρίγωνι. — Στ. 2, Βρυγῶν.] Γράφε, Βρύγων· καὶ ἀνωτέρω γὰρ (σελ. 55), Βρύγοι, βαρυτόνως, καθὰ καὶ παρὰ Σκύμνῳ τῷ Χίῳ (σίχ. 436). — Δευριόπων.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς (στ. 6), ΑΤ, Δευριοπίων. — Πελαγόνων.] ΗΔ, ΑΤ, Πλειόνων. Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει. — Στ. 7, Ἀλκομεναί.] Ἐξ ΕΔ (ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς, στ. 14), ΑΤ, Ἀλαλκομεναί. — Βρυγῶν.] Γράφε κἀνθάδε Βρύγων, διὰ τὰ ἀνωτέρω σημειωθέντα. — Στ. 16, Τομάρου.] ΗΔ, ΑΤ, Ταμάρου. Ἔστι γὰρ τὸ περὶ Δωδώνην ὄρος ὁ Τόμαρος· περὶ οὗ αὐτίκα (σελ. 56) ἐρεῖ. — Στ. 20, Καὶ ἄλλα.] Ἐκ τοῦ Γεμίστου Πλήθωνος, ΑΤ, Τἄλλα. ΔΓ,

Τὰ ἄλλα : Καὶ τἄλλα. — Στ. 26, Ἥιν.] ΗΔ (παρὰ τὸ Εἶμι τὸ πορεύομαι) ΑΤ, Ἧιεν. Ὁ Κασωβὼν διώρθου, Ἧκεν.

ΣΕΛΙΔ. 56, στ. 3, Καὶ Ὁμηρος.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ὁ Ὁμηρος. — Στ. 17, Οὐ τις ἐν Θεσπρωτοῖς ὅ' Ἐφύρας, ἀλλὰ τις ἐν τοῖς Ἠλείοις.] Ἐξ ΕΔ, ΑΤ, Ἐν δὲ Θεσπρωτοῖς Ἐφύρας, ἀλλ' ἐν τοῖς ἐντὸς Ἠλείοις —Στ. 24, Τραγικοὶ δέ.] ΗΔ, ΑΤ, Τραγικοί τε.—Στ. 25, Ἐγένετο.] Ἐξ ΕΔ, ΑΤ, Ἐλέγετο.—Στ. 27, Χαμαιτύνας.] ΔΓ, Καὶ Χαμαιεῦναι. Οὐ χρεία δὲ τοῦ συνδέσμου· παρατίθεται γὰρ, καθὰ καὶ ἀνωτέρω (στ. 3), τὸ μαρτύριον ἀσυνδέτως, καθὰ κεῖται παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. π', 235).—Τομούρους.] ΗΔ, ΑΤ, Τομόρους. Δηλώσει δὲ τὰ ἑξῆς.

ΣΕΛΙΔ. 57, στ. 3, Τυμουροι.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Τομοῦραι· ἄμεινον δ' ἂν ἔγραψα καὶ προπαροξυτόνως, Τόμουροι, ὡς φέρεται καὶ παρὰ Λυκόφρονι (Ἀλεξάνδρ. 223)

Τόμουρε, πρὸς τὰ λῷστα νημερτέστατε.

Καὶ παρὰ τῷ Εὐσταθίῳ δὲ (Ὀδυσσ. σελ. 1760 καὶ 1806) ὡσαύτως ἐτονίσθησαν οἱ Τόμουροι, ἡνίκα τοὺς προφήτας δηλοῦσι, καίπερ ἐν τῷδε τῷ χωρίῳ τοῦ Στράβωνος προελομένῳ οὐκ ὀρθῶς, ἐμοὶ δοκεῖν, τὸ, Τόμουραι, δηλωτικῶς καὶ οὐσιαστικῶς, δηλωτικὸν, ὡς εἴρεται, τοῦ Προφητεῖαι, ἢ Μαντεῖαι.—Στ. 4, Κτενέω.] ΗΔ (συνάδουσα τῇ παρὰ τῷ Ποιητῇ νῦν ἐκδεδομένῃ γραφῇ), ΑΤ, Κτανέω.—Στ. 5, Εἰ δέ κ' ἀποτρωπῶσι θεοὶ, παύσασθαι κ. τ. λ.] Ἐκ τῆς αὐτῆς ἐκδεδομένης γραφῆς τῆς παρὰ τῷ Ποιητῇ, ΑΤ, Εἰ δέ κ' ἀποτροπέσι θεὸς, παύεσθαι.—Στ. 6, Τομούρους.] Ἀποκατέστησα κἀνθάδε τὴν προτέραν γραφὴν, ΑΤ, Τομούρας. Τὸ ἐμὸν ἀντίγραφον, Τομόρους. —Στ. 8, Πολιτεύματα.] Βουλεύματα γράφει ὥσπερ ὁ Εὐστάθιος (σελ. 1806), εἴτε μνήμης ἁμαρτίᾳ, εἴθ' ἑτέροις ἐντυχὼν τοῦ Στράβωνος ἀντιγράφοις.— Στ. 9, Ἐπιτετμημένως τοὺς Τομουρούρους.] Ἐξ ΕΔ, ΑΤ, Ἐπιτετμημένως Τμάρους.—Στ. 10, Τομούρους.] ΗΔ, ΑΤ, Τομόρους —Παρ' Ὁμήρῳ δ' ἁπλούστερον δεῖ δέχεσθαι Θέμιστας ΚΑΙ καταχρηστικῶς, ΩΣ καὶ Βουλὰς κ. τ. λ.] Σαφέστερον, οἶμαι, κατέστησα τὸ χωρίον τῇ δύο μορίων προσθήκῃ. Ὁ νοῦς, ἐν τῷ ῥηθέντι ἔπει Ὁμήρου, α Ἦ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο Θέμιστες» τὸ Θέμιστας ὁ Ποιητὴς (κυρίως τοὺς νόμους σημαῖνον) καταχρηστικῶς ἔταξεν ἐπὶ τοῦ Βουλὰς, ὥσπερ καὶ αὐτῷ τούτῳ τῷ τῆς Βουλῆς ὀνόματι (τῷ σημαίνοντι τὰ νόμιμα, τουτέστι τὰ

κατὰ νόμον τελούμενα, καθὰ ὑηλοῦσιν ἡ Βουλὴ καὶ τὸ Βουλεύεσθαι καὶ οἱ Βουλευταὶ ἐν ταῖς ἐλευθέραις τῶν πόλεων) ἐκεῖνος ἐπὶ τοῦ μαντικοῦ βουλήματος ἐχρήσατο ἐν τῷδε τῷ ἔπει (Ὀδυσσ. τ', 297), « Ἐκ » δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακοῦσαι », περὶ τῆς ἐν Δωδώνῃ μαντείας εἰρημένῳ καὶ τούτῳ. — Στ. 19, Ἐν τοῖς Θετταλικοῖς.] ΗΔ (συνάδουσα τοῖς Λατίνοις μεταφρασταῖς) ΔΤ, Δὲ τοῖς Θετταλοῖς. ΔΓ, Ἐν τοῖς Θετταλοῖς.

ΣΕΛΙΔ. 58, στ. 4, Τριπλῆ.] Ζηνόδιος δὲ ἐν ταῖς Παροιμίαις καὶ Ἡσύχιος διπλῆν αὐτὴν λέγουσι· « Κερκυραία μάζιξ. Περιττήν τινα τὴν » κατασκευὴν εἶχον, αἱ Κερκυραῖαι μάστιγες· οἱ δὲ καὶ διπλᾶς αὐτὰς » ἔφασαν εἶναι. Εἶχον δὲ ἐλεφαντίνους κώπας, καὶ τὰ μεγέθη περιτ» ταὶ ἦσαν. Ὑπερφάνους δὲ εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν » Ἀριστοτέλης γενέσθαι. » — Στ. 8, Προιλθοι.] ΗΔ (καταχωρισθεῖσα καὶ ἐν Μέρ. Γ, σελ. 377), ΑΤ, Προελθεῖν. — Στ. 14, Ἐλευθέρα Κόρκυρα, χέζ' ὅπου θέλεις.] Ταῦτα μὲν ἐπὶ Ῥωμαίων οἱ Κορκυραῖοι· ἔτι δὲ πρότερον ὁμοίᾳ χρησάμενοι εὐπραγίᾳ μέγαν ὄλβον καταπέψαι οὐκ ἠδυνήθησαν, ἢ ὄψιον ἐκ τοῦ Λριστοτέλους, οὗ τὸ μαρτύριον ἀνωτέρω παρεθέμεθα Εἴθε γοῦν νῦν τὰ τῶν προγόνων ἁμαρτήματα φυλαξάμενοι σωφρονέστερον χρήσαιντο τῇ παρούσῃ τύχῃ! Φυλάξαιντο δ' ἄν, εἰ συνεχῶς ἐπάδοιεν ἑαυτοῖς τὸ,

Ἐλευθέρα Κόρκυρα, τὴν δίκην σέθου,

ἧς ἄνευ ὀρθὴ πολιτεία οὔτε γίγνεται, οὔτε γέγονεν, οὐδ' οὖν μὴ γένηται. — Στ. 24, Ἰοῦσιν.] ΗΔ (καταχωρισθεῖσα καὶ ἐν Μέρ. Γ, σελ. 378), ΛΤ, Ἰούσῃ.

ΣΕΛΙΔ. 59, στ. 5, Εὐρώταν.] Γραπτέον, Εὔρωτον, διὰ τὰ εἰρημένα μοι ἀλλαχοῦ (Μέρ. Γ, Πρὸς τὸν Ἀναγνώς. σελ. ή)· καὶ οὕτως ἔγραψα ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 378). Ὡσαύτως δὲ γράφειν παραινεῖ ἐνθάδε καὶ ὁ Κασωβών. — Στ. 7, Εὐρώτα.] Ὀρθῶς ἐνθάδε ὁ Γερμανὸς, Κασωβῶνι πεισθείς, ἔγραψιν Εὐρώτου, ὥσπερ κἀγὼ ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 378), οὐ καὶ ἀκολούθως δὲ ἢ ἀνωτέρω εἶπαν αἰτιατικῇ, Εὐρώταν· Εὔρωτος γὰρ ἡ εὐθεῖα, ὡς γοῦν ἐξῆν εἰκάσαι ἐκ τῆς παρὰ τῷ Πλινίῳ (*Plin. IV*, 10) γραφῆς, Europus, Εὔρωπος. Καὶ ἴσως τὴν διὰ τοῦ π ταύτην γραφὴν εἶχε πάλαι καὶ τὰ τοῦ Στράβωνος ἀντίγραφα. — Στ. 13, Ἀπέχει δὲ τῆς Γυρτῶνος σταδίους ἑκατὸν ἡ πόλις Κραννών.] Ἐξ ΕΔ, ΑΤ, Ἀπέχει δ' ἡ Γυρτὼν τῆς Τυρρήνου πόλεως Κραννώνος.

Κραυνών.—Στ. 26, Ἡ νῦν Κίτρον καλεῖται.] Οὐ τοῦ Στράβωνος, ἀλλὰ τοῦ Χρηστομαθειογράφου εἶναι τὰ ῥήματα ταῦτα ὀρθῶς ἐσημειώσαντο οἱ κριτικοί. Τὸ γὰρ Κίτρον ὄνομα (ὃ καὶ εἰς ἡμᾶς ἔτι σώζει ἡ πόλις) νεώτερόν ἐστι τοῦ Στράβωνος. Κίτιον, Citium, αὐτὸ ὀνομάζει ὁ Στράβων συνακμάσας Τίτος Λιούϊος.—Στ. 27, Πόλις.] Γράφε, Πόλεις, καθὰ διώρθωκα ἐν τῷ οἰκείῳ τόπῳ (Μέρ. Γ, σελ. 378).

ΣΕΛΙΔ. 60, στ. 21, Ἐπικίδναται, ἀλλὰ τὸ τῆς πηγῆς.] Ἐξ ΕΔ, ΑΤ, Κίδναται, ἀλλὰ τὸ τῆς γῆς.—Στ. 29, Ἰφιδάμαντα.] Ἔγραψα, ὡς φέρεται παρ' Ὁμήρῳ, ΑΤ, Ἀμφιδάμαντα.

ΣΕΛΙΔ. 61, στ. 29, Ἀκραθώους.] Ἐξ ΕΔ, ΑΤ, Ἀκροθώους, ὃ προείλετο ἐξ ΕΔ, ΑΤ, Ἀκρεσθώους, ὁ Γερμανὸς ἐκδότης.

ΣΕΛΙΔ. 62, στ. 4, Πόλεως.] Πατρίδος, ὤφειλεν εἰπεῖν, ἢ γοῦν ἄμφω συνάψας, Πόλεως, πατρίδος.

ΣΕΛΙΔ. 63, στ. 2, Ἡ ὑπέρκειται.] Γράφε, Ἧς ὑπέρκειται, ὡς διώρθωκα ἐν τῷ οἰκείῳ τόπῳ (Μέρ. Γ, σελ. 382).—Στ. 4, Ῥηγίνα... Ἐργῖνος.] Ἐξ ΕΔ, ΑΤ, Ῥιγινία... Ἐρίγων.—Στ. 18, Μεσσογείᾳ.] Γρ. Μεσογείᾳ.—Στ. 19, Τεταράκοντα.] Τυπογραφικὸν ἁμάρτημα, ΑΤ, Τετταράκοντα.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΣΕΛΙΔ. 65, στ. 3, Πάντα ἐν.] Ἰσ.γρ. Πάντα τὰ ἐν.—Στ. 4, Καὶ τῆς Ἑλλάδος οὐ πολὺ μέρος τῆς Μακεδονίας.] Οἱ μὲν μετὰ τὸ, Ἑλλάδος (ὃ συνάπτουσι τῷ Μέχρι), τὸν, Καὶ, σύνδεσμον δεῖν παρενείρειν φασὶν, ἵν' ᾖ ἡ συνάρτησις καὶ ὁ νοῦς, Περιωδεύσαμεν πάντα μέχρι τοῦ Τανάϊδος [πρὸς ἄρκτον] καὶ τῆς Ἑλλάδος [πρὸς νότον], καὶ οὐ πολὺ μέρος τῆς Μακεδονίας· οἱ δ' αὐτὸ τοῦτο τρέπειν εἰς τὸ, τὴν Μακεδονίαν, ἵν' ᾖ, Περιωδεύσαμεν πάντα μέχρι τοῦ Τανάϊδος, καὶ τὴν Μακεδονίαν, οὐ πολὺ μέρος οὖσαν τῆς Ἑλλάδος· ἢ τὴν ἄρνησιν τρέψαντας εἰς τὸ οὐδέτερον ἄρθρον, γράφειν, Τὸ πολὺ μέρος τῆς Μακεδονίας· ἢ καὶ κατὰ χώραν ἐῶντας τὴν ἐκδεδομένην γραφὴν, οὕτω δέχεσθαι τὸ εἰρημένον, ὥσπερ ἂν εἰ ἔλεγε, Περιωδεύσαμεν πάντα τὰ βάρβαρα ἔθνη, καὶ τοσοῦτον μόνον μέρος τῆς Ἑλλάδος, ὅσον ὑπὸ Μακεδόνων κρατεῖται. Ἔοικε δέ πως οὕτως ἐκδέξασθαι καὶ ὁ Ἰταλὸς μεταφραστὴς, e della Grecia, non molta parte della Macedonia. Ὁ δ' ἀρχαῖος Λατῖνος μεταφραστὴς, φήσας

et Græciæ partem non magnam *cum Macedonia*, δῆλός ἐστιν ἀναγνωκώς, ἢ ἀναγνωσέον εἶναι ὑπειληφώς, Μετὰ τῆς Μακεδονίας, ἤ, Καὶ τῆς Μακεδονίας.

ΣΕΛΙΔ. 66, στ. 5, Τὰ ἀρχαῖα.] Ἐκ ΔΓ, ΑΤ, Τ' ἀρχαῖα.—Στ. 12, Ἀντίκορθμός ἐστιν.] Ἐκ ΔΓ προσείληφα τὸ ὑπαρκτικὸν ῥῆμα. —Στ. 17, Ἰδίᾳ μὲν οὖν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ τούτοις μὲν οὖν. —Στ. 21, Ἐποικίσαντες.] Ἐκ ΔΓ, ΑΤ, Ἐποικήσαντες.—Στ. 24, Παρνασσόν.] Ἐκ ΔΓ, ΑΤ, Παρνασόν. Οὕτω γὰρ πλεῖστα τῶν ὀρῶν διὰ διπλοῦ σ, οἷον Βριλησσὸς, Τευμησσὸς, ἢ διὰ διπλοῦ τ, οἷον Λυκαβηττὸς, Ὑμηττός.

ΣΕΛΙΔ. 67, στ 7, Πλήθους.] Ἐκ ΔΓ, ΑΤ, Ἔθνους.—Στ. 20, Διελέχθησαν.] Ἐκ ΔΓ, ΑΤ, Διηλέχθησαν.—Στ. 22, Σχεδόν δέ τι.] ΗΔ, ΑΤ, Σχεδὸν δ' ἔτι. —Στ. 24, Τοσαῦτα.] ΗΔ, ΑΤ, Τοιαῦτα. Καὶ ὁ Ξυλάνδρος δ' ἐν τῇ μεταφράσει tot (οὐ tales) ἡρμήνευσε.

ΣΕΛΙΔ. 68, στ. 4, Κατ' αὐτὴν τήν.] Ἐκ ΔΓ, ΑΤ, Κατὰ τήν. — Τὴν τὴν ἀρχήν.] Ἐκ ΔΓ, ΑΤ, Τὴν ἀρχήν.—Στ. 11, Καὶ τὸ ἐκτὸς πυλῶν μέχρι τῆς.] Συγκέχυται ὅλον τόδε τὸ χωρίον μέχρι τῶν ἑξῆς, Ἑτέρα τὴν ἑτέραν ἔχει. Τινὲς γραπτέον εἶναι ὑπειλήφασι, Καὶ τὸ ἐκτὸς ἀπὸ πυλῶν μέχρι τῆς· ἕτεροι δὲ, Καὶ τὸ ἐκτὸς μέχρι πυλῶν καὶ τῆς.—Στ. 12, Τοῦτο δ' ἐστὶ τὸ Θετταλικόν.] Τὸ περὶ τὸν Πηνειὸν ὁηλονότι, οὐχ ἅπαν τὸ ἐκτὸς Ἰσθμοῦ. Ἔστι δὲ, κατά γε τὴν ἐκδεδομένην γραφὴν, τὸ μεῖζον τοῦτο σύγκημα ἡ Πελοπόννησος. Τοὐναντίον μέντ' ἂν εἴη, εἰ τὸ ἐκτὸς Ἰσθμοῦ μέχρι τῆς τοῦ Πηνειοῦ ἐκβολῆς διατείνει. Διὸ καὶ ὁ Γερμανὸς ἐκδότης Μεῖον εἶκασι γραπτέον εἶναι· ἀλλὰ τηνικαῦτα ἴσως καὶ τὰ ἑξῆς διορθωτέον, γράφοντας, Ἔστι δὲ μεῖον, εἰ καὶ ἐπιφανέστερον, ΤΟ ΕΝΤΟΣ Ἰσθμοῦ. Ἴσως ἔγραψεν ὁ Στράβων, Ἔστι δὲ μεῖζον καὶ ἐπιφανέστερον ΤΟ ΕΚΤΟΣ, ἡ (ὅπερ εἰς ταὐτὸν ἥκει) ΤΟΥ ΕΝΤΟΣ.—Στ. 16, Κόλποις τε.] Ἐκ ΔΓ, ΑΤ, Κόλποις γάρ.—Στ. 17, Καὶ ταῖς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τοῖς.—Στ. 18, Διαπεποικιλμένη, ὧν.] Ἐξ ΕΔ τὴν πρώτην ἀποδέδεγμαι λέξιν, ΔΤ, Διαπεποικιλμένην, προσθεὶς διὰ τὴν σύνταξιν, καὶ τὸ ἀναφορικὸν, Ὧν. ΔΓ, Διαπεποικιλμένων.

ΣΕΛΙΔ. 69, στ. 7, Ἴση σχεδόν τι.] Ἐκ ΔΓ, ΑΤ, Ἴση δὲ σχεδόν τι.—Στ. 8, Τετρακοσίων.] Ἐκ ΔΓ, ΑΤ, Τεσσαρακοσίων. —Στ. 10, Ἐπὶ τὸν ἰσθμόν.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν,

ΑΤ, Ἐπὶ Μαλέαν, ὃ παρείληφεν ὁ Γερμανὸς ἐκδότης ἐκ τοῦ Πλήθωνος. Ἴδε τὰς Γαλλικὰς σημειώσεις.—Στ. 11, Μαλεῶν.] Ἀποκατέστησα καὶ ὧδε τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Ταινάρου. Λέγεται δὲ Μαλέα καὶ Μαλεαὶ, ὥσπερ Πλάταια καὶ Πλαταιαί.

ΣΕΛΙΔ. 70, στ. 7, Αὐτὴ.] ΔΓ, Αὕτη.—Στ. 16, Ἀράξου.] Ἄκρας, οὕτω καλουμένης πάλαι, τανῦν δὲ Παπᾶ. Ὑπονοεῖν δὲ παρέχει ἡ κλῆσις, μήποτε τὸ πάλαι οὐ μόνον κατὰ τὸν ἰσθμὸν, ἀλλὰ καὶ κατὰ τὴν Ἀκαρνανίαν συνῆπτο τῇ ἠπείρῳ ἡ Πελοπόννησος, ὥστε λίμνην εἶναι τὸν νῦν Κορινθιακὸν κόλπον λεγόμενον· μετὰ δὲ τὸ ἀπορράγθαι τῆς ἠπείρου, θατέρου μέρους τὸ ἀκρωτήριον, Ἄραξος ὠνομάσθη, παρὰ τὸ Ἀράσσω.—Στ. 22, Καὶ καλεῖται Δρέπανον.] Καὶ σώζει μέχρι δεῦρο τὴν κλῆσιν, ἣν ἔνιοι τῶν χυδαϊζόντων εἰς τὸ Τραπάνι μεταβάλλουσι.

ΣΕΛΙΔ. 71, στ. 9, Χιλίοις.] Ἐξ ΕΔ προστέθη ἡ λίξις.—Στ. 11, Καὶ τῆς ἀντιπόρθμου γῆς μέχρι.] Ἐκ ΔΓ, ΔΤ, Καὶ γῆς ἀντιπόρθμου τῆς μέχρι.—Στ. 19, Τῶν Ἐπειῶν.] Ἐκ ΔΓ ἡ πρόσληψις τοῦ ἄρθρου.—Ἦλιν.] ΗΔ, ΑΤ, Πόλιν. Ἴσως δ' ἄμεινον τὸ Πόλιν κατὰ χώραν ἐῶντας, τὰς δύο πρώτας λίξεις, Ἣ εἰς, τοῦ ἐχομένου σίχου περιελεῖν (ὥσπερ ἔδοξε καὶ τῷ Γερμανῷ ἐκδότῃ) γράφοντας οὕτω· Τὴν μὲν τῶν Ἐπειῶν ὀνομάζων πόλιν

— Ἴλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.

ΣΕΛΙΔ. 72, στ. 3, Οὗτος.] Λείπει ἔν τισι τῶν ἀντιγράφων ἡ ἀντωνυμία· ἐν οἷς δὲ φέρεται, ἴσως ὤφειλεν εἶναι, Οὗτως.—Στ. 4, Πυλίας.] Ἐκ ΔΓ, ΔΤ, Ἠλείας.—Στ. 17, Ἐκ τῶν περιοικίδων συνεπολίσθη ὀκτὼ, μία τούτων οὖσα.] ΗΔ ἡ τοῦ ἀριθμοῦ, ὀκτὼ, καὶ τῆς μετοχῆς, οὖσα, προσθήκη. Ὅτι δὲ οὕτως ἐγέγραπτο πάλαι, πιθανὸν μὲν καὶ ἐκ τοῦ ἔθους τῶν ἀντιγραφίων· γραψάντων γὰρ τῶν πρώτων, συνεπολίσθη ἡ, τουτέστι συνεπολίσθη ὀκτὼ, οἱ μετ' ἐκείνους πλανηθέντες ὑπὸ τῆς ληγούσης τοῦ ῥήματος, παρέλιπον τὸ δηλωτικὸν τοῦ ἀριθμοῦ ἡ. Πιστοῦται δὲ τοῦτο μάλιστα αὐτὸς ὁ Στράβων, ἐξ ὀκτὼ δήμων συνωκίσθαι τὴν Ἦλιν ἐν τοῖς ἑξῆς (σελ. 100 καὶ 101) ἐμφαίνων. Προσμαρτυρεῖ δέ πως καὶ ὁ Παυσανίας (ε, 16), τὴν τῶν Ἠλείων πόλιν εἰς ὀκτὼ φυλὰς νενεμῆσθαι λέγων, εἰς τοσαύτας δηλονότι, ὅσοι ἦσαν καὶ οἱ καθ' ἕκαστον δῆμοι, ἐξ ὧν συνεπολίσθη.—Στ. 19, Ἔπραξαν δὲ τοῦτο.] Τὸ ποῖον; Ἢ ἁμάρτηται τὸ χωρίον, ἢ

πάνυ ἀσαφῶς ἐκπέφρασαι. Εἰ γὰρ πρὸς τὸ, γυμνάσιον, ἡ ἀναφορὰ, οὐκ ἔπραξαν, ἀλλ' ἔκτισαν, ἢ ᾠκοδόμησαν, ἤ τι τοιοῦτον ὤφειλεν εἶναι. Ἴσως εἰς τὴν παρὰ τὸ γύμνασιον ῥύσιν τοῦ ποταμοῦ ἀναφέρεται, ἵν' ᾖ, τὸν διὰ τῆς πόλεως ῥέοντα ποταμὸν, παρατρέψαντες τὸ ῥεῖθρον, ἢ καὶ διώρυχα ἄξαντες ἀπ' αὐτοῦ, παρ' αὐτὸ τὸ γυμνάσιον ῥεῖν ἐποίησαν. Μῶν ἦν, Ἔτρεψαν δὲ τοῦτον;

ΣΕΛΙΔ. 73, στ. 12, Δεῖ δή.] ΔΓ (ἀμείνων ἴσως) Δεῖ δέ.—Στ. 13, Προσσκοπεῖν.] Ἐξ ΕΔ, ΑΤ, Προσκοπεῖν. Τοῦτο μὲν γάρ ἐςι, πρὸ ἑτέρου σκοπεῖν· τὸ δὲ Προσσκοπεῖν, πρὸς ἑτέροις σκοπεῖν. Τοιαύτην τινὰ διαφορὰν ἐσημειώσατο καὶ ὁ Ἐτυμολόγος (σελ. 700) τοῦ Προσχεῖν καὶ Προσσχεῖν, τοῦ Προςῆναι καὶ Προσστῆναι.—Στ. 14, Πρόσβορρος.] Ἐκ ΔΓ, ΑΤ, Πρόσβορος.—Στ. 23, Ἔςι δὲ κώμη.] Ἐκ ΔΓ, ΑΤ, Ἔςι δὲ καὶ κώμη. Ὁ δ' ἀρχαῖος Λατῖνος μεταφραςὴς ἔοικεν ἀνεγνωκέναι, Ἔςι γὰρ κώμη.—Στ. 26, Νησίον καὶ βράχεα.] ΗΔ, ΑΤ, Νησία βραχέα. ΔΓ, Νησίον καὶ βραχεῖα. Τὰ δὲ βράχεα ἀρσενικῶς ἡ συνήθεια βράχους ὀνομάζει.—Στ. 27, Κοίλης Ἤλιδος.] Ἐκ ΔΓ, ΑΤ, Κυλλήνης καὶ Ἤλιδος.

ΣΕΛΙΔ. 74, στ. 3, Πηνειός.] Ἕτερος οὗτος παρὰ τὸν ἐν Θετταλίᾳ Πηνειόν. Καλεῖται δὲ νῦν, Ἠλιακὸς, παρὰ τὴν Ἦλιδα δηλονότι, ἢ τὴν Ἠλείαν παρηγμένου τοῦ ὀνόματος.—Στ. 7, Θάλατταν.] Ἐξ ΕΔ, ΑΤ, Θαλασσίωνα.—Βοινώα.] ΗΔ, ΑΤ, Βοιωνώα. Ἀμείνων δ' ἂν ἴσως ἔγραψα καὶ διὰ τοῦ ο̄ Βοινόα. Παρὰ γὰρ τὴν Οἰνόην, Αἰολικῇ τροπῇ τοῦ τελευταίου φωνήεντος, καὶ προσλήψει τοῦ Δίγαμμα, Βοινόα γίνεται καὶ οὐ Βοιωνώα. Εὕρηται μέντοι καὶ διὰ τοῦ ω̄, Οἰνώη, ἑτέρα πόλις Ἀργείας, ὡς φησιν ὁ Βυζάντιος Στέφανος.—Στ. 10, Γενέσθαι.] ΗΔ, ΑΤ, Λέγεσθαι.—Στ. 12, Τὴν ἄγετ' κ. τ. λ.] Ἰλ. β', 659.—Στ. 15, Τόν ποτε Φυλεύς.] Ἰλ. ό, 530. —Στ. 19, Φάρμακον κ. τ. λ.] Ὀδ. ά, 261.—Στ. 21, Ἠὲ καὶ εἰς Ἐφύρην.] Ὀδ. β, 328.—Στ. 27, Πρῶτος ἐγών.] Ἰλ. λ, 738.

ΣΕΛΙΔ. 75, στ. 10, Βοιωτικόν.] Ἐκ ΔΓ, ΑΤ, Βοιωτικόν. —Στ. 11, Συντιθεὶς, ἢ προσιθεὶς.] Ἀντὶ τῆς πρώτης μετοχῆς ὁ Πλήθων γράφει Προσιθείς· ὅθεν ὡρμημένος, ἐκείνην μὲν εἴασα κατὰ χώραν, προσέθηκα δὲ διαζεύξας τὴν δευτέραν. Ὁ γὰρ νοῦς εἶναί μοι δοκεῖ, ὅτι Ὅμηρος διαιρεῖλαι βουλόμενος τῆς Ἰωνικῆς Σάμου τὴν πρὸς τῇ Θράκῃ, ὁτὲ μὲν συνάπτων τὸ ἐπίθετον, Σάμον Θρηϊκίην καλεῖ· ὁτὲ δὲ διὰ προσθήκης ἄλλου τινὸς γνωρίσματος αὐτὴν δηλοῖ, οἷον ὅταν λέγῃ, Μεσσηγὺς δὲ Σάμου τε καὶ Ἴμβρου· δηλον

γάρ, ὅτι ἡ τῇ Ἴμβρῳ γειτνιάζουσα Σάμος, οὐκ ἂν εἴη ἡ Ἰωνική, ἀλλ' ἡ πρὸς τῇ Θράκῃ. — Στ. 12, Μεσσηγύς.] Ἰλ. ω, 78. — Στ. 15, Ποταμοῦ.] Ἰλ. β', 659. — Στ. 23, Οἳ τ' ἔχον.] Ἰλ. β', 730. — Στ. 25, Ἀντόμεναι.] Ἰλ. β', 595.

ΣΕΛΙΔ. 76, στ. 6, Ἑτέρα τις, ἧς τῇ πρὸς τὸν Ἀλφειὸν οὐδέν ἐστι κοινώνημα, οὐδὲ τῇ πρὸς τὸν Πάμισον.] ΗΔ (διαφέρουσα μὲν τῆς σημειωθείσης μοι ἐν τῇ Γαλλικῇ μεταφράσει, tom. III, pag. 151, not. 1, συνάδουσα δὲ τῇ ἐν ταῖς Ἐπανορθώσεσι, tom. V, pag. 147, προτεθείσῃ μοι), ΑΤ, Ἑτέρα τις ἡ πρὸς τὸν Ἀλφειόν· ἧς οὐδέν ἐστι κοινώνημα, οὐδὲ τῇ πρὸς τὸν Πάμισον. — Στ. 11, Ἔστι Πύλος.] Ἐξ ἀθήλου ποιητοῦ, ἢ μᾶλλον χρησμοῦ τινός· μαντείου γάρ ὄζειν μοι φαίνεται τὸ ἔπος. — Στ. 15, Τῶν νεωτέρων.] ΗΔ, ΑΤ, Τῶν ἑτέρων. Παράβαλε τὰ κατωτέρω (σελ. 99-100) τῷ προκειμένῳ χωρίῳ συνάδοντα. — Συγγραφέων.] ΔΓ, Καὶ συγγραφέων. — Στ. 21, Καὶ γνωρίσματα.] Περιττὸς ὁ σύνδεσμος, καίπερ φερόμενος παρ' ἅπασι. — Στ. 24, Τοῦτο δ' αὐτό.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο δὲ ταὐτόν. — Στ. 27, Ὑπάρχοντα.] Ἐκ ΔΓ, ΑΤ, Ὑπάρχουσι.

ΣΕΛΙΔ. 77, στ. 3, Οἳ δ' ἄρα Βουπράσιον.] Ἐκ τῆς Ἰλιάδος, β', 615. — Στ. 14, Ὡς ὁπότε.] Ἐκ τῆς αὐτῆς, ψ', 630. — Στ. 17, Ἔχουσαν.] ΔΓ (μετ' ἀρνήσεως), Οὐκ ἔχουσαν. — Καὶ νυνὶ φαίνεται.] ΗΔ, ΑΤ, Νυνὶ δὲ φαίνεται. ΔΓ, Νυνὶ φαίνεται.

ΣΕΛΙΔ. 78, στ. 1, Ἂν' Ἑλλάδα.] Ἐκ τῆς Ὀδυσσείας, ά, 344. — Στ. 3, Ἀν' Ἑλλάδα τε Φθίην τε.] Ἐκ τῆς αὐτῆς, λ', 496. — Στ. 5, Κουρῆτες.] Ἐκ τῆς Ἰλιάδος, ί, 525. — Στ. 7, Οἳ δ' ἐκ Δουλιχίοιο.] Ἐκ τῆς αὐτῆς, β', 625. — Στ. 9, Ἱππώναξ μέν.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον. — Στ. 10, Βίκος φαγοῦσι.] Τὸ μὲν Βίκος ἄρτον σημαίνει, κατὰ Φρυγῶν γλῶσσαν, ὡς φησιν Ἡρόδοτος (β', 2)· καὶ ἔοικέ τι συγγενὲς καὶ προσόμοιον οὐ μόνον τῇ τῶν νῦν Ἠπειρωτῶν (τῶν καλουμένων Ἀρβανιτῶν) φωνῇ, Βούκ, ὀνομαζόντων τὸν ἄρτον, ἀλλὰ καὶ τῷ παρὰ Ῥωμαίοις Buccea (παρὰ τὸ Bucca στόμα) τὸ σημαῖνον τὸν ψωμόν, τὴν ἔνθεσιν, ὅθεν τὸ τῶν Ἰταλῶν Boccone, καὶ τὸ χυδαίοις παρ' ἡμῖν λεγόμενον, Μπουκοῦνι. Τὸ δὲ Φαγοῦσι δοτικὴ μετοχῆς ἐστιν, ὡς ὀρθῶς ἐξέλαβεν ὁ ἀρχαῖος Λατῖνος μεταφραστής, edentibus, οὐ ῥῆμα, καθάπερ ὁ Ξύλανδρος, edunt. — Στ. 14, Κύπρου Πάρου τ' ἔχουσα πάντα κλῆρον.] Ἴσως οὕτως ἐγέγραπτο πάλαι, οἰκειοτέρως τῷ μέτρῳ, Κύπρου τ' ἔχουσα πάντα κλῆρον καὶ Πάρου. — Στ. 15, Ἠλείους.] Ἐξ ΕΔ, ΑΤ, Ἐπειούς. — Στ. 20, Αὐγέαν.]

ΔΓ, Αὐγείαν.—Στ. 21, Ἀχαιΐδα.] Ἐκ ΔΓ, ΑΤ, Καὶ Ἀχαΐδα. Ἑτέρα ΔΓ (ὀρθοτέρα ἴσως), Οὐκ Ἀχαΐδα, ἀρνητικῶς.

ΣΕΛΙΔ. 79, στ. 3, Ὧν ἐν ἐξι.] Ἐκ ΔΓ, ΑΤ, Ὧν ἐντὸς ἐξι. —Στ. 15, Πρὸς τοῖς τριάκοντα.] Ὁ Ἰταλὸς μεταφραστής, Πρὸς τοῖς εἰκοσιπέντε.—Στ. 16, Καὶ ἐκ Δύμης δέ.] Ἐκ ΔΓ προσέθηκα τὰς τέσσαρας ταύτας λέξεις.

ΣΕΛΙΔ. 80, στ. 4, Ὃς καλεῖται Καύκων Θηλυκῶς, ζητοῦσι περὶ τῶν.] Ἐκ ΔΓ, ΑΤ, Ὃς καλεῖται καὶ Καύκων Θηλυκῶς, ζητοῦσι καὶ περί. Ὑποπτος δὲ ἡ λέξις, Θηλυκῶς, ἑτέροις τ' ἔδοξε, καὶ ἡμῖν δοκεῖ.—Στ. 5, Μὴ διττοί.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος, ΑΤ, Ὡς μὴ διττοί.—Στ. 10, Νεμιδίας.] Οὐκ ἔρρωται ὁ τύπος τοῦ ὀνόματος. Εἰ πιστὸς ὁ Βυζάντιος Στέφανος (λέξ. Νεμέα), Νεμέαν φάσκων χώραν τῆς Ἠλείας γεγονέναι, γραπτέον, Νεμεαίας, τῆς ἐν Νεμέᾳ θηλονότι Ἀρτέμιδος. Ἀλλ' ὁ μὲν Στέφανος τοῦτο παρατίθεται τοῦ Στράβωνος τὸ χωρίον μαρτύριον τῆς Ἠλειακῆς Νεμέας· ὁ δὲ Στράβων, ἣν ἐν τοῖς ἑξῆς (σελ. 131) τίθησιν Ἀργολικὴν Νεμέαν οἶδε μόνον· τῆς δ' ἐν τῇ Ἠλείᾳ οὔτ' ἐνθάδε, οὔτ' ἀλλαχοῦ μνημονεύει, ὥσπερ οὐδὲ τῆς παρὰ τῷ αὐτῷ Στεφάνῳ καὶ παρὰ τῷ Σουΐδᾳ (λέξ. Νέμειος) Λοκρικῆς Νεμέας. Γραπτέον τοίνυν, Νεμαίας, παρὰ τὸ Νέμος (ὅπερ ἡ συνήθεια Λόγγον καλεῖ), ὥσπερ παρὰ τὸ συνώνυμον Ὕλη ὁ Ὑλαῖος, καὶ παρὰ τὰς Λίμνας τὸ ἑξῆς (σελ. 108) ἐσορηθησόμενον Λιμναῖον τῆς Ἀρτέμιδος ἱερόν. Συγκέχυται δὲ τὸ Νεμαία, τῷ Νεμειδία παραπλησίᾳ στοιχείων ἐναλλάξει, καθάπερ τὸ γνήσιον Ἀκαριαῖος τῷ παρὰ τῷ Σουΐδᾳ νεοθευμένῳ Ἀκαρίδιος, ὃ κακῶς ὁ Στέφανος (Θησαυρ. τόμ. Β, σελ. 103) καὶ οἱ μετ' αὐτὸν Λεξικογράφοι τοῖς Ἑλληνικοῖς ὀνόμασι συγκατέλεξαν (τοῦ Συειδέρου ἄμεινον ἐν τοῖς ἀμφιβαλλομένοις κατατάξαντος). Ὁ γὰρ ὁ Σουΐδας παρατίθεται τῆς λέξεως μαρτύριον· «ΑΚΑΡΙΔΙΟΣ Ὁ ΑΝΘΡΩΠΙΝΟΣ » βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν », ἐκ τοῦ Μάρκου Αὐρηλίου (ιά, 18, σελ. 116 ἐμ. ἐκδ.) εἴληπται, παρ' ᾧ νῦν ἐν ἁπάσαις ταῖς ἐκδόσεσι, συμφωνούντων καὶ τῶν ἀντιγράφων, φέρεται· «ΑΚΑ» ΡΙΑΙΟΣ Ὁ ΑΝΘΡΩΠΕΙΟΣ βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθη» μεν. »—Στ. 17, Ζητοῦσι, φησίν.] Ἐκ ΔΓ, ΑΤ, Ζητοῦσί τισιν. Καὶ τὸ μὲν Ζητοῦσι ῥηματικῶς ἐκδεκτέον ἐστὶν, οὐ μετοχικῶς· τὸ δὲ Φησὶν εἰς τὸν ἀνωτέρω (Στράβ. σελ. 75) Ἀπολλόδωρον, ἢ Δημήτριον τὸν Σκήψιον, ἀνενεκτέον, εἰωθότος οὕτω τοῦ Στράβωνος τὰ διὰ μακροῦ ἀπηρτημένα τῶν συγγραφέων ὀνόματα ὑπονοεῖν μόνον,

ἡνίκα τοῖς μαρτυρίοις αὐτῶν χρῆται, δέον ἐπαναλαμβάνειν διὰ τὸ σαφέστερον. Ἐνδέχεται μέντοι καὶ ἀορίστως, φασὶν, γεγράφθαι πάλαι. Ἴσως δὲ καὶ περιαιρετέον ὅλως τοῦ χωρίου καὶ τὸ Φησὶν, καὶ τὸ Τισίν.—Μέντορι.] Ἐκ ΔΓ, ΑΤ, Μέντη.—Στ. 19, Νῦν· ἀτὰρ κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, γ', 366.—Στ. 20, Ὀφέλλεται.] Προειλόμην ὧδέ τε καὶ τοῖς ἑξῆς τὴν νῦν φερομένην ἐν τῇ Ὀδυσσείᾳ γραφὴν, τῆς ἐκδεδομένης, Ὀφείλεται.—Στ. 27, Εἰ γὰρ δὴ κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, Εἰ γὰρ μή. Παράβαλε τοῖσδε τὰ ἑξῆς (σελ. 84) ῥηθησόμενα.

ΣΕΛΙΔ. 81, στ. 9, Φειᾶς πάρ.] Ἐκ τῆς Ἰλιάδος, ή, 135.—Στ. 12, Τῷ ἐγγυτάτῳ.] Ἐκ ΔΓ, ΑΤ, Τὸ ἐγγύτατον.—Ἐκ θαλάττης.] Ἐκ ΔΓ, ΑΤ, Ἐκ θαλάττης ἐσί.—Στ. 13, Ἄλλη ἄκρα αὖθις, ἐπί.] ΗΔ, ΑΤ, Ἄλλη ἄκρα ἐπί. ΔΓ, Ἄλλη ἄκρα εὐθὺς ἐπί. Τοῦτο τὸ ἐν τοῖς ἀντιγράφοις Εὐθὺς, τρέψαι δεῖν ἔγνων εἰς τὸ Λῦθις. Ἕτερος δέ τις τῶν κριτικῶν ἀπωτέρω μὲν τῆς ΔΓ, οὐκ ἀπιθάνως γε μὴν διώρθου, Ἰχθὺς, ὅπερ ἐξέφρασα ἐν τῇ Γαλλικῇ μεταφράσει. Ἔστι γάρ τις ἄκρα πρὸς ταῖς τοῦ Ἀλφειοῦ ἐκβολαῖς, Ἰχθὺς καλουμένη, ἧς καὶ Θουκυδίδης καὶ Ξενοφὼν μνημονεύουσιν, Ἰαρδάνης τανῦν ὀνομαζομένη, ὡς φησιν ὁ Ὀρτέλιος, παρὰ τὸν πλησίον παραῤῥέοντα ὁμωνύμως ποταμόν.—Προὔχουσα.] Ἐκ ΔΓ, ΑΤ, Προέχουσα.—Στ. 15, Ἀλφειός.] Ὁ νῦν Ῥουφιὰς καλούμενος· τοῦ ὀνόματος δηλονότι κατὰ μικρὸν μεταστοιχειωθέντος, πρῶτον εἰς τὸ Ἀοφειὸς (κατὰ τὸ Ἀλμυρὸς, Ἁρμυρὸς), εἶτ' εἰς τὸ Ὀρφειὸς, Ῥοφειὸς καὶ Ῥουφιάς. Πιστοῦται δὲ τὴν μετάπτωσιν καὶ ἡ ἱστορία· κατὰ γὰρ τὸν Ὀρτέλιον, ἦν ὅτε, Ὀρφέας, καὶ Ῥοφέας ἐλέγετο.—Στ. 16, Σταδίους διακοσίους.] Ἐκ ΔΓ, ΑΤ, Στάδια διακόσια.—Πεντακοσίους.] Ἐκ ΔΓ, ΑΤ, Πεντακόσια.—Στ. 25, Καὶ ὁ Ποιητής.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ συνδέσμου.—Στ. 28, Ἀκρίων.] Ἐξ ΕΔ (ὧδέ τε καὶ τοῖς ἑξῆς, σελ. 110), ΑΤ, Ἀκραίων.—Στ. 28, Φρίξης καὶ τῆς.] Πλεονάζειν ταῦτα ὑπέλαβον οἱ πρὸ ἡμῶν, διὰ τὸ ἐχόμενον ὄνομα τῆς Τριφυλίας, ἧς ἦν πόλις ἡ Φρίξα, τανῦν, ὡς φασί τινες, Φράξιο καλουμένη.

ΣΕΛΙΔ. 82, στ. 2, Πιτάνης.] Ὑποπτον τοὔνομα. ΔΓ, Ἐπιτάνης: Πιτάνου: Ἐπὶ Τάνου: Ἐπιτάνου. Τὴν τελευταίαν ταύτην (Ἐπιτάνου) φέρει καὶ τὸ ἡμῶν ἀντίγραφον· ὅθεν ὡρμημένος ὁ Γερμανὸς ἐκδότης εἴκασεν οὐκ ἀπιθάνως μήποτε γραπτέον, Ἐπιταλίου, οὗ ἐν τοῖς ἑξῆς (σελ. 90) μνημονεύει ὁ Στράβων. Τοῦτο δὲ ὁ Βυζάντιος Στέφανος τῆς Τριφυλίας πόλιν εἶναί φησι.—Στ. 10, Κλεάνθους τε

καὶ Ἀρέγοντος.] Ὁ μὲν Ἀρήγων παρ' οὐδενὶ ἴσως ἑτέρῳ μνημονεύεται· ὁ Κλεανθης, ὅ' ἔοικεν ὁ αὐτὸς εἶναι καὶ ὁ παρὰ τῷ Πλινίῳ (xxxv, 3) εὑρετὴς γεγονέναι λεγόμενος τῆς γραμμικῆς ζωγραφίας (dessin).— Στ. 12, Εὐδόκιμει.] Ἐκ ΔΓ, ΑΤ, Εὐδοκίμου. Ἀναφέρεται γὰρ πρὸς τὸ, γραφῆς.— Στ. 17, Ἀγριελαίων.] Οὕτως ἔγραψα (παρὰ τὴν εὐθεῖαν, Ἀγριέλαιος, καθὰ γράφεται καὶ ἐν τοῖς ἑξῆς σελ. 96), ΑΤ, Ἀγριελαιῶν (παρὰ τὸ Ἀγριελαία).— Στ. 18, Σάμιον.] Ἐξ ΕΔ, ΑΤ, Σάμιοι.—Στ. 21, Ὁ Τριφυλιακὸς Πύλος ΚΔΙ Λεπρεατικός.] Ἡ τὸν συμπλικτικὸν τριπτῖον εἰς διαζευκτικὸν, ὥσπερ ἐξέφρασα ἐν τῇ Γαλλικῇ μεταφράσει, ἢ γοπτίον, Ὁ Τριφυλιακὸς Πύλος, ὁ καὶ Λεπρεατικός.—Στ. 23, Τῶν Ὁμήρου.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ Ὁμήρου.

ΣΕΛΙΔ. 83, στ. 7, Πατηθεῖσαν.] Ἐξ ΕΔ, ΑΤ, Ἀπατηθεῖσαν. Ἴδε τὴν Ἀπολλοδώρου Βιβλιοθήκην (τόμ. β', σελ. 65). Μαρτυρεῖ δὲ τῇ διορθώσει καὶ ὁ Ὀππιανὸς (Ἁλιευτ. γ', 492), τούτῳ μόνῳ διαφέρων τοῦ Στράβωνος, ὅτι φησὶν, οὐχ ὑπὸ τῆς Κόρης, τουτέστι τῆς Περσεφόνης, ἀλλ' ὑπὸ τῆς μητρὸς αὐτῆς Δήμητρος (χαριζομένης τῇ Κόρῃ) πατηθεῖσαν τὴν νύμφην Μίνθην εἰς τὴν ὁμώνυμον βοτάνην ἀλλάξαι τὸ εἶδος·

Δημήτηρ ἀμάθυνεν ἐπεμβαίνουσα πεδίλοις.

— Στ. 9, Ἣν τινες ἡδύοσμον καλοῦσι.] Οὗ μοι δοκοῦσι Στράβωνος εἶναι ἅπερ ἀσυρίσκους διμελῆ ῥήματα, ἀλλ' ὑφ' ἑτέρου τινὸς προσγεγράφθαι τῷ χωρίῳ ἐξηγήσασθαι βουληθέντος τὴν βοτάνην μίνθην, ἣν οἱ Ῥωμαῖοι εἰς τὸ Menta μετέβαλον, παρ' ὃ τὸ τῶν Γάλλων (ἑλληνωτέρᾳ γραφῇ) Menthe, ὁ παρ' ἡμῖν νῦν καλούμενος ἀρσενικῶς ἡδύοσμος, οὗ Διοσκορίδης (γ', 41 καὶ 42) δύο τίθησιν εἴδη, τὸν μὲν ἥμερον, ὃν καὶ Μίνθην φησὶ καλεῖσθαι, τὸν δ' ἄγριον, ὃν καὶ οὐδετέρως (τὸ Ἡδύοσμον) ἐκφέρει.— Στ. 12, Πρὸ ἅπαν τὸ μεταξύ.] Ἐκ ΔΓ, ΑΤ, Παρά τε τὸ μεταξύ.—Στ. 18, Τὸ δὲ διέμενε.] ΗΔ, ΑΤ, Τόδε δ' ἔμεινε. ΔΓ, Τὸ δ' ἔμεινε.— Στ. 22, ὡς φησιν.] Ἐκ ΔΓ, ΑΤ, Ἃς φησιν.— Στ. 25, Γίνεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Γενέσθαι. — Κατὰ τοὺς τόπους.] Γραπτέον, εἶμαι, Κατὰ τούτους τοὺς τόπους, ἢ μᾶλλον, Κατὰ τοὺς αὐτοὺς τόπους.

ΣΕΛΙΔ. 84, στ. 2, Ἀνίγρου.] Ἐξ ΕΔ, ΑΤ, Ἀννίου.—Στ. 3, Ἑκατέρου.] Καὶ τοῦ Λειρίου ὀφλονότι καὶ τοῦ Ἀνίγρου. ΗΔ, ΑΤ, Ἑκάτερον.—Στ. 6, Οἱ δὲ Πύλου κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, γ', 4.—

Στ. 9, Ὅταν δ' ᾖ δυνατὸν... τότε δ' ἀπέχεσθαι κ. τ. λ.] Τὸ μὲν ἐκ ΔΓ, τὸ δ' ἐξ ΗΔ, ΑΤ, Ὅταν οὖν δυνατὸν... τὸ δ' ἀπέχεσθαι. ΔΓ, Ὅταν δ' ᾖ δυνατὸν... τό γ' (ἄλλ. τοῦ δ') ἀπέχεσθαι: Ὅταν δὲ μὴ: Ὅταν δ' οὖν κ. τ. λ. Ἔπιθι καὶ ἄπερ ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 12, Κυπαρισσιῖς.] Ἐκ ΔΓ, ΑΤ, Κυπαρισσεῖς.—Στ. 26, Καυκωνίαν.] Ἐντεῦθεν εἰκὸς εἶναι παρηχθαι τοὔνομα τῆς νῦν Τσακωνίας καλουμένης, ὥσπερ καὶ ἀπὸ τῶν Καυκώνων τοὺς Τσάκωνας, ἐσημειωσάμην ἀλλαχοῦ (Πρόδρομ. Ἑλληνικ. Βιβλιοθήκ. σελ. 289, καὶ ἐν τῇ Γαλλικῇ μεταφρ. τοῦ Στράβωνος, tom. III, pag. 100, not. 3). — Ἀντίμαχος γοῦν καὶ Ἐπειούς.] Ἐκ ΔΓ, ΑΤ, Ἀντίμαχος οὖν Ἐπειούς.

ΣΕΛΙΔ. 85, στ. 8, Ἃ ὑπ' ἐκείνῳ ἐστὶν, ἔχουσι δ' οἱ.] Ἐκ ΔΓ, ΑΤ, Ἃ ὑπ' ἐκείνῳ τε ἐστίν. Ἔχουσι δ' οἱ.—Στ. 10, Διὰ Καυκώνων εἶναι τὴν ὁδόν.] Ἐκ ΔΓ, ΑΤ, Διὰ τὴν Καυκώνων εἶναι ὁδόν.—Στ. 14, Κατὰ τὴν Ὀδύσσειαν.] Ἐκ ΔΓ, ΑΤ, Κατὰ τὸν Σωτάδην.—Στ. 17, Νυκτερεύουσα.] Ἐκ ΔΓ, ΑΤ, Νυκτερεύουσα.—Στ. 18, Ἀτὰρ ἠῶθεν.] Ἐκ τῆς Ὀδυσσείας, γ', 366.—Στ. 19, Πορεύεσθαι.] ΗΔ, ΑΤ, Πορεύεσθαι.

ΣΕΛΙΔ. 86, στ. 3, Ἐπελθοῦσι.] Ἐκ ΔΓ, ΑΤ, Ἐπελθούσης.—Στ. 6, Ἐλέγοντο δὲ ΚΑΙ Παρωρεάται τινὲς τῶν ἐν τῇ Τριφυλίᾳ κατέχοντες ὄρη κ. τ. λ.] Ἐκ ΔΓ (πλὴν οὗ προσέθηκα, ἢ μᾶλλον μετέθηκα, ἅυτέρου συνδέσμου), ΑΤ, Καὶ Παρωρεάται δέ τινες ἐλέγοντο εἶναι ἐν τῇ ὀρεινῇ τῆς Τριφυλίας, κατέχοντες ὄρη. Ἡ συνάρτησις καὶ ὁ νοῦς, Τινὲς δὲ τῶν ἐν τῇ Τριφυλίᾳ κατοικούντων ἐκαλοῦντο καὶ Παρωρίται, κατέχοντες ὄρη κ. τ. λ.—Στ. 7, Τὸ Μάκιζον.] Οὐδετέρως ἐνθάδε, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς (σελ. 91), Τὸ Μάκιζον, ὄνπερ ἀνωτέρω (σελ. 84) ἀρσενικῶς, Τὸν Μάκιζον, εἰρηκεν, εἴτε τῶν ἀντιγραφέων πλάνη, εἴτε καὶ αὐτοῦ Στράβωνος ἀμελίᾳ.—Στ. 11, Ἐνδυμιωναῖον.] Ἐκ τῆς τοῦ Γερμανοῦ ἐκδότου διορθώσεως, ΑΤ, Ἰωναῖον.—Στ. 12, Εὐρυκύδιον.] Ἐκ ΔΓ, ΑΤ, Εὐρικίδιον. Εὐρυκύδα γὰρ ἐκαλεῖτο ἡ τοῦ Ἐνδυμίωνος θυγάτηρ, καθά φησι Παυσανίας (ε', 1).—Στ. 13, Σάμους ἐκάλουν τὰ ὕψη.] Τῆς τῶν Ἑλλήνων φωνῆς ὑπέλαβόν τινες εἶναι τὸ, Σάμος, τὸ δηλοῦν τὸ ὕψος (Id. Adelung's Mithridat. Th. 2, S. 371). Τῆς Φοινίκων μᾶλλον ἴσως ἐστὶ γλώσσης, καθάπερ ἐμφαίνει καὶ τὸ, Σαμά, τὸ σημαῖνον παρ' ἐκείνοις τε, καὶ ἅπασιν, ὡς εἰπεῖν, τοῖς τὴν Ἀσίαν οἰκοῦσιν ἔθνεσι, τὸν οὐρανὸν (τῶν ῥηθέντων τὸ ὕψιστον)· ὃν ἡ τῶν Ἑβραίων καὶ Χαλδαίων φωνὴ

שמים (Σαμάϊμ) καλεῖ.—Στ. 16, Οἱ δὲ Πύλον κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 591.—Στ. 19, Ἐκδίδωσιν· οὐ μικρὸν σημεῖον.] Τὸ ἐμὸν ἀντίγραφον σὺν ἑτέροις τισὶ δίχα τῆς προθέσεως καὶ τῆς μετὰ τὸ ῥῆμα ςίξεως, Δίδωσιν οὐ μικρὸν σημεῖον· καὶ ἔςιν ἀναμφιλέκτως αὕτη ἡ γνησία γραφή, ἣν ἐξέφρασκν καὶ οἱ ἀρχαῖοι δύο μεταφραςαὶ, καὶ πιςοῦται παράλληλον ἕτερον ἐν τοῖς ἑξῆς (σελ. 156) χωρίον τόδε· « Καὶ ἡ τοῦ Ἀπόλλωνος δὲ τιμὴ... δίδωσιν οὐ μικρὰ » σημεῖα. » —Στ. 25, Βαθύς.] Γραπτέον μετὰ τὴς ἀρνήσεως εἶναι εἰκαζον, Οὐ βαθὺς, ἐν ταῖς εἰς τὴν Γαλλικὴν μετάφρασιν σημειώσεσιν. Ἔτι καὶ συντομωτέρως γράφειν, Ἀβαθὴς, λέξει τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, ᾧ καὶ Ἰαληνὸς ἐχρήσατο, καὶ ἡμεῖς νῦν ἐν τῇ συνηθείᾳ χρώμεθα, ἐξαλλάξαντες τὴν κλίσιν εἰς τὸ ἰσοσύλλαβον, Ἄβαθος.—Στ. 26, Θρυόεσσης.] Ἐξ ΕΔ, ΑΤ, Θεινώδης.

ΣΕΛΙΔ. 87, στ. 1, Βαθεῖαν ὁρμὴν παρέχεται.] Ἐξ ΕΔ, ΑΤ, Βαθεῖαν ὄχθην παρέχει.—Στ. 9, Μιμνηΐον.] ΗΔ ἡ προσθήκη τοῦ δευτέρου μ (παρὰ τὸ Μίμνω)· ἢ γὰρ οὕτως, οἶμαι, γραπτέον, ἢ Μενυήϊον, διὰ τοῦ τ τὴν πρώτην συλλαβὴν (παρὰ τὸ Μένω), ἢ γοῦν (ὥσπερ ἔλεγον ἐν ταῖς σημειώσεσι τῆς Γαλλικῆς μεταφράσεως), Μεντήριον, παρὰ τὸ αὐτὸ Μένω, ἵνα σώζηται ὃ βούλεται λέγειν ὁ Στράβων.—Στ. 11, Μενυήϊον.] ΗΔ, ΑΤ, Μεντήϊον. ΔΓ, Μεντήριον: Μεντήϊον.—Στ. 13, Ἐξ Ὀρχομενοῦ τοῦ Μινυείου ἐλθόντων, εἴτ' ἀπὸ τῶν Μινυῶν, κ. τ. λ.] Ἐξ ΕΔ, ΑΤ, Ἐλθόντων ἐξ Ὀρχομενοῦ τοῦ Μινυείου, εἴτ' ἀπὸ Μινυῶν.—Στ. 16, Ὑπαισία.] Ἡ Αἰπασία γραπτέον εἶναι εἰκασάν τινες ἐνθάδε, ἵν' εἴη ἡ αὐτὴ χώρα καὶ ἡ ἐν τοῖς ἑξῆς (σελ. 88) καλουμένη Πεδίον Αἰπάσιον, ἢ τοῦτο τρεπτέον εἰς τὸ Ὑπαίσιον.—Στ. 18, Πολυνείκους.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ Πολυνείκους.—Στ. 19, Κυρηναίας.] Καὶ πάλιν τὸ αὐτὸ, ὅπερ καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 74), εἴτε τῶν ἀντιγραφέων, εἴτ' αὐτοῦ Στράβωνος ἁμάρτημα, τὸ τὴν Θήραν νῆσον μεταξὺ Κυρηναίας καὶ Κρήτης κεῖσθαι. Ἔπιθι τὰ ἐκεῖ (σελ. 27) σημειωθέντα. —Καὶ Κρήτης.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τῆς Κρήτης.—Στ. 23, Μεταξὺ δὲ τοῦ Ἀνίγρου καὶ τοῦ ὄρους, ἐξ οὗ ῥεῖ ὁ Ἰαρδάνης, λειμὼν δείκνυται, καὶ ἠρίου ἐπιφανὲς, καὶ αἱ Ἀχαιαί· εἰσὶ δὲ πέτραι ἀπότομοι κ. τ. λ.] Οὕτω διεσκεύασα τὸ χωρίον ἔκ τε τῆς ἐκδεδομένης γραφῆς, Μεταξὺ δ' Ἀνίγρου καὶ τοῦ ὄρους, ἀφ' οὗ ὁ Ἰαρδάνης ῥεῖ, λειμὼν δείκνυται καὶ τάφος ἐπιφανὴς, καὶ Ἀχαιαὶ πέτραι ἀπότομοι, καὶ τῆς φερομένης ἐν τῷ ἐμῷ ἀντι-

γράφῳ καὶ ἑτέροις οὐκ ὀλίγοις τῆσδε· Μεταξὺ δὲ τοῦ Ἀνίγρου καὶ τοῦ ὄρους, ἐξ οὗ ῥεῖ ὁ τοῦ Ἰαρδάνου λειμὼν δείκνυται καὶ ἠρίον, καὶ Ἀχαιαί· εἰσὶ δὲ πέτραι ἀπότομοι· — Στ. 28, Τὸ μὲν γάρ.] Ἐκ ΔΓ, ΑΤ, Τὸ δέ.

ΣΕΛΙΔ. 88, στ. 1, Ὑπέρκειται δ' αὐτοῦ λόφος ὑψηλὸς, ἐπίπροσθεν ὢν τοῦ νῦν Σαμικοῦ, ἐφ' οὗ ἦν ἡ Σάμος.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, συναδόντων καὶ πολλῶν ἑτέρων (μόνον τὸ ἐν αὐτοῖς Περίπροσθεν τρέψας εἰς τὸ Ἐπίπροσθεν), ΑΤ, Τούτῳ δὲ κορυφὴ ὑψηλὴ ἐπίπροσθεῖ τὸ Σαμικὸν (οὕτω γὰρ νῦν καλεῖται), ὅπου ἡ Σάμος. — Στ. 3, Καὶ πεδίον δ' αὐτόθι καλεῖται Σαμικόν.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου καὶ ἑτέρων οὐκ ὀλίγων, ΑΤ, Ἐνταῦθα δὲ πεδίον ἐστὶ Σαμικὸν ὀνομαζόμενον. — Στ. 4, Ἐξ οὗ δὴ καὶ μᾶλιστα ἄν τις.] ΔΓ, Ἐξ οὗ πλέον ἄν τις. — Στ. 5, Ποτὲ τὴν Σάμον. Καὶ ἡ Ῥαδινὴ δέ.] Ἐκ ΔΓ, ΑΤ, Ποτὲ Σάμον. Καὶ ἡ Ῥαδινή. Ἄμεινον δ' ἂν γράφοιτο ὀξυτόνως, Ῥαδίνη, ὡς φέρεται καὶ παρὰ τῷ Παυσανίᾳ, διὰ τὴν κυριωνυμίαν. — Ἣν Στησίχορος ποιῆσαι δοκεῖ.] ΔΓ, Εἰς ἣν ποιῆσαι δοκεῖ Στησίχορος. — Στ. 7, Ἄγε, Μῶσα... λύρᾳ.] Οὕτως ἐπεβάλετό τις τῶν κριτικῶν διατάξαι τε καὶ διορθῶσαι τὰ Στησιχόρου ἔπη·

Ἄγε, Μῶσα λιγεῖα,
Ἄρξον ἀοιδᾶς, ἐρατὼς
Ὕμνως Σαμίων περὶ παίδων ἐρατᾷ
Φθεγγομένα λύρᾳ.

(Ἴδε Mus. Critic. or Cambridge Classic. research. N° VI, Mai, 1816). Ἕτερος δὲ πρὸ αὐτοῦ τόνδε τὸν τρόπον·

Ἄγε, Μῶσα λιγεῖ' ἄρξον ἀοιδᾶς, ἐρατῶν ὕμνους
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ.

— Στ. 11, Ἐκ τῆς Σάμου πλεῦσαι, πνέοντος ζεφύρου, οὐ δήπουθεν τῆς Ἰωνικῆς Σάμου.] Ἐκ μὲν γὰρ τῆς Ἰωνικῆς Σάμου, Εὔρου, ἢ Ἀπηλιώτου χρεία τῷ πλέοντι ἐπὶ Κόρινθον· ὁ δ' ἐκ τῆς Πελοποννησιακῆς Σάμου ἀπαίρων, ἐπὶ ποσὸν μὲν ἂν τοῖς νοτίοις πνεύμασι φέροιτο, τὸ λοιπὸν δὲ, τὸ κατὰ τὸν Κορινθιακὸν κόλπον, ζεφύρῳ διαπλεύσεται. Καὶ ταῦτα μὲν ὁ Στράβων εἰκότως ἐκ τῶν Στησιχορείων ἐπῶν συμπεραίνει. Ἀλλὰ πῶς ἐν τῇ Ἰωνικῇ Σάμῳ μνῆμα Ῥαδίνης καὶ τοῦ ἐραστοῦ αὐτῆς ἐδείκνυτο; φησὶ γὰρ ὁ Παυσανίας (ζ', 5)· « Σαμίοις δὲ κατὰ

» τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐστι, » καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμένοις εὔχεσθαι καθέσηκεν ἐοῦσιν ἐπὶ » τὸ μνῆμα.» Ἢ ὅτι προσειποιήσαντο οἱ ἐν Ἰωνίᾳ Σάμιοι τὸ περὶ Ῥαδίνης ἱστόρημα διὰ τὴν ἐπιφάνειαν, ἢ καὶ ὁ Στησίχορος δι' ἄγνοιαν, ἢ ἄλλως, ἐψεύσατο.—Στ. 18, Τὸν Μεσσηνιακόν.] ΗΔ, ΑΤ, Τὴν Μεσσηνιακήν. Οὕτω δὲ καὶ ἀνωτέρω (σελ. 86), Τοῦ Μεσσηνιακοῦ Πύλου, εἴρηκεν, ἀρσενικῶς τοὔνομα καὶ τὸ ἐπίθετον ἐκφέρων τῆς πόλεως.—Στ. 23, Χάαν... πλησίον Λεπρέου, ὅπου καὶ τὸ πεδίον τὸ Αἰπάσιον.] Περὶ μὲν τοῦ Αἰπασίου, ἢ ὡς εἰκάζον ἕτεροι, Ὑπαισίου, ἔπιθι τὰ ἀνωτέρω (σελ. 138) σημειωθέντα μοι. Τὸ δὲ Λέπρειον ταὐτὸν ὑπειλήφασι τῇ μετὰ τὴν ἅλωσιν τῆς Ἑλλάδος βαρβάρως καλουμένῃ Χαϊάπᾳ ὁ Νίγρος, καὶ οἱ ἐξ αὐτοῦ παρειληφότες Ὀρτέλιός τε καὶ ὁ ἡμέτερος Μελέτιος. Ἀλλ' ἴσως ἡ πάλαι ἐν τῷ Αἰπασίῳ πεδίῳ ἱδρυμένη Χάα εἰς τὴν Χαϊάπαν μετεσχηματίσθη· ἴσως δὲ καὶ ἀπὸ τῶν πλησίον Ἀχαιῶν πετρῶν (ἴδ. ἀνωτέρ. σελ. 138) τοὔνομα προσεκτήσατο ἡ νέα κατοικία, ἣν οὐκ οἶδα εἰ καὶ νῦν ἔτι Χαϊάπα καλεῖται.—Στ. 28, Ἀκίδωνι.] Ἐκ ΔΓ, Ἀκίδοντι (ἣν ἔτρεψα εἰς τὸ Ἀκίδωνι, διότι καὶ Στράβων κατωτέρω, σελ. 93, Ἀκίδωνα τὴν αἰτιατικὴν προήνεγκε), ΑΤ, Κελάδοντι. Παρὰ τῷ Παυσανίᾳ (ε, 5) Ἀκίδας γράφεται ὁ Ἀκίδων, καὶ ὁ αὐτὸς εἶναι τῷ Ἰαρδάνῃ ὑπελαμβάνετο πρός τινων.

ΣΕΛΙΔ. 89, στ. 10, ΡΕΙ δὲ παρὰ Φιγαλίαν, ΚΑΘ' Ὃ κ. τ. λ.] Γραπτέον ἴσως... ΚΑΙ ΕΚΔΙΔΩΣΙ ΚΑΘ' Ὃ, τουτέστιν ἐμβάλλει εἰς τὴν θάλασσαν, καθ' ὃ μέρος οἱ Πυργίται γειτνιῶσι τοῖς Κυπαρισσιεῦσιν ἢ συντομώτερον, τὸν αὐτὸν σώζοντας νοῦν, ΕΚΡΕΙ δὲ παρὰ Φιγαλίαν, καθ' ὃ.—Στ. 11, Κυπαρισσιεῦσι.] ΗΔ, ΑΤ, Κυπαρισσεῦσι. Ἴδ. ἀνωτέρ. σελ. 137.—Στ. 19, Παραπλέοντι τὸ Κορυφάσιον.] Ἴσως ἐξερρύη τοῦ χωρίου ὁ σύνδεσμος, γραφομένου πρότερον, Παραπλέοντι καὶ τὸ Κορυφάσιον, ἵν ᾖ, ἐπὶ τὸν Μεσσηνιακὸν Πύλον καὶ τὸ Κορυφάσιον παρὰ τὴν γῆν πλέοντι.—Στ. 20, Ὁμωνύμως τῇ Πυλιακῇ. Ἔστι δὲ καὶ ΠΛΑΤΑΜΩΔΗΣ, ἀφ' ἧς κ. τ. λ.] Οὔτε τὸ Πλαταμώδης ἔρρωται, οὔθ', ὅπερ εἰς τὴν ἐκείνου χώραν ὑπέλαβόν τινες θετέον εἶναι, τὸ Πλατανώδης. Οὐδέτερον γὰρ τούτων κύριον εἶναι σύναται κώμης, ἢ πόλεως, ὄνομα, καίπερ ἁπαξαπάντων καὶ μεταφραστῶν καὶ Γεωγράφων (οἷσπερ κἀγὼ ἠκολούθησα ἐν τῇ Γαλλικῇ μεταφράσει) κυριωνυμικῶς ἐκδεξαμένων τὴν λέξιν. Ἀλλ' ἔοικε μᾶλλον ἐπίθετον εἶναι τῆς προηγησαμένης πόλεως Ἐράνας, γράψαντος

πάλαι τοῦ Στράβωνος, Ὁμωνύμως τῇ Πυλιακῇ (ἴσ. γρ. Τριφυλιακῇ)· ἔστι δὲ πλαταμώδης· ἀφ' ἧς. Λείπεται δὲ τὸν νοῦν γνῶναι τοῦ; Πλαταμώδης· ὅπερ ταὐτὸν ἴσως ἐνθάδε σημαίνει, ὃ καὶ τὸ πρωτότυπον αὐτοῦ ὄνομα, Πλαταμών. « Πλαταμών, τόπος πλατὺς » καὶ μέγας ἐπιθαλάττιος (γρ. ὑποθαλάττιος)· οἱ δὲ, λεωπετρία· οἱ δὲ, » ὀλισθηρὰ πέτρα, » φησὶν Ἡσύχιος· κατὰ δὲ τὸν Γαληνὸν, « Πλατα- » μών, ὕφαλος πέτρα, λεία [καὶ] ταπεινὴ, περὶ ἣν πλατύνεται τὰ » κύματα. » Σρυΐδας δὲ καὶ ἐπὶ τοῦ αἰγιαλοῦ τάττεσθαι λέγει τὸν Πλαταμῶνα. Εἴη ἂν οὖν, κατὰ τάδε, ἡ Ἐράνα ἀλιτενὴς οὖσα, ὡς' ἐπὶ πολὺ τῆς θαλάσσης παρεκτείνεσθαι αὐτὴς τὸν λιμένα ὑφάλοις λείαις πέτραις κατάσκιον, καὶ εἰς αἰγιαλὸν μεταβάλλεσθαι ἐν τῇ τῶν κυμάτων ἀποχωρήσει. — Στ. 26, Ἀλλα.] Ἐκ ΔΓ, ΑΤ, Ἀλλο.

ΣΕΛΙΔ. 90, στ. 8, Οἱ δὲ Πύλον κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 591. — Στ. 12, Θάμυριν... Οἰχαλιῆος.] Ἐκ ΔΓ προσέθηκα τὰς δέκα ταύτας λέξεις, τῶν προτέρων ἐκδόσεων τὸ Λυτόμεναι μόνον τοῦ πέμπτου σίχου ἐχουσῶν. — Στ. 17, Ἔστι δέ τις κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, λ', 711. — Στ. 27, Θρυόεσσαν τὸ Ἐπιτάλιόν φασιν, ὅτι πᾶσα μὲν αὕτη ἡ χώρα θρυώδης.] Ἐκ ΔΓ, ΑΤ, ...ὅτι πᾶσα μὲν ἡ αὐτὴ χώρα θρυώδης. Θρυώδης δέ ἐστι, σχοίνων μεστή· θρύον γὰρ ὁ σχοῖνος, ἢ γοῦν εἶδός τι σχοίνου, ὅπερ ἡ συνήθεια βροῦλον καλεῖ. Κατὰ δὲ τὸν Ἐτυμολόγον (σελ. 456), καὶ Θρύσιος, ἀρσενικῶς λέγεται. Διὸ καὶ τὸ Ἐπιτάλιον Ζούγκιο ἰδιωτικῶς ὑπὸ τῶν Πελοποννησίων καλεῖσθαί φησιν ὁ Ὀρτέλιος, παρὰ τὸ Ἰταλικὸν Gionco, τὸ δηλοῦν τὸν σχοῖνον, τῶν ἐνετῶν ἴσως θεμένων τοὔνομα, ἡνίκα τὴν Πελοπόννησον κατεῖχον.

ΣΕΛΙΔ. 91, στ. 4, Ἔστι δέ τις... ἡμαθόεντος.] Ἐκ ΔΓ ἀνεπληρώθησαν οἱ σίχοι, τῶν προτέρων ἐκδόσεων ταῦτα μόνα φερουσῶν τὰ ῥήματα, Θρυόεσσα πόλις, αἰπεῖα κολώνη. — Στ. 7, Τῆς Νέδας.] Τῆς ἔτι καὶ νῦν Νέδας, ἢ Νεδίνας καλουμένης· ἕτεροι τὸν νῦν ὀνομαζόμενον Σαμάρι ποταμὸν, τὴν πάλαι Νέδαν εἶναί φασι. — Στ. 9, Ὁμωνύμως μὲν οὖν, ὁμοίως δὲ νῦν κ. τ. λ.] Οὐ πάνυ σαφῶς ἐκπέφρασαι τὸ χωρίον. Ἴσως ἐγέγραπτο, Ὁμώνυμος μὲν, ὅμως δὲ νῦν, ἡ Ὁμώνυμος μὲν οὖν ἦν, ὅμως δὲ νῦν, τουτέστιν, ἡ Μεσσηνιακὴ πόλις ὁμώνυμος ἦν τῇ Τριφυλιακῇ, Κυπαρισσήεις καλουμένη· ὅμως δὲ νῦν κἀκείνη, ἤγουν ἡ Τριφυλιακὴ, Κυπαρισσία ὀνομάζεται, καθάπερ ἡ Μεσσηνιακή. Στέφανος δ' ὁ Βυζάντιος τὴν Τριφυλιακὴν Κυπαρισσίαν τὴν αὐτὴν εἶναι βούλεται εἶναι τῇ Ἐράνᾳ, ἀπεναντίως τῷ Στράβωνι. Καὶ Παυσανίας μὲν (δ', 36) τὴν Μεσση-

νιακὴν πόλιν, Κυπαρισσιάς, Θηλυκῶς καὶ πληθυντικῶς ὀνομάζει, Πτολεμαῖος δὲ (γ', 16), Κυπαρίσσους. ἀρσενικῶς καὶ πληθυντικῶς· παρ' οὐδετέρῳ δὲ μνημονεύεται ἡ Τριφυλιακὴ Κυπαρισσία.—Στ. 14, Ἀγχίαλον.] Ἐκ τῆς Ἰλιάδος, β', 697.—Στ. 15, Ἔστι δὲ δρυμῶδες.] Ἐκ ΔΓ, ΑΤ, Ἔστι δὲ καὶ δρυμῶδες.—Στ. 18, Ἔλις τ'.] Ἐκ τῆς Ἰλιάδος, β', 584.—Στ. 19, Ἐλείας.] ΠΔ, ΑΤ, Ἠλείας. Ἴδε τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 21, Πεδίον.] Ἰσ.γρ. Πόλιν. Οὕτω γὰρ ὀνομάζει καὶ Παυσανίας (δ', 33) τὸ Δώριον, οὗ τὰ ἐρείπια μόνα ἐθεάσατο ἐν τῇ Μεσσηνίᾳ περὶ τὸν ποταμὸν Ἠλέκτραν, καὶ ὅπου φησὶ τὰ κατὰ τὸν Θάμυριν συμβῆναι, ἀπεναντίως τῷ Στράβωνι. Οὗτος γὰρ περὶ τὸν Ἀλφειὸν τίθησι τὸ Δώριον. Ἔστι δ' οὖν νυνὶ ἐν τῷ νειοτάτῳ τῆς Πελοποννησιακῆς γεωγραφίας πίνακι Κώμη, καλουμένη Δῶρι (Dori), πρὸς τῷ Ἀλφειῷ, καὶ ἑτέρα σχεδόν τι ὁμώνυμος (Dsori) ἐν τῇ Μεσσηνίᾳ, οὐ μακρὰν τοῦ Παμίσου ποταμοῦ.—Στ. 26, Ἐς τὸ Δώριον.] Οὐ πιθανὸν, ἐν ὅλῃ τῇ Γεωγραφίᾳ κοινῶς σχηματίσαντα τὴν, Εἰς, πρόθεσιν τὸν Στράβωνα, ἐνθάδε μόνον τὸν Ἀττικὸν προελέσθαι τύπον· εἶασα μέντοι κατὰ χώραν, διὰ τὸ παρ' ἅπασιν οὕτω φέρεσθαι.

ΣΕΛΙΔ. 92, στ. 8, Ἄγγελλος πέμπεται.] Ἴδε Ὀδυσσ. γ', 423.—Στ. 11, Παρατρέψαντα.] Ἴδε Ὀδυσσ. ὁ, 199.—Στ. 14, Βὰν δὲ παρά.] Ἐκ τῆς Ὀδυσσείας, ὁ, 295.—Χαλκίδα καλλιρέεθρον.] Ταὐτὸ τοῦτο τὸ ἔπος παρατιθέμενος ἐν τοῖς ἑξῆς (σελ. 234) Στράβων, Χαλκίδα πετρήεσσαν γράφει, συγχέας δηλονότι τὸν ποταμὸν, τὴν Χαλκίδα, τῇ πλησίον αὐτοῦ κειμένῃ ὁμωνύμῳ κατοικίᾳ Χαλκίδι, περὶ ὧν εἴρηκεν ἐν τοῖς πρόσθεν (σελ. 82).—Στ. 16, Φειάς.] Ἰσ.γρ. Φεαῖς. Ἴδ. τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Ἀγαλλομένη.] ΔΓ, Ἐπειγομένη, καθάπερ νῦν φέρεται ἐν τῇ Ὀδυσσείᾳ, ὁ, 297.—Στ. 18, Μέχρι μὲν δὴ] Ἐκ ΔΓ, ΑΤ, Μέχρι μὲν γὰρ δὴ.—Στ. 22, Εὐ πορθμῷ.] Ἐκ τῆς Ὀδυσσείας, δ', 671.—Στ. 23, Ἔνθεν δ' αὖ.] Ἐκ τῆς αὐτῆς, ὁ, 299.—Στ. 26, Κατὰ νώτου.] Ἐξ ΕΔ, ΑΤ, Κατὰ νότου.

ΣΕΛΙΔ. 93, στ. 3, Εἶτ' οὖν.] Ἐκ ΔΓ (ἢ συνάδει καὶ τὸ ἐμὸν ἀντίγραφον), ΑΤ, Εἰ γοῦν. Τὸ δὲ ἕτερον ἀποδοτικὸν, Εἴτε, ἐμφαίνεται κατωτέρω (στ. 13) διὰ τοῦ, Καὶ μὴν εἰ καὶ πάλιν.—Στ. 7, Πρῶται μὲν αἱ.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 13, Εἰ καὶ πάλιν.] Ἰσ. ἐγέγραπτο, Εἴτε πάλιν.—Στ. 16, Τετρακοσίων.] Ἐκ ΔΓ, ΑΤ, Τεσσαρακοσίων.—Στ. 20, Καὶ τόπους τινὰς τῶν

τοὺς μεταξὺ ὕστερον δ', εἰ ἄρα, κἀκείνων.] Ἐκ ΔΓ (συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Καὶ τοὺς τόπους τούτων τοὺς μεταξύ, καὶ τὰς μεταξὺ χώρας· ὕστερον δὴ ἄρα κἀκείνων.

ΣΕΛΙΔ. 94, στ. 1, Τὴν Πυλίαν.] Ἐκ ΔΓ, ΑΤ, Τὴν Πύλου.—Στ. 8, Πεντήκοντα.] Ἐκ τῆς Ἰλιάδος, λ', 678.—Στ. 16, Γενομένης.] Ἐκ ΔΓ, ΑΤ, Γεγενημένης.—Στ. 24, Ἔνδιοι πρὸς τὸν κ. τ. λ.] Ἰδ. Ἰλιάδ. λ', 726.—Στ. 29, Πέτρης τ' ἠλεκτῆς.] Ἐκ τῆς Ἰλιάδος, λ', 757.

ΣΕΛΙΔ. 95, στ. 5, Ἠλιακόν.] Ἐκ ΔΓ, ΑΤ, Ἠλιακόν.—Στ. 12, Χρεὶς μέγ'.] Ἐκ τῆς Ἰλιάδος, λ', 698.—Στ. 17, Ἐπῆρχε.] ΗΔ, ΑΤ, Ὑπῆρχε.—Στ. 21, Ἐπῆρχεν.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆρχεν.

ΣΕΛΙΔ. 96, στ. 15, Νέθωνος.] Ἕτερος οὗτος ποταμὸς παρὰ τὸν Θηλυκῶς καλούμενον, Νέδαν, καθάπερ διαξέλλει Στράβων ἐν τοῖς ἑξῆς (σελ. 105).—Στ. 16, Ἐπηρχεν.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆρχεν.—Στ. 19, Καὶ πάνθ'.] Ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς ἔοικεν ἀνεγνωκέναι, Καὶ πάσας.—Στ. 20, Περὶ τὴς Ὀλυμπίας.] Σώζεται νῦν τὰ τῆς Ὀλυμπίας ἐρείπια περὶ τὸν ὑπὸ τῶν ἐγχωρίων καλούμενον τύπον Μηράκαν, ὡς φασιν οἱ νεώτεροι περιηγηταί. Ἰδὲ τὸν κατὰ τὸ 1814 ἔτος ἐκδοθέντα ὑπὸ τοῦ σοφοῦ Γεωγράφου, Βαρβίου τοῦ Βοκάγου, γεωγραφικὸν πίνακα τῆς Πελοποννήσου.—Στ. 21, Πισάτιδι.] Ἐκ ΔΓ, ΑΤ, Πεισάτιδι.—Στ. 22, Τριακοσίους.] Ἕτεροι δὲ μακρῷ ἐλάττονας ϛαδίους ἀπέχειν τῆς Ἤλιδος τὸ ἱερὸν ἔφησαν. Ἰδὲ τὰ σημειωθέντα ὑπὸ τοῦ Γερμανοῦ ἐκδότου.—Στ. 23, Ἀγριελαίων.] Οὕτως ὀρθῶς παρ' ἅπασι. Ἰδ. ἀνωτέρ. σελ. 136.

ΣΕΛΙΔ. 97, στ. 2, Τῶν πάντων.] Ἐκ ΔΓ, ΑΤ, Τῶν ἁπάντων.—Στ. 11, Τὰ μέτρα τοῦ ξοάνου, καὶ Καλλίμαχος... ἐξεῖπε.] Ἴσως ἐγέγραπτο, Τὰ μέτρα τοῦ ξοάνου, ἃ καὶ Καλλίμαχος... ἐξεῖπε. Τοιαύτην γοῦν τινὰ γραφὴν ὑπονοεῖν παρέχουσιν ἥ τε κακὴ ΔΓ... Καλλίμαχος ὁ... ἐξεῖπε, καὶ ἡ οὐ μᾶλλον πιστὴ ἀρχαία μετάφρασις Λατινικὴ, e quibus Callimachus, ὅπερ ἐστὶν, Ἐξ ὧν Καλλίμαχος.—Στ. 12, Πάναινος... ἀδελφιδοῦς ὢν αὐτοῦ.] Παυσανίας μέντοι (ε, 2) καὶ Πλίνιος (*lib. XXXV*, 24) ἀδελφὸν φασι γεγονέναι τὸν Πάναινον τοῦ Φειδίου.—Στ. 13, Πρὸς τὴν τοῦ ξοάνου διὰ τῶν χρωμάτων κόσμησιν.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου (πλὴν ἑνὸς συνδέσμου· φέρει γάρ, Πρός τε τὴν τοῦ), ΑΤ, Πρός τε τὴν τοῦ ξοάνου κατασκευὴν διὰ τὴν τῶν χρωμάτων κόσμησιν. Συνάδει δέ πως τῷ ἀντιγράφῳ μου καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστής. Ἀλλ' ἴσως

ἦν ἑτέρα γνησιωτέρα γραφὴ, Πρός τε τὴν τοῦ ξοάνου κατασκευὴν, καὶ τὴν τῶν χρωμάτων κόσμησιν, ἥνπερ ἐξέφρασεν ὁ Ἰταλὸς μεταφραστὴς, nel fabricare la statua, e nel adornarla con accommodati colori. — Στ. 16, Ἀπομνημονεύουσι δὲ καί.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου προσείληφα τὸν δεύτερον τῶν συνδέσμων. — Στ. 18, Μέλλοι ποιεῖν.] Ἐκ ΔΓ, ΑΓ, Μέλλει ποιήσειν. — Στ. 20, Ἡ, καὶ κυανέῃσιν.] Ἐκ τῆς Ἰλιάδος, ά, 528. — Στ. 23, Καὶ τῶν ὀφρύων· ὅτι προκαλεῖται.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τῶν ὀφρύων, προκαλεῖ. — Στ. 26, Καὶ ἐπὶ τῆς Ἥρας... πρέπον· φησὶ γάρ.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἐπὶ Ἥρας... πρέπον· ἔφη μὲν γάρ. — Στ. 28, Σείσατο.] Τὰ πλεῖστα τῶν ἀντιγράφων, Εἴσατο. Ἔστι δὲ τὸ ἔπος ἐκ τῆς Ἰλιάδος, θ', 199. — Στ. 29, Ἐπ' ἐκείνης συμβὰν ὅλης κινηθείσης.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ' ἐκείνῃ συμβὰν ὅλῃ κινηθείσῃ.

ΣΕΛΙΔ. 98, στ. 6, 27 καὶ 30, Αὐγέας... Αὐγέαν... Αὐγέᾳ.] ΔΓ (Ὁμηρικωτέρα, ἐξ ἑνὸς μόνου ἀντιγράφου), Αὐγείας... Αὐγείαν... Αὐγείᾳ. Ἴδε τὴν σημείωσιν τοῦ Γερμανοῦ ἐκδότου, τόμ. 3, σελ. 53. — Στ. 7, Τροίαν.] Ἐκ ΔΓ, ΑΤ, Τρώϊαν. — Τετταράκοντα.] Ἐκ ΔΓ, ΑΤ, Τεσσαράκοντα· καὶ οὕτως ἔγραψα σχεδόν τι ἁπανταχοῦ, καὶ ἐν τοῖς ἀριθμητικοῖς καὶ ἐν τοῖς ἄλλοις ὀνόμασι, τὴν διὰ δύο τ̄ γραφὴν προελόμενος τῆς διὰ δύο σ̄, διὰ τὸ ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων οὕτω φέρεσθαι. — Στ. 14, Ὁ Ὀλυμπιακός.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον. — Στ. 20, Δὲ πίστεως.] Ἐκ ΔΓ, ΑΤ, Δὲ τῆς πίστεως.

ΣΕΛΙΔ. 99, στ. 4, Καὶ γὰρ τῷ χρεῖος μέγ' ὀφείλετ' ἐν Ἤλιδι δίῃ.] ΗΔ, ΑΤ, Καὶ γὰρ τὸ χρέος ὀφείλεται ἐν Ἤλιδι δίῃ· ἔστι γὰρ Ὁμήρου τὸ ἔπος (Ἰλιάδ. λ, 698), ὅπερ οἱ πρὸ ἡμῶν οὐ διέστειλαν τῶν ῥημάτων τοῦ Στράβωνος. ΔΓ (ἐκ τοῦ ἐμοῦ ἀντιγράφου) Καὶ γὰρ τὸ χρεῖος ὀφείλετ' ἐν κ. τ. λ. — Στ. 19, Λεπρεάταις οὐ κοινωνήσασι τοῦ πολέμου.] Ἐκ τοῦ Γεμίστου Πλήθωνος, ΑΤ, Λεπρεάταις κρατήσασι πολέμῳ. — Στ. 20, Ὅσας γ' ἑώρων.] ΗΔ, ΑΤ, Ὅσας θ' ἑώρων. ΔΓ, Ὅσας ἑώρων: (τὸ ἐμὸν ἀντίγραφον) Ὅσας τ' ἑώρων. — Στ. 21, Καὶ φόρους.] Ἐκ ΔΓ, προσείληφα τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 100, στ. 2, Πολλάκις νομίζουσι καὶ τἀναντία λέγειν.] ΔΓ, Πολλὰ καὶ νομίζουσιν, ὥστε καὶ τἀναντία λέγειν· ὅθεν ὁρμώμενος ὁ Κασωβὼν διώρθου πάλαι, Πολλὰ καινίζουσιν, ὥστε κ. τ. λ. εἶτα μεταμελόμενος ἐατέον εἶναι ἔλεγε τὴν γραφὴν κατὰ χώραν, ἐκλαμβάνοντας τὸ Νομίζουσιν ἐπὶ τοῦ εἰώθασιν. Αὐτὸς δ',

ἀποδεξάμενος

ἀποδεξάμενος τὴν διόρθωσιν, προσεπιδιώρθωκα ἐν ταῖς σημειώσεσι τῆς Γαλλικῆς μεταφράσεως, Πολλὰ καινίζουσιν, ὥςε πολλάκις καὶ τἀναντία λέγειν.—Στ. 5, Ὡς ἐπὶ τὸ πολύ.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 8, Πίςραν, ὅπερ ἐςὶ ποτίςραν.] « Πίςρα, ἡ ποτίςρα » φησὶ Σουίδας. Καὶ τὸ μὲν εὕρηται παρ' Εὐριπίδῃ, οὐδετέρως Πίςρον (Κυκλ. 29), καὶ Θηλυκῶς, Πίςρα (Κύκλ. 47), πλὴν εἰ μὴ καὶ ἐν τούτῳ τῷ ςίχῳ ἀντὶ τοῦ, Πίςραις, γραπτέον οὐδετέρως Πίςροις)· καὶ σημαίνει τὰ ἐπιτήδεια εἰς κτηνῶν πόσιν δοχεῖα (Γαλλ. Auges), ἢ μέρη ποταμοῦ, ἢ λίμνης (Abreuvoirs). Τὴν δὲ Ποτίςραν εὑρήσεις παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ (γ', 17), καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ· Ποτίςραν γὰρ καὶ ἡμεῖς καλοῦμεν τὸ δοχεῖον, ἐν ᾧ πίνουσι τὰ βοσκήματα· Ποτιςήριον δὲ (Γαλλ. Arrosoir), ᾧ ἀρδομεν τὰ φυτά. Ποτιςὴν δ', ἀρσενικῶς, τὴν ἐν τοῖς κήποις ἀμάραν (Rigole), δι' ἧς ῥέον τὸ ὕδωρ ἑκασχοῦ φέρεται εἰς ἀρδείαν φυτῶν.—Στ. 9, Δυεῖν ὁρῶν.] Ἐκ ΔΓ, ΑΤ, Δυοῖν ὁροῖν.—Στ. 14, Ὡς ὁ Ποιητὴς τὴν Λέσβον, Μάκαρος πόλιν.] Ἐκ τῆς Ἰλιάδος, ω, 544· ὅπου μέντοι οὐ, Μάκαρος πόλιν, ἀλλὰ Μάκαρος ἕδος ὀνομάζει τὴν Λέσβον Ὅμηρος, μαρτυροῦντος τοῦτο καὶ τοῦ Στράβωνος ἐν τοῖς ἑξῆς (σελ. 444).—Στ. 15, Ἐν Ἴωνι.] Ἐν τῷ σωζομένῳ δράματι, τῷ καλουμένῳ Ἴωνι, στ. 294.—Στ. 17, Ἐν Ῥαθαμάνθυι.] Τοῦτο δ' οὐκ ἔτι σώζεται, ὥσπερ οὐδὲ τὸ ἑξῆς τοῦ Σοφοκλέους, οἱ Μυσοί.—Στ. 24, Τούτου δ' ἐρασθῆναι.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδισμον.—Στ. 25, Ἠράσσατο.] Ἐκ ΔΓ ἐδίπλωσα τὸ σ, καθὰ φέρεται καὶ ἐν τῇ Ὀδυσσείᾳ λ', 238.—Στ. 28, Δέχεται τὸν Ἀπιδανὸν κατενεχθέντα ἐκ Φαρσάλου.] Ἡμάρτηται ἴσως τὸ χωρίον· ὁ γὰρ Ἀπιδανὸς μᾶλλον δέχεται τὸν Ἐνισέα (ἢ Ἐνιπέα) πρὸς αὐτῇ τῇ Φαρσάλῳ, καθάπερ ἐν τοῖς ἑξῆς (σελ. 212) ἐρεῖ Στράβων.

ΣΕΛΙΔ. 101, στ. 6, Φηραίαν.] Ἴδε τὰ σημειωθέντα ἐν τῇ Γαλλικῇ μεταφράσει, πρὸς δὲ καὶ ἅπερ ἐσημειώσατο ὁ σοφὸς ἐκδότης (Schweighäuser) τοῦ Πολυβίου τόμ. ς', σελ. 127.—Στ. 8, Καὶ τοῦ Βουπρασίου.] Ἐκ ΔΓ προσείληφα καὶ τὸν σύνδισμον καὶ τὸ ἄρθρον.—Στ. 11, Ἐξηλείφθη.] Παρὰ τὸ Ἐξαλείφω, τὸ ἀφανίζω· ἀλλ' ἴσως γραπτέον, Ἐξελείφθη, παρὰ τὸ Ἐκλείπω, ὥσπερ ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραςὴς, egli è abbandonnato, καὶ ὁ Ξύλανδρος, deserta est.—Στ. 17, Ἐρύμανθον.] Ὁ Ἐρύμανθος Ἀτσίκολος νῦν ὑπὸ τῶν ἐγχωρίων καλεῖται, ὡς φησιν ὁ Πουκευίλλης (Pouqueville) ἐν τῇ τῆς Πελοποννήσου περιοδείᾳ (τόμ. Ι, σελ. 119).—

—Στ. 19, Τὰ χωρία ἱδρύσθαι ταῦτα. § 33. Ἔφορος δέ φησιν κ. τ. λ.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν καὶ ςίξιν, ἣν συνέχειν ὁ Γερμανὸς ἐκδότης (τυπογράφων ἴσως ἁμαρτίᾳ), μετενεγκὼν τὴν τελευταίαν τοῦ παραγράφου ἀντωνυμίαν εἰς τὸν ἑξῆς παράγραφον, οὕτω· Τὰ χωρία ἱδρύσθαι. § 33. Ταῦτα Ἔφορος δέ φησιν.

ΣΕΛΙΔ. 102, στ. 4, Δέγμενον τ' Ἐπειόν.] Ἐκ ΔΓ, ΑΤ, Δέγμενον δ' Ἐπειόν.—Στ. 23, Φειδωνα... δέκατον μὲν ὄντα ἀπὸ Τημένου.] Ἔπειδὴ τὰ περὶ τούτων σημειωθέντα διὰ μακρῶν ὑπὸ τοῦ Γερμανοῦ ἐκδότου, καὶ ἅπερ εἴρηκεν ἐν τῇ Ἱςορίᾳ τῶν ἀρχαίων χρόνων τῆς Ἑλλάδος (Histoire des premiers temps de la Grèce, vol. II, pag. 181-182) Στέφανος ὁ Κλαυέριος, ὃν ἐγὼ ποθῶν οὐ παύσομαι, φίλον πιςὸν, ἄνδρα σοφὸν, δικαςὴν ἀδέκαςον, πολίτην εὐνομίας πάντα δεύτερα τιθέμενον, τελευτήσαντα τῇ 18 Νοεμβρίου τοῦ ἐνεςῶτος ἔτους 1817.

ΚΛΑΥΕΡΙΕ
ΧΡΗΣΤΕ
ΧΑΙΡΕ.

ΣΕΛΙΔ. 103, στ. 5, Διὰ τοῦτο.] Ἐκ ΔΓ, ΑΤ, Διὰ ταῦτα.—Στ. 12, Μὴ κατακολπίζοντι.] Ὁ Ἄγγλος ἐκδότης γραπτέον εἶναι Κατακολπίζοντι, δίχα τῆς ἀπαγορεύσεως, ὑπείληφεν. Ἴδε τὴν ὑποτεταγμένην σημείωσιν τῇ Γαλλικῇ μεταφράσει.

ΣΕΛΙΔ. 104, στ. 2, Ὁ Ἀγαμέμνων τῷ Ἀχιλλεῖ.] Ἐκ ΔΓ προσείληφα ἄμφω τὰ ἄρθρα.—Στ. 3, Καρδαμύλην.] Ἐκ τῆς Ἰλιάδος, ἰ, 150. —Ἰρήν.] Ἀποκατέςησα ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς (σελ. 106) τὴν γραφὴν, ΑΤ, Ἴρην.—Στ. 8, Τὸ μὲν, συγκαταλέγων ἐν τῷ κ. τ. λ.] ΗΔ, ΑΤ, Τὸ μὲν καὶ συγκαταλέγων τῷ. Ὁ νοῦς, Τοῦτο μὲν, συγκαταλέγων (ὁ Ὅμηρος) τὰς Φηρὰς ταῖς Λακωνικαῖς πόλεσιν, ἐν οἷς φησὶν (Ἰλιάδ. β', 582), Φᾶρίν τε, Σπάρτην τε, πολυτρήρωνά τε Μέσσην· τοῦτο δὲ, συγκαταλέγων αὖθις αὐτὰς ταῖς ἐν τῷ Μεσσηνιακῷ κόλπῳ κειμέναις πόλεσιν, ὁπόταν λέγῃ (Ἰλιάδ. ἰ, 151), Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον. Ἀλλ' ἔοικεν ὁ Στράβων συγχέειν οὐ πιθανῶς ταῖς Φηραῖς τὴν Φᾶριν.—Στ. 14, Ἐπὶ τῷ Κορυφασίῳ.] Ἐκ ΔΓ, ΑΤ, Ὑπὸ τῷ Κορυφασίῳ.—Στ. 16, Σοφοκλείους.] Ἐξ ΕΔ, ΑΤ, Στρατοκλείους.—Στ. 18, Προκειμένη.] ΗΔ, ΑΤ, Προσκειμένη.—Στ. 19, Σφαγία... Σφακτηρία.] Θάτερον, τὸ πρῶτον ὄνομα διέμεινε νῦν τῇ νήσου.—Στ. 21, Τὴν παραλίαν

ταύτην αἱ τῶν Κυπαρισσίων πελάγιαι πρόκεινται δύο νῆσοι.] Εἰ μὲν φυλάττοις τὸ δεύτερον ἄρθρον, ὁ νοῦς ἔςαι, Πρόκεινται αἱ δύο νῆσοι τῶν Κυπαρισσίων (τουτέςι τῶν οἰκητόρων τῆς Κυπαρισσίας) κατὰ τὴν παραλίαν ταύτην· εἰ δὲ διαγράφοις, ὥσπερ εἶκαζεν ὁ Κασωβὼν, τὸ λεγόμενον ἔςαι, Κατὰ τὴν παραλίαν τῶν Κυπαρισσίων πρόκεινται δύο νῆσοι.—Στ. 23, Στροφάδες.] Αἱ νῦν καλούμεναι, Στροφάδεα, οὐδετέρως, ὡς φησιν ὁ ἡμέτερος Μελέτιος.—Στ. 25, Φησὶ δὲ Θουκυδίδης.] Ἐν τῇ τετάρτῃ βίβλῳ (κεφ. 3) τῆς συγγραφῆς.

ΣΕΛΙΔ. 105, στ. 1, Μεθώνη.] Οὕτως ὀνομάζεται καὶ παρὰ τοῖς ἄλλοις, πλὴν Παυσανίου, ὃς Μοθώνην αὐτὴν καλεῖ, καθάπερ ἔτι καὶ νῦν καλοῦσιν αὐτὴν οἱ ἡμέτεροι.—Στ. 3, Ὁ Ἀγαμέμνων.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 10, Αἱ καλούμεναι Θυρίδες... Ταίναρον.] Θύραι δηλονότι τοῦ ςομίου, δι' οὗπερ ἦν ἡ εἰς ᾅδου κατάβασις, καθάπερ ἐδήλωσε καὶ ὁ Ῥωμαῖος ποιητὴς (Virgil. *Georgic. libr. IV, vers* 467)·

Tænarias etiam fauces, alta ostia ditis.

Τὸ δὲ Ταίναρον καλεῖται ταυῦν ὑπὸ τῶν ναυτιλλομένων Εὐρωπαίων, Cap Matapan. Καὶ τὸ μὲν πρῶτον ὄνομα δῆλον ὅτι Ἄκραν, ἢ Ἀκρωτήριον, σημαίνει· τὸ δὲ Matapan οὐκ ἀπιθάνως Ἑλληνικοῦ ὀνόματος, τοῦ Μέτωπον, φθορὰν εἶναι ὑπείληφεν ὁ γεωγράφος Δαμβίλλης.—Στ. 11, Κιναίθιον καί.] Ἢ διαγραπτέον τὰς δύο ταύτας λέξεις, ἢ τρεπτέον εἰς τὸ, Καινὴν καὶ (ἢ Καινήπολιν καί)· Καινὴ γάρ, ἡ Καινήπολις, καλουμένη πόλις ἦν, τεσσαράκοντα ςαδίους ἀπέχουσα τοῦ Ταινάρου. Ἴδε τὰς ἐν τῇ Γαλλικῇ μεταφράσει σημειώσεις.—Στ. 12, Οἴτυλος ἐςί· καλεῖται δ' ὑπό τινων καὶ Τύλος.] ΗΔ, ΔΤ, Ὁ Τύλος ἐςί· καλεῖται δ' ὑπό τινων Οἴτυλος (ἣν γραφὴν ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει). ΔΓ, Ὁ Οἴτυλος (ἄλλ. Ὁ Πύλος) ἐςὶ· καλεῖται δ' ὑπό τινων Βαίτυλος (γρ. Βοίτυλος). Τὸ ὄνομα, Τύλος, ἐξ ἡμαρτημένης ἀναγνώσεως τοῦ Ὁμηρικοῦ ἔπους ἀνιφύη· ὅπερ οὐκ εἰκὸς ἀγνοῆσαι τὸν Στράβωνα, ἡμφισβητημένου ὑπὸ τῶν ἀρχαιοτέρων. Ἀντὶ γὰρ τοῦ ἐν τῇ Ἰλιάδι (β', 585) ὀρθῶς γραφομένου,

Οἵ τε Λάαν εἶχον, ἠδ' ΟἼΤΥΛΟΝ ἀμφινέμοντο,

ἦσαν οἱ διετείνοντο γραπτέον εἶναι,

Οἵ τε Λάαν εἶχον, ἠδ' ΟἿ ΤΎΛΟΝ ἀμφινέμοντο.

Πιεσοῦται δὲ τὴν παρὰ τῷ Ποιητῇ τρισύλλαβον γραφὴν, Οἴτυλον, τοῦτο μὲν ἡ μέχρι δεῦρο διαμείνασα κλῆσις τῆς πόλεως, Βοίτουλον, οὐδετέρως, τῆς Λακωνικῆς οὖσα διαλέκτου, καθ' ἣν ἡ μὲν πρώτη διφθογγος προσειληφε τὸ δίγαμμα, ἡ δευτέρα δὲ αὐτὸ παρίεται τὸ υ στοιχεῖον (καθάπερ ἔλεγον καὶ Θουγάτηρ, ἀντὶ τοῦ Θυγάτηρ)· τοῦτο δὲ ὁ Πτολεμαῖος, Βίτυλα (γρ. Βοίτυλα) ὀνομάζων τὴν πόλιν. Καὶ αὐτὴ δὲ ἡ ἀνωτέρω σημειωθεῖσα ΔΓ, Βαίτυλος, ἡμαρτημένη προδήλως οὖσα ἀντὶ τοῦ Βοίτυλος, ὑπονοεῖν παρέχει μήποτε καὶ Στράβων αὐτὸς μετὰ τοῦ δίγαμμα ἔγραψεν· « Οἴτυλος ἐστὶ· » καλεῖται δ' ὑπό τινων Βοίτυλος ». — Στ. 13, Λεῦκτρον.] Ἐνικῶς καὶ οὐδετέρως, ὡς καὶ παρὰ τῷ Πτολεμαίῳ, καὶ ὥσπερ ἔτι καὶ νῦν ὀνομάζεται, ἀποβολῇ τοῦ Σ, Λεῦτρον· ἕτεροι δὲ αὐτὴν τὴν νῦν Μάϊναν, ἢ Μάνην (ἧς τὸ ἐθνικὸν Μανιώτης) εἶναί φασι τὸ Λεῦκτρον. — Στ. 15, Καρθαμύλη.] Σέσωσται τοὔνομα, Καρδάμυλα, καλουμένης νῦν τῆς πόλεως, ὁμωνύμως τοῖς ἐν τῇ νήσῳ Χίῳ Καρδαμύλοις. — Φηραί.] Ἡ νῦν Παλαιόχωρα· καθ' ἑτέρους δὲ τὸ Κεραμίδι.—Στ. 18, Τρικκαίου.] ΗΔ, ΑΤ, Τρικκαῖον. Ἴδε τὴν Γαλλικὴν μετάφρασιν (tom. V, pag. 147).—Στ. 20, Θαλάμας.] Ἐξ ΕΔ, ΑΤ, Θαλάμους. Λέγουσι δ' εἶναι τὴν νῦν Καλαμάταν· ἕτεροι δὲ πιθανώτερον Καλαμάταν νῦν καλεῖσθαί φασι τὴν πάλαι Καλάμην. — Στ. 21, Ἀγαγόμενος.] ΗΔ, ΑΤ, Ἀγόμενος.— Στ. 22, Νέδων... ἕτερος ὢν τῆς Νέδας.] Ἧς ἀνωτέρω (σελ. 89) ἐμνημόνευσε. Τοῦ δὲ Νέδωνος τὸ νῦν ὄνομα ἠγνόηται.

ΣΕΛΙΔ. 106, στ. 5, Τὴν Ἀνδανίαν.] Ἐκ ΔΓ προσειληφα τὸ ἄρθρον.—Στ. 11, Πόλις μία ἦν, τοὔνομα Ῥίον.] ΔΓ (παραλελειμμένων τῶν μεταξὺ τριῶν λέξεων), Πόλις Ῥίον. Οὐδετέρα τούτων ἔρρωται· γραπτέον, οἶμαι, Πόλισμα ἦν, τοὔνομα Ῥίον.—Στ. 13, Ἀσίνην.] Ἐξ ΕΔ, ΑΤ, Ἀσίνης.—Στ. 17, Πᾶσαι δ' ἐγγὺς ἁλός.] Διέσπασα τὸ χωρίον τοῦ Ποιητοῦ (Ἰλιάδ. λ', 153), τῶν πρὸ ἐμοῦ ὡς ὑπὸ Στράβωνος εἰρημένον τοῖς λοιποῖς συγκαταλεξάντων.—Στ. 21, Τῆς Κορώνης.] Ἐκ ΔΓ προσειληφα τὸ ἄρθρον.—Στ. 22, Πάμισος.] Πάνισον ὁ Πτολεμαῖος διὰ τοῦ Ν ὀνομάζει τὸν ποταμόν· καλεῖται δὲ νῦν Πηνάτσα, βαρβάρως μὲν, παρέχων ὅμως ὑπόνοιαν ἀρχαιοτέρου ἴσως ὀνόματος, τοῦ Τρίνασος (δωριστὶ ἀντὶ τοῦ Τρίνησος), ἢ καθ' ὁμωνυμίαν τῆς ἐν τῇ Λακωνικῇ Τρινάσου, ἐπιθαλαττίου φρουρίου, οὕτως ὠνομασμένου διὰ τὰς προκειμένας τρεῖς νησίδας (Παυσαν. γ', 22), νῦν δὲ καλουμένου Τρίννησα, ἢ καὶ συγχεάντων τινῶν τὰ

Μεσσηνιακὰ τοῖς Λακωνικοῖς. Προσίθει τούτοις, ὅτι καὶ ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου γεωγραφικῷ πίνακι, κώμη ἐπὶ τοῦ Παμίσου κεῖται δωδεκαςάδιον σχεδὸν ἀπέχουσα τῶν ἐκβολῶν αὐτοῦ, καλουμένη, Νησὶ, καθὰ καὶ ἀποωτέρω πρὸς δυσμὰς αὐτῆς ἑτέρα, ὀνομαζομένη, Πολυνῆσι.—Στ. 23, Πρὸς δύσιν Πύλος.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς δύσιν καὶ Πύλος.—Στ. 24, Καλεῖσθαι.] Ἐκ ΔΓ, ΑΤ, Εἶναι.—Στ. 26, Τῶν ἐντὸς Ἰσθμοῦ ποταμῶν.] Ἐκ ΔΓ, ΑΓ, Ποταμῶν τῶν ἐντὸς Ἰσθμοῦ.

ΣΕΛΙΔ. 107, στ. 1, Καὶ τῆς Μακαρίας καλουμένης.] Χώρα ἡ τόπος τῆς Μεσσηνίας ἔοικεν ἡ Μακαρία εἶναι, ἑτέρα τῆς Μακαρίας, Ἀρκαδικῆς πόλεως, ἧς οἱ οἰκήτορες, Μακαρεῖς (Παυσαν. η, 27 καὶ 36). Καὶ ταύτην μὲν φησὶν ὁ Παυσανίας (η, 3) οὕτω κληθῆναι ἀπὸ Μακαρέως, τοῦ Λυκάονος παιδός. Στέφανος δ' ὁ Βυζάντιος, ὑπὸ τῶν Ῥωμαίων Βεάταν αὐτὴν ὀνομάζεσθαι λέγων, ὅπερ (Beata) αὐτὸ τοῦτο τὸ Μακαρία σημαίνει, συνέχειν ἴσως τὴν Ἀρκαδικὴν πόλιν τῇ Μεσσηνιακῇ χώρᾳ· ταύτην γὰρ εἰκὸς μᾶλλον οὕτω καλέσαι τοὺς Ῥωμαίους, διὰ τὸ, εὐθηνουμένης πάσης ἁπλῶς τῆς Μεσσηνίας, ὡς ἐν τοῖς ἑξῆς (σελ. 114-115) ἐρεῖ Στράβων, κατ' ἐξαίρετον ἴσως εὐφορεῖν τοὺς κατὰ τὴν καλουμένην Μακαρίαν ἀγρούς.—Στ. 8, Ὥςε Στενύκλαρον.] Ἐκ ΔΓ, ΔΤ, Ὥςε τὴν Στενύκλαρον. Ἄμεινον ἴσως γράφειν, Καὶ Στενύκλαρον.—Στ. 13, Μόνον τὸν Στενύκλαρον.] Ἐκ ΔΓ, ΑΤ, Μόνην τὴν Στενύκλαρου.—Στ. 14, Εἰς τοῦτον.] ΗΔ, ΑΤ, Εἰς τοῦτο.—Στ. 18, Φάριος.] Ἐκ ΔΓ, ΑΤ, Φαληρεύς.

ΣΕΛΙΔ. 108, στ. 12, Καὶ Ἀρκάδας.] Προσέθηκα ταῦτα ὁρμώμενος ἐκ τοῦ Παυσανίου (δ', 15).—Στ. 15, Αὐτός.] Ὁ Τυρταῖος.—Στ. 16, Ἐλθὼν ἐξ Ἐρινεοῦ.] Ἐξ ἑτέρων εἰκασίας προσέθηκα ταῦτα. Ἐρινεὸς δὲ μία τῶν τεσσάρων ἐςὶ δωρικῶν πόλεων, περὶ ὧν ἐν τοῖς ἑξῆς (σελ. 204 καὶ 277) ἐρεῖ Στράβων.—Στ. 17, Ἐν τῇ ἐλεγείᾳ.] Ἐκ ΔΓ, ΑΤ, Ἐν τῇ ποιήσει ἐλεγείᾳ.

ΣΕΔΙΔ. 109, στ. 13, Αἱ Θυρίδες... ῥοώδης κρημνός.] Τρία φησὶ νησίδια εἶναι Πλίνιος (IV, 19) τὰς Θυρίδας· καὶ εἰκὸς αὐτὰ ταῦτα εἶναι τὰ ἐν τῷ Λακωνικῷ κόλπῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ Εὐρώτα κείμενα, δι' ἃ καὶ τὸ ἀπέναντι ἐν τῇ παραλίᾳ ἐπίνειον Τρίνασος ὑπὸ τοῦ Πτολεμαίου καλεῖται, νῦν δὲ Τρίνησα ὑπὸ τῶν ἐγχωρίων ὀνομάζεται (ἴδ. ἀνωτέρ. σελ. 148). Ῥοώδη δὲ εἴρηκεν, ὥσπερ, καὶ Αἰλιανὸς (Περὶ ζώων ἰδιότητ. ιδ', 24) Ῥοώδεις ἄκρας τινὰς λέγει, ὡς συντονώτερον καὶ ἠχωδέςερον ἀπεργαζόμενα τὸν τῆς θαλάσσης

ρούν, διὰ τὸ χρημνώδες καὶ ὕπαντρον αὐτῶν τε καὶ τῆς παραλίας. Καὶ ἡ Ακωνικὴ δὲ εὔσειστος, διὰ τὸ πολλαχοῦ αὐτῆς ὕπαντρον· ὡς γάρ φησιν Ἀριστοτέλης (Μετεωρολογικ. β', 8) « ἰσχυρότατοι γίνονται τῶν » σεισμῶν, ὅπου ἡ θάλασσα ῥοώδης, ἢ ἡ χώρα σομφὴ καὶ ὕπαν- » τρος. » — Στ. 15, Ταΰγετον... ὄρος ΜΙΚΡΟΝ.] Οὕτω παρ' ἅπασι, πλὴν ἑνὸς ἀντιγράφου, ἐν ᾧ φέρεται ΜΑΚΡΟΝ. Τῶν δὲ μεταφραστῶν ὁ μὲν Ἰταλὸς picciolo monte εἴρηκεν· ὁ δὲ πρῶτος εἰς τὴν Ῥωμαίων φωνὴν μετενεγκὼν τὸν Στράβωνα, non grandis admodum, ἐπιθετικῶς ἀμφότεροι τὸ μικρὸν ἐκδεξάμενοι. Ὁ Ξύλανδρος δὲ ἐπιῤῥηματικῶς αὐτὸ πρὸς τὸ ἑξῆς, Ὑπὲρ τῆς θαλάττης, συνῆψε, non longe a mari, καθὰ καὶ Εὐσάθιος (Ὀδυσσ. ζ', 103, σελ. 1554) ἐξεδέξατο, καὶ αὐτὸς ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει, montagne... peu éloignée de la mer, εἰπών. Ἡ γὰρ οὕτως ἐκδεκτέον, ἢ τρεπτέον εἰς τὸ ΜΑΚΡΟΝ· ὅπερ ἴσως καὶ ἀληθέστερον. Τοῖς μεγίστοις γὰρ τῶν ἑλλαδικῶν ὀρῶν συγκατείληκται τὸ Ταΰγετον, ὡς αὐτὸς Στράβων εἴρηκε (Μέρ. Α, σελ. 277), μάρτυρα παρεχόμενος τὸν Πολύβιον· ὃν καὶ Ὅμηρος (Ὀδυσσ. ζ', 103) Τηΰγετον περιμήκετον ὠνόμασεν αὐτό. Ἐκαλεῖτο δ', ὥς φησιν ὁ Βυζάντιος Στέφανος, τριγινῶς, ὁ Ταΰγετος, ἡ Ταϋγέτη, καὶ τὸ Ταΰγετον· ὁ δὲ Οὐεργίλιος (Georgic. II, 487) καὶ πληθυντικῶς, τὰ Ταΰγετα (Taygeta) ἐκάλεσεν αὐτὸ, διὰ τὸ πολυκόρυφον· δηλονότι τοῦ ὄρους· ὅθεν καὶ Πενταδάκτυλον ὀνομάζεται νῦν ὑπὸ τῶν ἐγχωρίων. — Στ. 21, Χωρίῳ.] ΔΓ, Χώρῳ.

ΣΕΔΙΔ. 110, στ. 6, Ἄκραν τῆς Κυρηναίας πρὸς νότον, διαρμὰ ἐστι σταδίων τρισχιλίων.] Οὕτως ἔταξα ἐκ τῶν Χρησομαθειῶν (Ἰδ. Στράβ. Μέρ. Γ, σελ. 387), καθὰ τάττειν παρῄνει καὶ ὁ Κασωβὼν, τὸ χωρίον, ΑΤ, Ἄκραν διαρμά ἐστι τῆς Κυρηναίας πρὸς νότον σταδίων τρισχιλίων. — Στ. 12, Πρόκειται δὲ καὶ τούτου Κύθηρα.] ΗΔ, ΑΤ, Πρόκειται δὲ κατὰ τούτου Κύθηρα. Ἴσως γραπτέον, Πρόκειται δὲ τούτου Κύθηρα, ἢ ἔτι συντομώτερον, Πρόκειται δὲ τὰ Κύθηρα. — Στ. 16, Ἐγγυτάτω.] Ἐκ ΔΓ, ΑΤ, Ἐγγύτατα. — Στ. 18, Ἀμαθοῦς.] Ψαμαθοῦς ὑπὸ τῶν λοιπῶν ἀρχαίων ὀνομάζεται γεωγράφων, οὐδὲν μὲν πλέον σημαίνουσα τῆς Ἀμαθοῦντος, οἰκειοτέρως δὲ τῷ νῦν ὀνόματι τῆς πόλεως, Ψαμαθία καλουμένης. Παυσανίας δὲ (γ', 25) τὸν λιμένα μόνον ἔοικε τῆς πόλεως Ψαμαθοῦντα καλεῖν. Ἔστι καὶ ἑτέρα Ἀμαθοῦς τῆς Κύπρου, περὶ ἧς ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 76) ὁ Στράβων. — Στ. 22, Ἀκρωτῆρ.] Ἰδ. ἀνωτέρ.

σελ. 135.—Στ. 23, Τετταράκοντα.] Ἐκ ΔΓ, ΑΤ, Τεσσάρων.—Στ. 26, Οἵ τ' ἄρ'.] Ἐκ τῆς Ἰλιάδος, β', 584. Καὶ Ἀμύκλαι μὲν εἰσὶν ἡ νῦν καλουμένη Βορδονία, ἢ καθ' ἑτέρους τὸ οὐ μακρὰν ἀπέχον αὐτῆς Σκλαυοχώριον. Ἕλος δὲ, τὸ Τσῆλι νῦν ὀνομαζόμενον· ὅθεν ἐςὶν εἰκάσαι, ὅτι προςιθέντες τὸ ἰσοδυναμοῦν τῷ δίγαμμα σ' οἱ Δάκωνες, Σέλος ἐκάλουν πάλαι τὸ Ἕλος.

ΣΕΛΙΔ. 111, στ. 1, Ὄνου γνάθος κ. τ. λ.] Ἡ μὲν Ὄνου γνάθος, Σίρβη νῦν καλεῖται, ἡ δ' Ἀσωπὸς, Αἴσαπον, ἡ δὲ Βοία (ἣν ὁ Παυσανίας Βοιάς, πληθυντικῶς καὶ ὀξυτόνως καλεῖ), Βάτικα, ὅπερ εἰκὸς, οὐ παρὰ τὴν Βοίαν, ἢ Βοιάς, ἀλλὰ, παρὰ τὸ κτητικὸν Βοιατικὸς, ἐσχηματίσθαι, ᾗ δῆλον ἐκ τοῦ Παυσανίου (γ', 22, τόμ. 2, σελ. 186, ἐκδ. Κλαυερ.), «Ἐσίχει δὲ μετὰ τὴν ἄκραν Βοιατικὸς » καλούμενος κόλπος, καὶ Βοιαὶ πόλις πρὸς τῷ πέρατί ἐςι τοῦ κόλ» που ». Ἔςι δὲ ὁ κόλπος οὗτος ὁ ἐν τῷ Γαλλικῷ γεωγραφικῷ πίνακι Baie de Vatica καλούμενος. — Στ. 6, Μέρος, ἀλλὰ τῆς Σπάρτης.] Ἐκ ΔΓ, ΑΤ, Μέρος, τῆς Σπάρτης δὲ, ὅπερ ἔγραψεν (ἐξ ΕΔ) ὁ Γερμανὸς ἐκδότης.—Στ. 8, Αὕτη.] Ἐκ ΔΓ, ΑΤ, Αὐτή. —Στ. 10, Τῷ Κρῖ, καὶ Δῶ, καὶ Μάψ.] Ἦν τὸ μὲν ἀντὶ τοῦ Κριοῦ, καθ' Ἡσύχιον, ἢ ἀληθέςερον, ἀντὶ τοῦ Κρίμνον, ὡς φησιν Εὐςάθιος· τὸ δὲ, ἀντὶ τοῦ Δῶμα· τὸ δὲ, ἀντὶ τοῦ Μαψίδιον.—Στ. 11, Ἵππους.] Ἐκ τῆς Ἰλιάδ. τ', 392.—Στ. 19, Τὸν ἦλον λέγει Ἥλ.] Ἐν δὲ ταῖς Χρηςομαθείαις (Μέρ. Γ, σελ. 388) φέρεται, Τὸν ἥλιον λέγει Ἥλι, ὧν ὁπότερον ἀληθὲς οὐκ εὐχερὲς διορίσαι· ᾧ γοῦν Εὐςάθιος (σελ. 566) παρατίθεται μαρτυρίῳ, Δαιμόνιος ἦλ, τὸν ἥλιον πιθανώτερον ἄν τις εἰκάσειεν ἢ τὸν ἦλον σημαίνεσθαι.—Στ. 22, Τὸ ἔριον.] Τῷ προηγουμένῳ τοῦ Φιλητείου ἔπους Ἔρι, ἐν τῷ ἐμῷ ἀντιγράφῳ προσγέγραπται ἔξωθεν, Ἔριον, ὡς ἐξήγησις μᾶλλον, ἢ διόρθωσις· ἀλλ' ἐπεὶ καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραςὴς εἴρηκε ferunt eri *pro erion*, id est lanam, πρὸς δὲ, καὶ τὰ προηγούμενα καὶ τὰ ἑπόμενα μαρτυρεῖ τὴν χρείαν τῆς λέξεως, προσέθηκα μηδὲν μελλήτας, προσλαβὼν καὶ τὸ ἀναγκαῖον ἄρθρον.—Στ. 24, Ἄρατός φησι.] Μᾶλλον δὲ πρὸ τοῦ Ἀράτου Ὅμηρος (Ὀδυσσ. η, 328) εἴρηκεν, « Ἀναρρίπτειν ἅλα πηδῷ » τουτέςι τῇ κώπῃ· ὅθεν εἰκὸς καὶ τὸν Ἄρατον Πηδὰ ὀνομάσαι οὐ τὰ πηδάλια, ἀλλὰ τὰς κώπας.—Στ. 27, Λί γὰρ ἐν τῇ Λοκρίδι.] ΗΔ, ΑΤ, Οὐ γὰρ ἐν τῇ Λοκρίδι. Ὁ νοῦς, Ἡ πόλις Αὐγειαὶ, ἣν Ὅμηρος (Ἰλιάδ. β', 583) ταῖς Λακωνικαῖς συγκαταλέγει πόλεσιν, Αἰγαιαὶ νῦν μετωνόμασαι· οὐδὲ χρὴ

συγχέειν αὐτὴν ταῖς ὁμωνύμως καλουμέναις Αὐγειαῖς, Λοκρικῇ πόλει, ἧς μνημονεύει ἐν τῷ αὐτῷ Καταλόγῳ (Ἰλιάδ. β', 532)· ἐκεῖναι γὰρ οὐδὲ σώζονται ὅλως.

ΣΕΛΙΔ. 112, στ. 5, Ἔφορος τούς.] Ἐκ ΔΓ, ΑΤ, Ἔφορος καὶ τούς.—Στ. 13, Χρῆσθαι δὲ λαμένῳ... Φεραία δέ.] Ταῦτα οὕτω κολοβὰ φερόμενα ἐν τοῖς ἀντιγράφοις οὐ Δηλίου κολυμβητοῦ, τὸ λεγόμενον, ἀλλὰ μαντικοῦ τινὸς ἀνδρὸς δεῖται, τοῦ φράσοντος ὅπως ἀπαρτίζειν χρὴ τὰ λείποντα, καὶ νοεῖν τὰ σωζόμενα.—Στ. 18, Ἀρχῶν.] ΗΔ, ΑΤ, Ἀρχείων. Μαρτυροῦσι δὲ τῇ διορθώσει ὅ τε ἀρχαῖος Λατῖνος μεταφραστὴς καὶ ὁ Ἰταλὸς, ὁ μὲν, Magistratuum, ἑρμηνεύσας, ὁ δὲ, uffici.—Καλεῖσθαι δὲ Εἵλωτας.] Ταῦτά τις τῶν κριτικῶν μετατιθέναι παρήνει εἰς τὸν ἑξῆς (στ. 22) μετὰ τὸ Πολέμῳ τόπον.

ΣΕΛΙΔ. 113, στ. 11, Ποῦ Μενέλαος ἦν;] Ἐκ τῆς Ὀδυσσείας, γ', 249 καὶ 251.—Στ. 15, Εἰς τὴν τῶν Ἰώνων, τὴν νῦν.] ΗΔ, ΑΤ, Εἰς τὴν τῶν Ἰώνων, τὴν καὶ νῦν. ΔΓ, Εἰς τὴν Ἰώνων καὶ νῦν.—Στ. 19, Ὑπερεβάλοντο.] Ἐκ ΔΓ, ΑΤ, Ὑπερεβάλλοντο.—Στ. 20, Ἐπῆρξαν.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆρξαν.—Στ. 22, Εὐθύς.] Ἰσ. γρ. Αὖθις.

ΣΕΛΙΔ. 114, στ. 4, Ἡ ταραχή.] ΗΔ, ΑΤ, Ἡ ἀρχή.—Στ. 5, Τοῦ δ' υἱοῦ.] Γάϊος Ἰούλιος ἐκαλεῖτο ὁ τοῦ Εὐρυκλείους οὗτος υἱὸς, καθὰ δηλοῖ ἡ ἐν Ταινάρῳ εὑρεθεῖσα ἐπιγραφὴ, ἣν ὁ Ἄγγλος ἐκδότης ἐσημειώσατο ἔκ τινος ἀντιγράφου, οὕτως ἔχουσαν· ΤΟ ΚΟΙΝΟΝ ΤΩΝ ΕΛΕΥΘΕΡΟΛΑΚΩΝΩΝ ΓΑΙΟΝ ΙΟΥΛΙΟΝ ΛΑΚΩΝΑ ΕΥΡΥΚΛΕΟΥΣ ΥΙΟΝ ΤΟΝ ΙΔΙΟΝ ΕΥΕΡΓΕΤΗΝ. Ἐπὶ τοσοῦτον γὰρ κολακείας τῆς πρὸς Ῥωμαίους ἐληλύθεισαν τηνικαῦτα οἱ Ἕλληνες, ὥστε καὶ τοῖς ἐκείνων ὀνόμασιν ἐγκαλλωπίζεσθαι, τῶν οἰκείων καταφρονοῦντας.—Ἀπεσερημένου ταύτην.] ΗΔ, ΑΤ, Ἀπεσραμμένου τὴν τοιαύτην.—Στ. 16, Ἀποδέδοται.] Ἐκ ΔΓ, ΑΤ, Ἀποδίδοται.—Οἰκιγαῖς· Ἀγιάδας δὲ, ἀπὸ Ἄγιδος τοῦ Εὐρυσθένους, τοὺς δ', Εὐρυπωντίδας, ἀπὸ Εὐρυπῶντος τοῦ Προκλέους. Τοὺς μὲν γὰρ δυναστεῦσαι δικαίως, τοὺς δὲ, δεξαμένους ἐπήλυδας ἀνθρώπους, δι' ἐκείνων δυναστεῦσαι. Παυσανίαν τε... τῶν Εὐρυπωντιδῶν, ἐκπεσόντα τῆς οἰκείας, ἐν τῇ φυγῇ συντάξαι λόγον, νόμου ὄντος τῆς ἐκβαλούσης...] Ἐκ ΔΓ (τὰ μὲν ὅλως συγκεχυμένα, τὰ δὲ κεκολοβωμένα ὑπὸ τῶν ἀντιγραψάντων, προσείληφα ταῦτα, τινὰ μὲν διορθώσας, ἔστι δ' ἃ καὶ ἀναπληρώσας, ὅπως οἷόν τ' ἦν, εἰς τὸ συνετώτερον, οὐχ ἅπαντά γε μήν

εἰς τὸ τέλειον ἀποκαταζῆσαι ἐξισχύσας), ΑΤ, Οἰκιεαῖς... Καὶ αἰτίαν τούτου λέγει, ὅτι ἐπήλυδας ἀνθρώπους δεξάμενοι δι' ἐκείνων ἐδυνάσευσαν (ἄλλ. δεξάμενος δι' ἐκείνων ἐδυνάσευσε). Ταῦτα μόνα ἔγραψαν οἱ πρὸ ἐμοῦ, τρισὶ σιγμαῖς, μετὰ τὸ, Οἰκιεαῖς, τὸ κολοβὸν τοῦ χωρίου δηλώσαντες. Ὥρα δὲ καὶ τὴν γραφὴν παραθεῖναι τοῦ ἐμοῦ ἀντιγράφου, σὺν οἷς ὁ ἀντιγράψας κατέλιπε κενοῖς διαζήμασι, δηλῶσαι βουλόμενος τὰ λείποντα, μικρὸν ἄνωθεν ἀρξάμενον τοῦ χωρίου· « Οὐδ' ἀρχηγέτας ΑΓΙΔΑΣ, ἀπὸ Ἄγιδος τοῦ ΕΥΡΥΣΘΕ-» ΝΟΥΣ. τοὺς δ' πο Εὐρυπῶντος τοῦ Προκλέους ΤΟΥΣ Μ σαι » δικαίως. Τοὺς δὲ δεξαμένους ΕΠΑ ΠΟΥΣ ΔΙ' ἐκείνων δυνασεῦσαι. » Ὅθεν νομισθῆναι, ὅπερ πᾶσιν ΑΠΟΔΙΔΟΤΑΙ σανίαν τε τῶν Εὐ-» ρυπωδῶν ἐμπεσον οἰκίας ἐν τῇ φυγῇ συντάξαι λογ ΓΟΥΝΟΜΩΝ » ὄντος τῆς ΕΚΒΑΛΟΥΣΗΣ τοὺς χρησμοὺς λέγει τοὺς δοθέντας » ΠΑΕΙΣΤΩΝ. » Ἧς γραφῆς αὗται ἐξ ἑτέρων ἀντιγράφων σεσημείωνται ὑπὸ τῶν πρότερον διαφοραί. ΑΓΙΔΑΣ ΔΕ, ΕΥΡΥΣΘΕΝΟΥΣ ΝΟΜΙΣΘΗΝΑΙ, ΤΟΥΣ ΜΕΝ, ΕΠ ΑΝΘΡΩΠΟΥΣ ΔΙ' (ἄλλ. ΕΠΑ ΔΙ'), ΑΠΟΔΕΔΟΤΑΙ, ΕΚΠΕΣΟΝ, ΓΟΥ ΝΟΜΩΝ (ἄλλ. ΓΟΥΜΕΝΩΝ), ΕΚΒΑΛΛΟΥΣΗΣ, ΠΑΕΙΣΤΟΝ. Οὕτως οὖν ἐχόντων τῶν ἀντιγράφων, τὸ μὲν Ἄγιδας ἔτρεψα εἰς τὸν γνήσιον πατρωνυμικὸν τύπον, Ἀγιάδας, τὸ δὲ οὐσιαστικὸν, Οἰκίας, εἰς τὸ ἐπίθετον Οἰκείας (προσυπακουομένου τοῦ γῆς, ἢ χώρας), τὸ δὲ κολοβὸν καὶ ἀδιανόητον, Σανίαν, ἔδοξέ μοι τρεπτέον εἶναι εἰς τὸ Παυσανίαν, κύριον ὄνομα τοῦ προδόντος τὴν Ἑλλάδα (Θουκυδ. α, 94, 95, καὶ 128-134), ὃς ἦν βασιλεὺς τῆς Σπάρτης τεσσαρεσκαιδέκατος ἀπὸ Εὐρυπῶντος. Φυγὴν δὲ λέγειν ἔοικεν, ἢ τὴν εἰς Κολωνὰς μονὴν αὐτοῦ, ὅτε τὸ δεύτερον ἐκπεπλευκὼς τῆς πατρίδος, ἄνευ γνώμης τῶν Λακεδαιμονίων, καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορκηθείς, ἐκεῖ διέτριβεν, ἢ τὴν μετὰ τὴν οἴκαδε ἐπάνοδον εἰς τὸ τῆς Χαλκιοίκου ἱερὸν καταφυγήν, ἡνίκα συλλαβεῖν αὐτὸν οἱ Ἔφοροι ἐμέλλησαν. Ποῖος δ' ἦν ὁ λόγος ὃν ἔγραψεν, ὡς φησιν Ἔφορος, ἐν ἀθήλοις ἐστὶ διὰ τὴν τῶν ἀντιγράφων φθοράν. — Στ. 25, Πολλὴν μὲν ἀροτόν.] Ἐκ μηκέτι σωζομένου δράματος Εὐριπίδου, τοῦ Κρεσφόντου. Ἀροτὸν ἔγραψα ὀξυτόνως, ΑΤ, Ἄροτον· τὸ μὲν γὰρ, Ἀροτὸς, ἐπιθετικῶς ἐνθάδε, τὴν ἀροῦσθαι δυναμένην γῆν σημαίνει, τὸ δὲ προπαροξυτονούμενον οὐσιαστικὸν, Ἄροτος, αὐτὴν τοῦ ἀροῦν τὴν ἐνέργειαν.

ΣΕΛΙΔ. 115, στ. 6, Φαύλου χθονός.] Κακῶς, οὐκ οἶδα τί παθὼν, ἔγραψα ἐν τῇ Γαλλικῇ μεταφράσει pays très-malsain,

καίπερ γράψας πρὸ τῶν τύπων, mauvais pays.—Στ. 9, Οἷαν καὶ ὁ Τυρταῖος φράζει.] Ἐν οἷς λέγει περὶ τῶν Μεσσηνίων, ὅτι,

——— κατὰ πίονα ἔργα λιπόντες,
Φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων,

(Ἰδ. Στράβ. Μέρ. Α, σελ. 379) τοῦ, Πίονα ἔργα, τὴν ἀρετὴν δηλοῦντος τῆς Μεσσηνίας γῆς· ὥσπερ καὶ Ὅμηρος οὐ μόνον Πίονα ἔργα (Ὀδυσσ. σ', 318), ἀλλὰ καὶ Πίειραν ἄρουραν (Ἰλιάδ. σ', 541) ὠνόμασε τὴν εὐχερῶς ἀρουμένην καὶ πολυφόρον γῆν. Ὅθεν ἐχὶ διορθοῦν καὶ τὸν Ἡσύχιον, «Πίονας, ΑΙΠΑΡΟΥΣ, ΑΓΡΙΟΥΣ, εὐτραφοῦς, » πλουσίου, μεγάλου» γράφοντας, ΑΙΠΑΡΟΥΣ ΑΓΡΟΥΣ. Ἡ αὐτὴ δὲ μεταφορὰ καὶ ἐν ἁπάσαις σχεδόν τι ταῖς νεωτέραις γλώσσαις, οἷον ἐν τῇ τῶν Γερμανῶν (fetter Acker), ἐν τῇ τῶν Γάλλων (terroir gras), καὶ ἄλλαις.—Στ. 17, Κάθηται.] Μοναδικὸν ἴσως τὸ Κάθηται, ἐπὶ χώρας ἢ πόλεως, ἀντὶ τοῦ συνήθους Κεῖται.—Στ. 18, Καὶ ἐπάγει καὶ τὸν ἔλεγχον ἡμῖν οὐκ ἀναγκαῖον ὄντα.] Λείπουσι ταῦτα ἔν τισι τῶν ἀντιγράφων· ἐοίκασι δέ πως καὶ ἀλλότρια εἶναι τῆς προθέσεως τοῦ Στράβωνος.—Στ. 22, Τὴν κοίλην καλουμένην.] ΔΓ, Τὴν κοίλην Ἦλιν λέγει. Καὶ τοῦτο μὲν οὐδὲν διαφέρει ὁποτέραν τῶν γραφῶν προέλοιο. Ἡ δὲ ὅλη συνάρτησις τοῦ λόγου οὐκ ἠκρίβωται, διὰ Στράβωνος ἀμέλειαν, οὐ δι' ἀντιγραφέων ἁμαρτίαν. Πολλῷ γὰρ Ἑλληνικώτερον ἦν, ἐνθάδε γε, φάναι, ἄνωθεν ἀρξαμένους, Εἰ μὲν γὰρ τὴν Ἠλείαν... Εἰ δὲ τὴν παλαιὰν, τὴν κοίλην καλουμένην.—Στ. 24, Εἶθ' ἡ τῶν Φηρῶν ἐπαρχία ἅπασα.] Ὑποπτα ταῦτα ἄλλως τε, καὶ διὰ τὸ ἔν τισι τῶν ἀντιγράφων τὴν τῶν λέξεων, Φηρῶν ἐπαρχία, χώραν κενὴν εὑρίσκεσθαι. Ἐν γοῦν τῷ ἐμῷ οὕτως ἔχει ἡ γραφή· Εἶθ' ἡ τῶν ευ πῶν ἅπασα.—Στ. 25, Ἣν Τριφυλίαν.] ΔΓ, Ἣν καὶ Τριφυλίαν.—Στ. 27, Κητώεσσαν, τῶν δὲ, καιετάεσσαν.] Ἐν μὲν ταῖς Ὁμηρικαῖς ἐκδόσεσι (Ἰλιάδ. β', 581, καὶ Ὀδυσσ. δ', 1) φέρεται νῦν, Κητώεσσαν· Ζηνόδοτος δ' ἦν ὁ κριτικὸς ὁ διατεινόμενος γραπτέον εἶναι Καιετάεσσαν.

ΣΕΛΙΔ. 116, στ. 1, Ἀπὸ τῶν κητῶν.] «Κήτη δὲ περὶ Λάκαιναν » θάλατταν ἀκούω γίνεσθαι μεγέθει μέγιστα· καί τινές γε τῶν κρι» τικῶν τὸν Ὅμηρον ἐντεῦθεν εἰπεῖν φασὶ, Λακεδαίμονα κητώεσ» σαν» φησὶν ὁ Αἰλιανὸς (Περὶ ζώων ἰδιότητ. ιζ', 6).—Στ. 2, Τήν τε καιετάεσσαν οἱ μὲν καλαμινθώδη δέχονται.] Ἰσ. γρ. Τὴν δὲ κ. τ. λ. Τὸ δὲ, Καλαμινθώδη, οὐδὲν ἂν ἧττον σημαίνοιτο ὑπὸ

τοῦ Καιετάεσσαν ἢ ὑπὸ τοῦ Κητώεσσαν· καὶ γὰρ ἡ Κήτα, καλαμίνθη φησὶν Ἡσύχιος, καὶ ἡ Καιίτα, καλαμίνθη, Βοιωτοὶ δὲ αὐτὸς πάλιν. Τῷ δὲ τῆς Καλαμίνθης ὀνόματι ἐσήμαινον οἱ παλαιοὶ οὐ μόνον τὸν παρ' ἡμῖν νῦν καλούμενον Ἀγριοσάτυρον, ἀλλὰ καὶ φυτά τοῦτῳ ἐμφερῆ ἕτερα, οἷον τὴν καλουμένην παρά τοῖς νεωτέροις Nepeta cataria (Γαλλ. Herbe aux chats, ἢ Cataire), παρὰ τὸν νῦν μὲν Κάτον, πάλαι δὲ Αἴλουρον καλούμενον δηλονότι, διὰ τὸ προσπαθῶς ἔχειν τῇ βοτάνῃ ταύτῃ τὸ ζῶον. Καὶ σκοπητέον διὰ τὴν συγγένειαν τῆς Κάτας (οὕτω γὰρ καλοῦμεν τὸν θῆλυν αἴλουρον) πρὸς τὴν παρὰ τῷ Ἡσυχίῳ Κήταν, μήποτε οὐ μᾶλλον ἡμεῖς παρὰ τῆς Ῥωμαίων φωνῆς ἐλάβομεν τὸν Κάτον (Catus), ἢ μεθ' ἡμῶν ἐκεῖνοι, παρὰ τὴν τῶν ἀρχαίων Κήταν, σημαίνουσαν ἴσως που τῆς Ἑλλάδος πάλαι καὶ τὸν αἴλουρον.—Στ. 3, Καὶ ὁ Καιίτας.] Ἐκ ΔΓ προστέθηκε τὸ ἄρθρον. Τὴν δὲ μέσην τοῦ ὀνόματος διὰ τοῦ α, Καιάτας, ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 313) ἐξήνεγκε Στράβων. Παρ' ἑτέροις δὲ καὶ Καιάδας, καὶ Κεάδας.—Στ. 7, Φησίν.] Ἐκ τῆς Ἰλιάδος, ά, 268.—Στ. 16, Δῶρα κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, φ', 13-16.—Στ. 18, Ἐπενέγκῃ.] ΗΔ, ΑΤ, Ἐπήνεγκε.—Στ. 21, Φηρῆς.] ΔΓ (ἀμείνων), Φηρᾶς.—Ἡ μέρος ἦν τῆς Μεσσηνίας.] Ἐκ ΔΓ (ἣν πιστοῦται καὶ ὁ Εὐσάθιος, σελ. 327, καὶ ἄπερ ἐξῆς, σελ. 117, ἐρεῖ Στράβων), ΑΤ, Ἧς μέρος ἦν καὶ ἡ Μεσσηνία.—Στ. 26, Εἰσὶν ὁ τοῦ Ὀρτιλόχου οἶκος.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Εἰσὶν τῶν Ὀρτιλόχου ὁ οἶκος. Ἡ δὲ Κασωβωνικὴ ἔκδοσις φέρει, Εἰσὶν τοῦ Ὀρσιλόχου ὁ οἶκος.—Στ. 27, Ἐς Φηρὰς κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, γ', 488.

ΣΕΛΙΔ. 117, στ. 4, Δύσετο.] Ἐκ ΔΓ, ΑΤ, Δύσσετο. Ἔξι δὲ ἐκ τῆς Ὀδυσσείας, γ', 497.—Στ. 5, Οἱ δ' ἴξον.] Ἐκ τῆς αὐτῆς, δ', 1.—Στ. 9, Μηδ' οὕσης ἐκεῖ.] Ἐκ ΔΓ, ΑΤ, Μηδ' οὕτως ἐκεῖ.—Στ. 11, Εἶμι γάρ.] Ἐκ τῆς Ὀδυσσείας, β', 359.—Στ. 12, Δοκεῖ γὰρ συμπίπτειν ΤΟΥΤΟ ΤΟΙΣ τῆς χώρας ἐπιθέτοις ἂν... κοινωνοῦσαν τῆς ςρατείας.] ΗΔ, ΑΤ, ΤΟΥΤΟ ΤΟ ΤΟΙΣ. ΔΓ, Τούτῳ τὸ τοῖς. Ὁ πρῶτος μετενεγκὼν εἰς τὴν Ῥωμαίων φωνὴν τὸν Στράβωνα ἡρμήνευσε, Sic nam regionis et urbis epitheta coincidere videbuntur, ὥσπερ ἂν εἰ εὗρε γεγραμμένον, Δοκεῖ γὰρ συμπίπτειν οὕτω τοῖς τῆς χώρας ἐπιθέτοις τὰ τῆς πόλεως. Καὶ εἴη ἂν ὁ νοῦς τούτων, Εἰ τὴν ἀνωτέρω καλουμένην ὑφ' Ὁμήρου κοίλην Λακεδαίμονα μὴ τὴν πόλιν Σπάρτην μερικῶς διεχοίμεθα, ἀλλ' ὅλην

τὴν Λακωνικὴν χώραν, συμπεσεῖται τὰ τῆς πόλεως ἐπίθετα τοῖς ἐπιθέτοις τῆς χώρας, τουτέστιν ὑποτεθήσεται ὁ Ποιητὴς κοίλην ἐπονομάζειν τὴν χώραν, ὥσπερ καὶ τὴν πόλιν. Κατὰ τοῦτον δὲ τὸν νοῦν καὶ τὴν Γαλλικὴν μετάφρασιν μεθαρμοσέον ἐστίν, ἀνθ' ὧν ἡρμήνευσα (*tom. III, pag.* 219), Et cela s'accorde même avec les épithètes que le poëte donne au pays, γράφοντα, Autrement, les épithètes que le poëte donne à la Laconie seront les mêmes que ceux dont il qualifie la ville de Sparte. Καὶ ταῦτα μὲν ἔχεταί τινος πιθανότητος· τὰ δ' ἑξῆς δυσληπτότερα πέφυκε, διὰ τὴν φθορὰν τῶν ἀντιγράφων, ὧν τὰς κενὰς χώρας σιγμαῖς ἐσημειωσάμην, καθάπερ καὶ οἱ πρὸ ἡμῶν. Προσσημειωτέον δὲ καὶ τὰ ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, πλείους ἔχοντος τὰς κενότητας, Δοκεῖ πίπτειν τούτῳ τὸ τοῖς τῆς χώρας ἐπιθέτοις αὐ εἰ μὴ νὴ Δία ποιητική τις τοῦτο συγχωρήσει ἐξο τιον γὰρ τὴν Μεσσήνην μετὰ τῆς Λακωνικῆς τῆς ὑπὸ Νέςορι. μηδὲ καθ' αὑτὴν τατ καταλόγῳ μηδὲ κοινωνοῦσαν τῆς ςρα

Μετὰ δὲ Μαλέας κ. τ. λ. Περὶ ὧν ἔπιθι ἅπερ ἐσημειωτάμην ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 18, Ἑρμιονικός.] Ἐκ ΔΓ, ΑΤ, Ἑρμειονικός.—Στ. 23, Βοιωτιακῷ.] Ἐκ ΔΓ, ΑΤ, Βοιωτικῷ.—Στ. 24, Ἡ λιμηρὰ Ἐπίδαυρος.] Ἡ νῦν Παλαιὰ ἐμβασία καλουμένη, σύνεγγυς οὖσα τῇ Μονεμβασίᾳ.

ΣΕΛΙΔ. 118, στ. 1, Εὐλίμενον δὲ οὖσαν.] Δι' ὃ καὶ Δίξομος ἐπεκαλεῖτο, ὡς φησιν Ἡσύχιος· «Δίξομος· οὕτως ἡ Ἐπίδαυρος ἐκαλεῖτο, ἐπεὶ ἀμφιξόμοις λιμέσιν ἐκέχρητο.» Ὅθεν ἴσως καὶ τὰ ὀνόματα τῆς Παλαιᾶς ἐμβασίας, καὶ τῆς Μονεμβασίας, τοῦ μὲν τῶν λιμένων, διὰ τὸ ἠχρειῶσθαι, παλαιοῦ κεκλημένου, θατέρου δὲ, διὰ τὸ μόνον λελεῖφθαι, Μονεμβασίας ὠνομασμένου.—Στ. 8, Αἵ τε Πρασιαὶ καὶ τὸ Τημένιον.] Τὴν νῦν Πραςὸν καλουμένην κώμην, ἢ τὰς Πρασιὰς αὐτὰς εἶναι, ἢ γοῦν ἀπ' ἐκείνων τὴν προσηγορίαν εἰληφέναι οἴεται ὁ ἡμέτερος Μελέτιος. Τὸ δὲ Τημένιον, Κάςρον τῆς Ἑλένης λέγεσθαι νῦν φησί.—Στ. 14, Ἡ Ναυπλία.] Ἡ νῦν καλουμένη Ἀνάπλι, οὐ διὰ σύνθεσιν προθέσεως, τῆς Ἀνά, ὥσπερ ἄν εἰκότως τις ὑπολάβοι, ἀλλ' ἐκθλίψει τοῦ ϖ καὶ πλεονασμῷ τοῦ ᾱ, ὥσπερ καὶ Ἀνεραΐδας λέγομεν τὰς Νηρηΐδας. Οἱ δὲ ναυτιλλόμενοι Ἰταλοὶ Napoli di Romania καλοῦσι τὴν Ναυπλίαν, πρὸς ἀντιδιαςολήν, ὡς ἔοικε, τῆς Ἰταλικῆς Νεαπόλεως, Napoli κἀκείνης ὑπ' αὐτῶν καλουμένης.—Στ. 20, Περὶ τὸν Καφηρέα.] Ἀκρωτήριον Εὐβοίας

(τῆς νῦν Εὐρίπου καλουμένης) ὁ Καφηρεὺς, ἡ Καφαρεὺς, ναυαγίοις ἐπίσημος· ὅθεν αὐτῷ καὶ ἡ νεωτέρα προσεγένετο προσηγορία, ὁ Ξυλοφάγος, τουτέστι πλοίων φθορεύς. Ὃ δ' οἱ Ἰταλοὶ καλοῦσιν αὐτὸν ὀνόματι, Capo d'oro, οὐ χρυσοῦν ἀκρωτήριον σημῆναι βουλόμενοι, ἀλλ' αὐτὸ τὸ Καφαρεὺς φθείραντες, οἶμαι, οὕτως ὠνόμασαν. — Στ. 24, Κυκλώπεια δ' ὀνομάζουσιν.] Ἰσ.γρ. Κυκλώπεια δὲ νομίζουσι. Πλατύτερον ἐν τοῖς ἑξῆς (σελ. 124) ἐρεῖ περὶ τῶν Κυκλωπείων τούτων. — Στ. 25, Καὶ γὰρ τοῦτον τοῦ Ποιητοῦ τάξαντος κ. τ. λ.] ΗΔ, ΑΤ, Καὶ τοῦτο τοῦ τόπου τάξαντος. ΔΓ, Καὶ τοῦτον κ. τ. λ. Ἐν ἑτέροις δ' ἀντιγράφοις, ἐν οἷς καὶ τὸ ἐμὸν, μετὰ κενοῦ διαςήματος φέρεται, Καὶ νου τάξαντος· ἐν ἄλλοις δὲ, Καὶ εἰ νου τάξαντος (ὅπερ ἴσως ἦν, Καὶ εἰνου τάξαντος). Ἡ τοίνυν γραπτέον, ὥσπερ ἔγραψα, μεταποιοῦντα τὸ, Τοῦ τόπου, εἰς τὸ, Τοῦ Ποιητοῦ, ἢ ἀναπληροῦντα τὸ ἐν ἑτέροις κενὸν διάςημα, Καὶ γὰρ τοῦτον ἐκείνου τάξαντος, ἀναφέροντα τὴν ἀντωνυμίαν εἰς τὸν πρὸ μικροῦ μνημονευθέντα Ὅμηρον. Ἐπιθι τὰ περὶ τῆς διορθώσεως ταύτης διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. III, pag. 141, not. 2 et pag. 224, not. 2).

ΣΕΛΙΔ. 119, στ. 2, Ἑρμιόνη καὶ Τροιζήν.] Ἡ μὲν Κάςρι, ἡ δὲ Τροιζὴν, Δαμαλᾶς νῦν καλεῖται. — Στ. 3, Καὶ Καλαυρία.] Ἐκ ΔΓ προσεξέληφα τὸν σύνδεσμον. Περὶ δὲ τῆς νήσου πλατύτερον ἐν τοῖς ἑξῆς (σελ. 126) ὁ Στράβων. — Στ. 9, Ἐπίδαυρος.] Ἑτέρα τῆς ἀνωτέρω (σελ. 229) Ἐπιδαύρου, τῆς ἐπονομαζομένης Λιμηρᾶς, αὕτη ἡ Ἐπίδαυρος, ἧς τὰ ἐρείπια καὶ ἡ σύνεγγυς κώμη, Ἐπίδαυρα μέχρι δεῦρο ὀνομάζεται. — Στ. 19, Ἡ Ἵππιον.] Διαγραπτέον ἴσως τὰς δύο ταύτας λέξεις (Ἰδ. κατωτέρ. τὰς σημ. τῆς 120 σελίδ.). — Στ. 21, Ἄργος τε.] Ἐκ τῆς Ἰλιάδος, δ', 52. — Στ. 22, Οἱ δ' Ἄργος.] Ἐκ τῆς αὐτῆς, β', 556. — Στ. 24, Ἡμιτέρῳ.] Ἐκ τῆς αὐτῆς, ά, 22.

ΣΕΛΙΔ. 120, στ. 3, Νῦν δ' αὖ.] Ἐκ τῆς αὐτῆς, β', 681. — Στ. 5, Εἰ δέ κεν.] Ἐκ τῆς αὐτῆς, ί, 141. — Στ. 6, Ἢ οὐκ Ἄργεος.] Ἐκ τῆς Ὀδυσσείας, γ', 251. — Στ. 10, Εἰ πάντες.] Ἐκ τῆς αὐτῆς, σ', 246. Λέγει δὲ τοῦτο Εὐρύμαχος, εἷς τῶν μνηςήρων, πρὸς τὴν Πηνελόπην. — Στ. 12, Ἱππόβοτον δὲ καὶ Ἵππιον ΚΟΙΝΩΣ εἰρηκε.] Οὐκ ἀπήλλακται τὸ χωρίον ὑποψίας ἄλλως τε, καὶ ὅτι ἓν τῶν ἀντιγράφων ἀντὶ τοῦ παρατελευταίου ἐπιῤῥήματος τὸ οὐδὲν μᾶλλον συνετὸν ΕΓΓΥΣ φέρει. Ἱππόβοτον μὲν γὰρ πολλαχοῦ τῆς ποιήσεως

(Ἰλιάδ. β', 287, γ', 75, 258, καὶ ἀλλ.) ἐπωνόμασεν Ὅμηρος τὸ Ἄργος· Ἵππιον δέ, οὐκ αὐτὸς, ἀλλ' Εὐριπίδης (Ὀρέσ. 1621, καὶ Ἰφιγ. Ταύρ. 790) ἐςὶν ὁ καλέσας. Καὶ ἔοικε μνημονικὸν ἁμάρτημα εἶναι τοῦ Στράβωνος τὸ Ἵππιον· οὗ ἐξηρημένου, ὁ νοῦς ἐςὶν, Ἀχαϊκὸν μὲν καὶ Ἴασον Ἄργος ἰδίως Ὅμηρος τὴν Πελοπόννησον εἴρηκεν· Ἱππόβοτον δ' αὐτὴν ὀνομάζει ἐπιθέτῳ καὶ ἄλλαις χώραις κοινῷ· καὶ γὰρ καὶ τὴν Θετταλικὴν Τρίκκην ὁμοίως Ἱππόβοτον (Ἰλιάδ. δ', 202) ἐκάλεσε. — Στ. 15, Θουκυδίδης ...φησι.] Καταρχὰς τῆς συγγραφῆς (ά, 3). Πλατύτερον δὲ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 44-46) ὁ Στράβων διακρετεῖ τὴν Θουκυδίδου δόξαν περὶ τοῦ, Βάρβαρος, ὀνόματος.—Στ. 19, Μυρμιδόνες.] Ἐκ τῆς Ἰλιάδος, β', 684.—Στ. 23, Οἰζὺς ἐς Θάσον κ. τ. λ.] Δι' ὃ καὶ Τρισοιζυρὴν πόλιν ἐπωνόμασέ που (παρὰ τῷ Εὐσταθίῳ, σελ. 725, καὶ 1542) τὴν Θάσον Ἀρχίλοχος, οὗ καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 24) μνημονεύει Στράβων. Ἦν δ' ἡ Θάσος Παρίων ἀποικία (κατωτέρ. σελ. 294), εἰς ἣν κατέφυγε φεύγων τὴν πατρίδα ὁ Πάριος Ἀρχίλοχος.—Ἀντιτιθάσιν.] Ἐκ ΔΓ (οὕτως ἂν γράψας καὶ δίχα ΔΓ), ΑΤ, Ἀττιθάσιν, ὅπερ ὁ Γερμανὸς ἐκδότης ἀνθυπέβαλε τῇ οὐδὲν ἧττον ἡμαρτημένῃ τῆς τε ἐν Ἀμσελοδάμῳ καὶ τῆς ἐν Ὀξονίᾳ ἐκδόσεως γραφῇ, Ἀντιθάσιν (ἀνθ' ἧς τὸ ἐμὸν ἀντίγραφον φέρει διηρημένως, ἀλλ' οὐ μᾶλλον ὀρθῶς, Ἂν τιθάσι). Ἁ, δὲ ἐν τῇ Γαλλικῇ μεταφράσει (*tom. III, pag.* 227, *not.* 2) ἐσημειωσάμην περὶ τῆς γραφῆς, διορθούσθω τόνδε τὸν τρόπον· L'Ἀντιθάσιν de l'édition d'Almeloveen et de celle d'Oxford est une erreur, de même que l'Ἀττιθάσιν de l'éditeur Allemand; et l'on devroit y subtituer Ἀντιτιθάσιν, quand même cette dernière leçon ne seroit pas confirmée par le manuscrit de Médicis.—Στ. 26, Ἀνδρός.] Ἐκ τῆς Ὀδυσσείας, ά, 344.

ΣΕΛΙΔ. 121, στ. 4, Ἴναχος... ἐκ Λυρκείου τοῦ κατὰ τὴν Κυνουρίαν ὄρους τῆς Ἀρκαδίας.] Ὁ μὲν Ἴναχος, Πλανίτσα τανῦν, ὥς φασι, καλεῖται· ὁ δ' ἡμέτερος Μελέτιος τοῦτο μὲν οὐκ οἶδε τοὔνομα, λέγει δὲ ἀμφιβάλλων, ὡς τινὲς μὲν τὸ νῦν Ποτάμι τοῦ Ἄργους, αὐτὸς δὲ πιθανώτερον τὸν καλούμενον Μαςὸν οἴεται εἶναι τὸν Ἴναχον. Ἀλλ' ἴσως οὐδὲ περίεςιν ὅλως ὁ Ἴναχος, εἴ τῳ πιςὸς ὁ Λουκιανός· φησὶ γοῦν (Χάρ. ἢ Ἐπίσκοπ. § 23)· « Ἀποθνήσκουσι... καὶ » πόλεις, ὥσπερ ἄνθρωποι· καὶ τὸ παραδοξότερον, καὶ ποταμοὶ ὅλοι· » Ἰνάχου οὖν οὐδὲ τάφρος ἐν Ἄργει ἔτι καταλείπεται. » Καὶ ταῦτα μὲν ὅπως ἔχει ἀληθείας, ἢ πίςεως, σκοπείτωσαν ἕτεροι· ἐκεῖνο δὲ

μᾶλλον ἀπορίας ἄξιον, ὅτι ἐκ Λυρκείου, ὄρους Ἀρκαδικοῦ, ῥέειν λέγει τὸν Ἴναχον ὁ Στράβων· τὸ γὰρ ἐν Ἀρκαδίᾳ ὄρος Δύκαιον, οὐ Λύρκειον ὀνομάζεται, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς (σελ. 147) ἐρεῖ. Μήποτε οὖν ἀντὶ τοῦ Ἀρκαδίας, γραπτέον Ἀργείας, ὥσπερ εἴκασα ἐν ταῖς εἰς τὴν Γαλλικὴν μετάφρασιν σημειώσεσι (*tom. III, pag.* 228, *not.* 1). Λύρκειον δὲ οὐ μόνον ὄρος, ἀλλὰ καὶ πόλις ἦν τῆς Ἀργείας οὕτω καλουμένη (ἴδ. κατωτέρ. σελ. 130), ἣν Δύρκειαν ὁ Παυσανίας (β', 25) θηλυκῶς ὀνομάζει, ἴσως ἡ νῦν Δούρκα γραφομένη ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου Πίνακι.—Στ. 5, Περὶ δὲ τῶν μυθευομένων πηγῶν εἴρηται.] Τῶν πηγῶν τοῦ Ἰνάχου δηλονότι, περὶ ὧν ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 365) ἐμνημόνευσε.—Στ. 6, Πλάσματα ποιητῶν.] Ἐκ ΔΓ, ΑΤ, Πλάσματα τῶν ποιητῶν.—Στ. 8, Θεοὶ δ' αὖ θέσαν Ἄργος ἄνυδρον.] Ἐξ ἀδήλου ποιητοῦ τὸ ἔπος· ἡμαρτημένον δέ, εἴθ' οὕτω γράφοιτο, εἴθ', ὡς ἔοικεν ἀνεγνωκέναι ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς, Θεοὶ δ' αὐτίκα θέσαν Ἄργος ἄνυδρον.—Στ. 11, Αἰτιῶνται δέ.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Αἰτιῶνται δή.—Στ. 13, Καί κεν ἐλέγχιστος.] Ἐκ τῆς Ἰλιάδος, δ', 171.—Στ. 16, Πολύφθορον.] Ἐκ τοῦ Σοφοκλέους (Ἠλέκτρ. 10).—Στ. 19, Νῦν μὲν πειρᾶται.] Ἐκ τῆς Ἰλιάδ. β', 193.—Στ. 21, Χρόα.] Ἐκ τῆς Ὀδυσσείας, β', 376.—Στ. 23, Ἄϊδι.] Ἐκ τῆς Ἰλιάδος, ά, 3.—Στ. 28, Πολύδ' ἴψιον Ἄργος.] Διαζήσαντες τὸ ἀρχικὸν στοιχεῖον τοῦ Δίψιον, σύνδεσμον ἔπλασαν οἱ Γραμματικοὶ, ἢ μᾶλλον μόριον, τὸ Δί, ἰσοδυναμοῦν τῇ προθέσει, Εἰς· τοῦτο δὲ τολμήσαντας, ἑπόμενον ἦν καὶ καθ' ὑπερβατὸν ἐξηγήσασθαι τὸ λεγόμενον· τὸ γὰρ σύνηθες ὤφειλεν εἶναι Πολὺ ἴψιον Ἄργος δε.

ΣΕΛΙΔ. 122, στ. 3, Ἐρασῖνος.] Ὁ αὐτὸς ἴσως τῷ Χάρητι ποταμῷ, οὗ μνημονεύει Πλούταρχος (Ἀρατ. § 28). Σώζειν ἔτι τοὔνομα τὸν Ἐρασῖνον ὁ νεώτατος τῆς Πελοποννήσου Πίναξ μαρτυρεῖ· ὁ μέντοι Μελίτιος Κεφαλάρι φησὶν αὐτὸν καλεῖσθαι.—Στ. 5, Ὄρνις.] Ἐκ ΔΓ, ΑΤ, Ὄρνις.—Στ. 9, Ἀρσῖνον.] Ἰσ.γρ. Ἀρεσῖνον.—Στ. 15, Δίρνη κακῶν.] Δέρνην φασὶν ὀνομάζεσθαι νῦν καὶ Μύλους (Les Moulins) τὴν αὐτὴν, κώμην πλησίον κειμένην τῆς πάλαι λίμνης Δέρνης.—Στ. 19, Ἄργος ἄνυδρον κ. τ. λ.] Ἡσιόδου τὸ ἔπος εἶναί φησιν Εὐζάθιος (σελ. 461).—Στ. 21, Διαφιρόντως, ὡς ἐν ἀπορίᾳ ὑδάτων εὐπορίαν εἰσάγοντα.] ΗΔ, ΑΤ, Διαφερόντως· ἐν εὐπορίᾳ ὑδάτων ἀπορίαν εἰσάγοντες. Οὕτω δέ πως καὶ ὁ πρῶτος ἐκλατινίσας τὸν Στράβωνα διέθηκε τὰς ἀντικειμένας λέξεις, qui in

aquarum penuria aquarum abundantiam inducunt, καὶ ὁ Ἰταλὸς μεταφραστὴς ἐκδηλότερον, come quelli che nella carestia dell' acque ve n'adducevano abondantemente, ἀμφότεροι καὶ τὴν μετοχὴν συνάψαντες πρὸς τὸ Φρέατα.—Στ. 25, Πελασγιώτας κ. τ. λ.] Ἐκ τοῦ Ἀρχελάου, μηκέτι σωζομένου δράματος, Εὐριπίδου οἱ ςίχοι, ὡς αὐτὸς ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 296) ἐδήλωσε Στράβων.

ΣΕΛΙΔ. 123, στ. 5, Καὶ Ἴασον Ἄργος.] Διαγραπτέον ἴσως ταῦτα· οὐ γὰρ ἐκ τῶν μὴ εἰρημένων Ὁμήρῳ εἰσί.—Στ. 9, Ἀργείη Ἑλένη.] Ἐκ τῆς Ἰλιάδος, ζ', 323.—Στ. 11, Ἔςι πόλις.] Ἐκ τῆς αὐτῆς, ζ', 152.—Στ. 13, Μέσον Ἄργος.] Ἐκ τῆς Ὀδυσσείας, ἀ, 344.—Στ. 15, Πολλῆσιν κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 108.—Στ. 16, Ἄργος δὲ καὶ τὸ πεδίον.] Κατὰ ςοιχείων ἴσως μετάθεσιν, ἀντὶ τοῦ Ἀγρὸς, οὕτως ὠνόμαζον Θετταλοὶ καὶ Μακεδόνες τὸ πεδίον. Ἴσως δὲ καὶ τοῦ πεδίου τὸ ἀργὸν, τουτέςι τὸ μὴ εἰργασμένον, μέρος μόνον οὕτως ἔλεγον.—Στ. 22, Διείλοντο.] Ἐκ ΔΓ, ΑΤ, Διεῖλον. Ὅτι δὲ προέχει ἐνθάδε ἡ μέση διάθεσις τῆς ἐνεργητικῆς, δηλοῖ καὶ ἡ παρ' ἡμῖν νῦν φωνὴ, Ἐμοιράσθησαν, λέγουσα (μέσως) ἐπὶ παραπλησίου μερισμοῦ, οὐκ Ἐμοίρασαν.—Στ. 26, Ἀμφοῖν τὸ πρὸς ταῖς Μυκήναις.] Ἐκ ΔΓ, ΑΤ, Τὸ πρὸς ταῖς Μυκήναις ἀμφοῖν.

ΣΕΛΙΔ. 124, στ. 6, Ἀργολικήν.] Ἐξ ΕΔ, ΑΤ, Λακωνικήν.—Στ. 19, Οἱ δ' Ἄργος κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 559-562.—Στ. 26, Τειχίσαι διὰ Κυκλώπων.] Διὰ δὲ τὰ ἐξαίσια ταῦτα τείχη, ὧν ἐςὶ μέχρι δεῦρο τὰ ἴχνη θεάσασθαι, καὶ Ὅμηρος ἰδίως Τειχιόεσσαν ἐκάλεσε τὴν Τίρυνθα, καὶ Τιρύνθιον πλίνθευμα, οὐκ οἶδ' ὅςις ἕτερος ποιητὴς παρ' Ἡσυχίῳ. Οὐ μόνον δὲ ταύτην, ἀλλὰ καὶ τὰ Μυκηνῶν καὶ Ἄργους Εὐριπίδης (Ἠλέκτρ. 1158) Κυκλώπεια οὐράνια τείχη ὠνόμασε. Πεποίηται γὰρ ἐκ λίθων ἀργῶν τηλικούτων, ὥςε «μηδ' ἂν ἀρχὴν κινηθῆναι τὸν μικρότατον ὑπὸ ζεύγους ἡμιόνων», ὡς φησι Παυσανίας (β', 25), αὐτὸς θεασάμενος. Καὶ εἰκὸς διὰ τοῦτο καὶ τοὺς ἐργασαμένους αὐτὰ Κύκλωπας κληθῆναι, οὐχ ὅτι κοινὸν ἦν αὐτοῖς τι καὶ τοῖς μυθευομένοις Κύκλωψιν, ἀλλ' ὅτι, ὥσπερ ἐκεῖνοι κορυφὰς ὀρέων ἀπορρήγνυντες ἔβαλλον ἀντὶ λίθων (Ὀδυσσ. ἰ, 481) ὡσαύτως καὶ οἱ τειχισαὶ τῆς Τίρυνθος μεγίςους λίθους, ἢ μᾶλλον πέτρας, μετακινεῖν οἷοί τ' ἦσαν. Κεῖσθαι δὲ τὰ μὲν τῆς Τίρυνθος τείχη ἐν τόπῳ, Παλαιὸν Ἀνάπλι, τανῦν καλουμένῳ, τὰ δὲ τῶν Μυκηνῶν ἐν τῷ λεγομένῳ Καρβάθι, φασὶν οἱ νεώτατοι τῶν περιοδευσάντων

δενσάντων τὴν χώραν (Ἰδ. τὴν Γαλλ. μετάφρ. τοῦ Chandler, *Voyag. dans l'Asie min. et en Grèce, tom. III, pag.* 469-470)—Γαστερόχειρας.] Τουτέστι, τοὺς ἀπὸ χειρῶν τὴν γαστέρα πληροῦντας. Τὰ μὲν ἀντίγραφα ἁπαξάπαντα ταύτην φέρει τὴν γραφήν, ᾗ μαρτυροῦσιν ὅ τε Ἡσύχιος καὶ ὁ Ἐτυμολόγος, οὕτως ὀνομάζοντες τοὺς ἀπὸ χειρῶν ζῶντας. Ἀλλ' οἱ αὐτοὶ οὗτοι ἐκαλοῦντο, κατ' ἀναστροφὴν τῆς συνθέσεως, καὶ Χειρογάστορες, καὶ προσλήψει προθέσεως, Ἐγχειρογάστορες, μαρτυρούντων τοῖς ὀνόμασι καὶ τῶν εἰρημένων Λεξικογράφων, καὶ αὐτοῦ Εὐσταθίου (σελ. 286). Πολυδεύκης δὲ λέγει, ὅτι καὶ Ἑκαταίου ἡ λέξις, ὁ Χειρογάστωρ. Φέρεται δὲ καὶ Νικοφῶντος κωμῳδία καλουμένη Χειρογάστορες, καὶ Νικοχάρους ἑτέρα ὁμώνυμος (Ἰδ. Ἀθην. σελ. 389 καὶ 645). Ἔοικε δ' οὖν ἀκολογώτερον συντεθεῖσθαι ὁ Χειρογάστωρ καὶ ὁ Ἐγχειρογάστωρ, ἵνα σημαίνῃ τὸν ἀπὸ χειρῶν τὴν γαστέρα πληροῦντα, καθὰ καὶ Ἀριστοφάνης Ἐγγλωττογάστορας εἶρηνε (Ὄρν. 1695) τοὺς ἀπὸ γλώσσης βιοῦντας συκοφάντας.—Στ. 28, Τὰ σπήλαια τὰ περὶ τὴν Ναυπλίαν.] Ὧν ἀνωτέρω (σελ. 118) ἐμνημόνευσε.

ΣΕΛΙΔ. 125, στ. 7, Εἰς Ἐπίδαυρον.] Τὴν ἐπονομαζομένην, Λεμηράν, οἶμαι, ἧς ἀνωτέρω (σελ. 117) ἐμνήσθη.—Στ. 10, Εἰς τὴν Μεσσηνίαν μετῳκίσθησαν, ἐν ᾗ ἐστιν ὁμώνυμος τῇ Ἀργολικῇ Ἀσίνη πολίχνη.] Ἐξ ΕΔ (ἣν ἐπιδιώρθωκα τῇ προσλήψει τῆς δευτέρας προθέσεως), ΑΤ, Ὑπὸ Λακεδαιμονίων εἰς τὴν Μεσσηνίαν μετῳκίσθησαν· καὶ ἡ ὁμώνυμος τῇ Ἀργολικῇ Ἀσίνῃ πολίχνη. Τὸ δὲ Ἧ (ἡ Ἐν ᾗ) ἐστιν ὁμώνυμος κ. τ. λ. οὕτως ἐκδεκτέον οἶμαι, ὥσπερ ἂν εἰ ἔλεγεν, Ἐν ᾗ Μεσσηνίᾳ ἐστὶ πολίχνη, ἣν ὠνόμασαν Ἀσίνην οἱ μετοικισθέντες, ὁμωνύμως τῇ Ἀργολικῇ Ἀσίνῃ, ἀφ' ἧς μετῳκίσθησαν. Καλεῖται δὲ νῦν ἡ μὲν Ἀργολικὴ Ἀσίνη, Φοῦρνος, ἡ δὲ Μεσσηνιακὴ, Φανερωμένη.—Στ. 16, Ἑρμιόνη.] Κλίνεται Ἑρμιών, καὶ Ἑρμιόνη· καλεῖται δὲ νῦν Κασρί.—Στ. 17, Ἁλιεῖς.] Κοινὸν ὄνομα τῆς τε πόλεως καὶ τῶν κατοίκων. Ὁ Σκύλαξ μέντοι Ἁλίαν αὐτὴν ὀνομάζει, Θουκυδίδης δὲ Πληθυντικῶς Ἁλιάς (ὡς Πλαταιάς), Παυσανίας δὲ, Ἅλικην.—Στ. 19, Ναῦλον.] Τὸ καλούμενον ἰδίως Δανάκην. Ἰδ. τὰ ἐν τῇ Γαλλ. μεταφρ. σημειωθέντα μοι.—Στ. 20, Καὶ τὴν Ἀσίνην.] Ἴσως ἐγέγραπτο, Τὴν Ἑρμιόνην καὶ τὴν Ἀσίνην, ὥσπερ ἔοικεν ἀνεγνωκέναι ὁ Εὐστάθιος (σελ. 287). Ἄμφω γὰρ ταύτας τὰς πόλεις Ἡρόδοτος (η, 43 καὶ 73) ὑπὸ Δρυόπων οἰκισθῆναι λέγει. Καὶ πόλις δὲ Δρυόπη καλουμένη ἦν περὶ τὴν

Ἑρμιόνην, εἰ χρὴ πειθέσθαι Στεφάνῳ τῷ Βυζαντίῳ.—Στ. 23, Σκύλλαιον.] Ἀκρωτήριον, Σκύλλος ἔτι καὶ νῦν καλούμενον (Cap Scyllo).

ΣΕΛΙΔ. 126, στ. 1, Ἠϊόνες] Ἴσως τὸ νῦν Παλαιοχώριον καλούμενον (ἴδε τὴν Γαλλ. μεταφρ. τοῦ Chandler, *Voyag. dans l'Asie min. et en Grèce, tom. III, pag.* 234 καὶ 463).—Μυκηναῖοι.] Διανοίας ῥεμβασμῷ Messeniens ἐκπίπτουσαι τοὔνομα ἐν τῇ Γαλλικῇ μεταφράσει, ἀντὶ τοῦ Mycénéens.—Στ. 4, Τροιζήν.] Ἡ νῦν καλουμένη Δαμαλᾶς. Ταύτης τὸν Ἐπίσκοπόν ποτέ φασιν, οὐκ ἀγαπῶντα τοῖς λεπτοῖς τῶν ἰχθύων, ἐθελῆσαι ἐπὶ μειζόνων ἄγραν αὐτὸν ἐκπλεῦσαι· ἐν δὲ τῇ ἁλιείᾳ ὑπὸ βαρβάρων πειρατῶν ἁλόντα εἰς Λιβύην ἀχθῆναι, κἀκεῖ δουλεύειν, ὁτὲ μὲν ἁλήθοντα, ὁτὲ δὲ τοῦ δεσπότου τὸ ἵππιον κατακοιμίζοντα. Διὸ καὶ ᾠδὴν ἔτι καὶ νῦν ᾄδεσθαι παρὰ τοῖς ποτὲ Τροιζηνίοις τοῦ γαστριμάργου Ἐπισκόπου τὴν τύχην ἐπισκώπτουσαν, ἣν ἀντέγραψεν ὁ Ἄγγλος περιηγητὴς (Chandler, *Voyag. dans l'Asie, etc. T. III, p.* 245) οὕτως ἔχουσαν·

Πίσκοπε τοῦ Δαμαλᾶ,
Μήτε νοῦν, μήτε μυαλά.
Τὰ μικρὰ δὲν ἤθελες,
Τὰ μεγάλα 'γύρευες.
Τράβα τὸ χερόμυλο,
Κούνα ταραπόπουλο·

καὶ εἰς τὴν Γαλλικὴν μετέφρασε γλῶσσαν ὁ ἀστειότατος τοῦ ἐπιγραφομένου συγγράμματος *Raison, folie, etc.* πατὴρ τοῦτον τὸν τρόπον·

De Damala prélat glouton,
Pauvre d'esprit, tête légère!
Le fretin ne pouvoit te plaire,
Et tu cherchais le gros poisson.
Vas au moulin tourner la pierre,
Et puis berce le négrillon.

—Στ. 7, Καλαυρία.] Ἧς καὶ ἀνωτέρω (σελ. 119) ἐμνημόνευσεν. Ἔστι δὲ ὁ νῦν καλούμενος Πόρος (Chandler, *Voyag. etc. tom. III, pag.* 227), οὐχ ἡ Τροιζήν, ὥσπερ ἐνομίζετο τέως. Ἔπιθι καὶ ἅπερ ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 15, Ἑρμιόνη.] ΗΔ,

ΑΤ, Ἑρμι[illegible]εἰ γὰρ καὶ διαφορεῖται ἡ κλίσις τοῦ ὀνόματος, ὥσπερ ἔφην (ἀνωτέρ. σελ. 161), οὐκ εἰκὸς τῇ περιττοσυλλάβῳ κλίσει χρήσασθαι ἐνθάδε τὸν Στράβωνα, τὴν ἰσοσύλλαβον μέχρι τοῦδε προελόμενον, ἄλλως τε καὶ Ὁμηρικὴν οὖσαν.—Στ. 20, Ἐφύλαττον ὅμως.] ΗΔ, ΑΤ, Ἐφύλαττόν πως. Καὶ ὁ Ἰταλὸς δὲ μεταφραστὴς τὸν ἐναντιωματικὸν ἡρμήνευσε, Servarono però, ἄμεινον ἂν ἑρμηνεύσας, Servavano però.—Στ. 21, Καταφυγόντας.] Ἰσ.γρ. Καταφεύγοντας.—Στ. 23, Ὧ προστέτακτο.] ΗΔ, ΑΤ, Ὃς προστέτακτο. ΔΓ, Ὡς προστέτακτο: Οἷς προστέτακτο.—Στ. 24, Ὃν ἂν εὕρῃ.] Ἐκ ΔΓ, ΑΤ, Ὃν εὕροι.—Ὄντων παραπλησίαις.] ΗΔ, ΑΤ, Ὄντων ταῖς παραπλησίαις.

ΣΕΛΙΔ. 127, στ. 7, Ἡ πόλις.] Διαγραπτέον ἴσως τὸ ἄρθρον.—Στ. 9, Ἱερόν.] Καὶ ὁ τόπος δὲ ἐν ᾧ δείκνυται τὰ ἴχνη τοῦ ἱεροῦ, Ἱερὸ, μέχρι καὶ δεῦρο καλεῖται, διασυλλάβως προφερόμενον, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Γερὸ, ὅθεν ἀπατηθεὶς ὁ Ἄγγλος περιηγητὴς Gerao αὐτὸ ὀνομάζει, ἄμεινον ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου πίνακι γραφόμενον Iero.—Στ. 16, Μέθανα.] Ὥσπερ καὶ νῦν ἔτι καλεῖσθαί φησι.—Στ. 17, Ἐν τισιν ἀντιγράφοις, Μεθώνη κ. τ. λ.] Ἐν ἅπασι μὲν οὖν τοῖς ἀντιγράφοις τοῦ Θουκυδίδου Μεθώνη (καὶ οὐ Μέθανα) ταυτὶν φέρεται. Καὶ αὐτὸς δὲ Στράβων Μεθώνην ἀλλαχοῦ (Μέρ. Α, σελ. 76) ταύτην ἐκάλεσε.—Στ. 20, Ἐν τῇ Τροιζῆνι.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ τῇ Τροιζῆνι.—Στ. 25, Αἴγινα.] Σώζουσα καὶ νῦν τοὔνομα.

ΣΕΛΙΔ. 128, στ. 5, Οἵ τ' ἴχνη.] Ἐκ τῆς Ἰλιάδος, β', 562.—Στ. 8, Οἱ ἀπ' αὐτοῦ.] ΗΔ, ΑΤ, Οἱ ὑπ' αὐτόν. Πιστοῦται δὲ τὴν διόρθωσιν ὅ τε πρῶτος ἐκλατινίσας τὸν Στράβωνα, ejusque posteri, καὶ ὁ Ἰταλὸς μεταφραστὴς, e i suoi descendenti. Εἰσὶ δ' οἱ ἀπ' αὐτοῦ, οὓς ἐν τοῖς ἑξῆς (σελ. 155) Αιακίδας καλεῖ.—Στ. 9, Ἀμφισβητήσασα πρός.] Ἐκ ΔΓ, ΑΤ, Ἀμφισβητήσασά ποτε πρός.—Στ. 17, Βέλβινα.] Βλένδαν αὐτὴν καλεῖσθαι λέγει ὁ Σοφιανὸς παρὰ τῷ Ὀρτελίῳ. Ὁ Δαμβιλλὴς δὲ τὴν νῦν Λαβοῦσαν οἴεται εἶναι· πιθανώτερον δ' ἕτεροι τὴν καλουμένην τοῦ Ἁγίου Γεωργίου νῆσον (Saint-George d'Arbora). Αὕτη γὰρ τῶν περὶ τὴν Αἴγιναν νήσων ἐστὶν ἀνατείνουσα πρὸς τὸ πέλαγος, ὡς φησι Στράβων.—Στ. 23, Ἐπιφέροιεν.] Ταύτην ὁ Γερμανὸς ἐκδότης προείλετο ἐκ πολλῶν ἀντιγράφων τὴν γραφὴν τῆς προτοῦ φερομένης, Ἐπισπείροιεν. Ἴσως καὶ ἑτέρα γραφὴ ἦν ποτ' ἀμείνων, Ἐπιφοροῖεν.—Στ. 25,

Ὁμωνύμως.] Ἐκ ΔΓ, ΔΤ, Ὁμώνυμος. Τοῦ δὲ ἐπιφωνήματος τρισὶ στιγμαῖς διείρειλα τὸ προηγούμενον ἕτερον ἐπίρρημα, Πάλαι, λείπειν τι βουλόμενος ἐμφῆναι· οὐ γὰρ εἰκὸς εἰρηκέναι τὸν Στράβωνα τοὺς ἐν τῇ Ἀττικῇ δύο δήμους, τῷ ὀνόματι τῆς Οἰνόης γνωριζομένους, ὁμωνυμεῖν τῇ Οἰνώνῃ. Διὸ καί τινες τῶν κριτικῶν, οὕτως ἀναπληροῦν χρῆναι εἶκασαν τὸ κενόν, Οἰνώνη πάλαι, καὶ Οἰνόη ὁμωνύμως κ. τ. λ. — Στ. 27, Οἰνόης.] Οἰνώνης ἅπαντα φέρουσι τἀντίγραφα· ἀνθ' οὗ ὁ Γερμανὸς ἐκδότης διορθῶν ἔγραψεν, Οἰνόῃ, ὅπερ αὐτὸς κατὰ γενικὴν ἐξενεγκεῖν θεῖν ὑπέλαβον· ἡ γὰρ συνάρτησίς ἐστι, Τὰ τῆς Οἰνόης πεδία, τὰ σύγχορτα (τουτέστιν ὁμοροῦντα, ἢ συνάπτοντα) τοῖς Ἐλευθεραῖς. Ἐοίκασι δὲ τὰ πεδία ταῦτα τὰ περὶ τὴν Οἰνόην, ἐπ' εὐκαρπίᾳ τεθρυλλῆσθαι, ὡς ἐστιν εἰκάσαι καὶ ἐκ τοῦ Λουκιανοῦ (Ἰκαρομενιππ. § 18), ἐν οἷς λέγει, « Τοῖς μίγα φρονοῦσιν » ἐπὶ τῷ... Μαραθῶνος ἔχειν τὰ περὶ τὴν Οἰνόην. » — Στ. 28, Ταῖς Ἐλευθεραῖς.] Ἐκ ΔΓ, ΔΤ, Ταῖς τ' Ἐλευθεραῖς.

ΣΕΛΙΔ. 129, στ. 11, Οἳ Ϝ' Ὑρίην.] Ἐκ τῆς Ἰλιάδος, β', 496.— Στ. 13, Οἳ δ' Ἄργος.] Ἐκ τῆς αὐτῆς, β', 559. — Στ. 17, Σχοίνου τε.] Ἐκ τῆς αὐτῆς, β', 497. — Στ. 20, Οἳ ῥ' Ἰθάκην.] Ἐκ τῆς αὐτῆς, β', 632. — Στ. 22, Τῇ Αἰγίνῃ τὸν Μάσητα συνῆψεν.] Ἐν τοῖς ἀνωτέρω (σελ. 124) παρατεθεῖσιν ἔπεσι.

ΣΕΛΙΔ. 130, στ. 1, Κεγχρεαί.] Ἡ νῦν καλουμένη Ἀγλάκαμπος κώμη, ἢ μᾶλλον Ἀχλαδόκαμπος, καθὰ γέγραπται ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου πίνακι· ἀπὸ τῆς Ἀχράδος (ἣν Ἀχλάδα καλεῖ ἡ συνήθεια), ἐπιπολάζοντος ἴσως περὶ τὴν κώμην τοῦ δένδρου. Σημειούσθω δέ, ὅτι καὶ τὸ παλαιὸν αὐτῆς ὄνομα, Κεγχρεαὶ, ἀπὸ φυτοῦ ἐτέθη τῆς κέγχρου. — Στ. 4, Λυκούργιον.] Γραπτέον, ὥς τινες παρήνεσαν τῶν κριτικῶν, Λύρκειον. — Στ. 5, Ἡ μὲν ὁμώνυμος τῷ ὄρει τῷ...] Ἐκ ΔΓ προσείληφα καὶ τὸ τελευταῖον ἄρθρον καὶ τὴν σημείωσιν τοῦ κενοῦ διαστήματος τὴν μετὰ τὸ ἄρθρον, ὅπερ ἴσως οὕτως ἐπεπλήρωτο· Τῷ ὄρει τῷ κατὰ τὴν Κυνουρίαν, κἀκείνῳ Λυρκείῳ καλουμένῳ (Ἰδ. τὰ ἀνωτέρ. σελ. 159, σημειωθέντα). — Στ. 8, Ἄργος τε Σπάρτη τε.] Αὐτά εἰσιν Ὁμήρου τὰ ἔπη (Ἰλιάδ. δ', 52). — Στ. 11, Ὑπερεβάλοντο.] Ἐκ ΔΓ, ΔΤ, Ὑπερεβάλλοντο. — Στ. 14, Ἀλλὰ καὶ πρὸ τοῦ.] Ἐκ ΔΓ προσείληφα τὸν δεύτερον τῶν συνδέσμων. — Στ. 23, Οἳ δὲ Μυκήνας κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 569-576.

ΣΕΛΙΔ. 131, στ. 4, Μυκῆναι... ἔκτισε δ' αὐτὰς Περσεύς.] Διὰ

Κυκλώπων καὶ αὐτὸς, ὥσπερ ὁ Προῖτος τὴν Τίρυνθα (ἴδ. τὰ σημειωθ. ἀνωτέρ. σελ. 160). Διὸ καὶ Εὐριπίδης (Ἰφ. Αὐλ. 1500),

Πόλισμα Περσέως
Κυκλωπίων πόνον χερῶν,

καλεῖ τὰς Μυκήνας.—Στ. 9, Ἐν Τρικορύθῳ.] ΗΔ, ΑΤ, Ἐν τῇ Κορίνθῳ. Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. III, pag. 249, not. 2) περὶ ταύτης τῆς διορθώσεως. Ἰδ. καὶ τὸν Στράβωνα ἐν τοῖς ἑξῆς (σελ. 139).—Στ. 10, Μακαρίαν.] Ἐξ ΕΔ, ΑΤ, Ἀκαρίαν.—Στ. 12, Ἐκ τῆς.] Ἐκ ΔΓ, ΑΤ, Ἀπὸ τῆς.—Στ. 13, Τοὺς καὶ τὸ Ἄργος,] ΗΔ, ΑΤ, Καὶ τοὺς τὸ Ἄργος. ΔΓ, Καὶ τὸ Ἄργος. Ἔπιθι τὰ ἀνωτέρω (σελ. 124) εἰρημένα τῷ Στράβωνι· καὶ κατὰ ταύτην τὴν νῦν διόρθωσιν μεταῤῥύθμιζε καὶ τὴν Γαλλικὴν μετάφρασιν (tom. III, pag. 250), ἀντὶ τοῦ, des Héraclides, et de ceux qui possédoient Argos, γράφων, des Héraclides, qui possédoient aussi Argos.—Στ. 20, Κλεωναί.] Αἱ Κλένα, ἡ Κλένια (Klegna) νῦν, ἐνικῶς καὶ συγκεκομμένως, καλούμεναι.—Στ. 23, Νεμέα.] Ἧς τὸν τόπον νῦν κατέχει χωρίον καλούμενον, Ἅγιος Γεώργιος.—Στ. 26, Βέμβινα.] Πολλὰ τῶν ἀντιγράφων φέρει, Βέλβινα, οὗπερ οἱ κριτικοὶ τὴν Βέμβινα γραφὴν εἰκότως προείλοντο. Ἐνδέχεται μέντοι καὶ τὸ ἀρχαῖον διττὴν ὑπάρξαι τὴν προφορὰν τοῦ ὀνόματος. Παρὰ τῷ Πλινίῳ (IV, 6), ὃς κακῶς αὐτὴν τῇ Ἀρκαδίᾳ προσνέμει, καλεῖται Βεμβιναδία, Bembinadia, ὅπερ ἡμῖν ἔδοξε γραφικὸν ἁμάρτημα εἶναι, δέον διηρημένως γράφειν Bembina dia, τουτέστιν, Βέμβινα ἱερά· ἣν εἰκὸς οὕτω κεκλῆσθαι διὰ τὸν ἀγῶνα τῶν Νεμέων ἱερὸν ὄντα. Ὁ γὰρ Πλίνιος τὴν αὐτὴν εἶναι βούλεται τῇ Νεμέᾳ τὴν Βέμβιναν. Ἔοικεν εἶναι τὸ νῦν Βερβάλι καλούμενον, κωμύδριον Κλεωνῶν πλησίον κείμενον, καὶ κώμης ἑτέρας καλουμένης, Ἅγιον ὄρος, διὰ τὴν αὐτὴν ἴσως αἰτίαν, δι' ἣν καὶ Πλίνιος ἱερὰν προσηγόρευσε τὴν Βέμβιναν.

ΣΕΛΙΔ. 132, στ. 10, Τὸν ἐπὶ Μαλεάς.] Γραπτέον, Τὸν περὶ Μαλεάς, καθάπερ ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 11, Αὐτόθι· ὅθι καὶ πεζῇ τῶν ἐκκομιζομένων.] ΗΔ (συνάδουσα τῇ ἀρχαίᾳ λατινικῇ μεταφράσει), ΑΤ, Αὐτόθι· καὶ πεζῇ δὲ τῶν ἐκκομιζομένων. ΔΓ, Αὐτόθι· καὶ πεζῇ τε τῶν ἐκκομιζομένων: Αὐτόθι· καὶ πεζῇ τῶν ἐκκομιζομένων (ἄνευ τοῦ δευτέρου συνδέσμου).—Στ. 13, Τὰ τέλη.] Τινὰ τῶν ἀντιγράφων φέρει, Τὰ

τέλη ἐκεῖσε (μετὰ τοῦ τοπικοῦ ἐπιρρήματος)· ὅπερ εἰ γνήσιον, ἔχοις ἂν καὶ οὕτω τάττειν, ἄνωθεν ἀρξάμενος, τὴν περίοδον· « Αὐτόθι. » Καὶ πεζῇ δὲ τῶν ἐκκομιζομένων ἐκ τῆς Πελοποννήσου, καὶ τῶν εἰ» σαγομένων, ἔπιπτε τὰ τέλη ἐκεῖσε τοῖς τὰ κλεῖθρα ἔχουσι. » Κλεῖθρα δὲ λέγει τὸν Ἰσθμὸν, ὃν κατεῖχον οἱ Κορίνθιοι.—Στ. 18, Τοὺτους δὲ.] Ἐκ ΔΓ, ΑΤ, Τοὺτους τε.—Στ. 24, Τῆς δεξαμένης αὐτὸν πόλεως.] Οἱ ἀρχαῖοι μεταφραταὶ ἡρμήνευσαν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Των δεξαμένων αὐτὸν πόλεων.—Στ. 25, Ὁ δ' υἱὸς αὐτοῦ.] Ὁ Στράβων ἀλλαχοῦ (Μέρ. Α, σελ. 293) Λουκούμωνα ὀνομάζει.

ΣΕΛΙΔ. 133, στ. 10, Τριῶν ἥμισυ σταδίων.] Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ φαμέν, οὐ κλίνοντες, οὐδὲ συνδέοντες τὸ Ἥμισυ, ἀντὶ τοῦ, Τριῶν σταδίων καὶ ἡμίσεος. Τῶν τις κριτικῶν ἔλεγε, μηδὲν δέον, γραπτέον εἶναι, Τριῶν ἡμισταδίων, τουτέστιν, ἑνὸς σταδίου καὶ ἡμίσεος.—Τὴν δ' ἀνάβασιν καὶ τριάκοντα σταδίων.] Συμβαίνει τὸ μέτρον τοῖς λεγομένοις ὑπὸ τῶν νεωτάτων περιοδευτῶν· ὥρας γὰρ μιᾶς σχεδόν τι διαζήματε ἀπέχει τῆς Κορίνθου τὸ ἐπὶ τοῦ Ἀκροκορίνθου ἄντρον. Ἴδε τὴν Γαλλικὴν μετάφρασιν τοῦ Chandler, *Voyag. dans l'Asie min., etc. tom. III, pag. 473, not.* 190.—Στ. 19, Ἐγίνετο.] Ἐκ ΔΓ, ΑΤ, Ἐγένετο.—Στ. 21, Μέντοι καὶ ἐνθένδε.] ΗΔ, ΑΤ, Μὲν τὸ ἐνθένδε.—Στ. 28, Καὶ φρεάτων.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τῶν φρεάτων.

ΣΕΛΙΔ. 134, στ. 3, Ἥκω περίκλυστον κ. τ. λ.] Ἐκ τοῦ Βελλεροφόντου, τραγῳδίας Εὐριπίδου μηκέτι σωζομένης, οἴονταί τινες εἶναι τὰ ἔπη, ἃ καὶ Πλούταρχος ἐν τῷ Ἐρωτικῷ (§ 21) παρατίθεται οὕτως,

> Ὕδατι χλωρῷ κατακλυζόμενον προλιποῦσ'
> Ἀκροκόρινθον·

ὅθεν ὁρμηθέντες οἱ κριτικοὶ, ἄλλοι ἄλλως διορθοῦν καὶ διατάττειν ἐπεβάλοντο καὶ τὰ ὑπὸ Στράβωνος ἐνθάδε παρατιθέμενα, ὡς ἔχειν ἰδεῖν ἐν ταῖς τοῦ Γερμανοῦ ἐκδόσεσι σημειώσεσι.—Στ. 6, Δικτέον.] Ἐξ ΕΔ, ΑΤ, Λεκτέον.—Στ. 13, Ὑποῦσαν.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος, ΑΤ, Ὑποπεσοῦσαν.—Στ. 14, Ἱεροῦ τινος ἢ βασιλείου, ΛΕΥΚΟΛΙΘΟΥ πεποιημένου, κ. τ. λ.] Ἐκ ΔΓ, ΑΤ, ΛΕΥΚΩ ΛΙΘΩ. Τοῦ δὲ ὅλου ΔΓ φέρεται καὶ αὕτη, Ἱερόν τινος ἢ βασίλειον, λευκολίθῳ πεποιημένου. Ὁ νοῦς καὶ ἡ συνάρτησίς ἐστι, Τὸ Σισύ-

ρειόν ἐςι, διασῴζον ἐρείπια οὐκ ὀλίγα ἱεροῦ τινος, ἢ βασιλείου, πεποιημένου ἐκ λευκολίθου.—Στ. 19, Τῇ Φωκίδι Κορινθίας.] Ἐκ ΔΓ, ΑΤ, Κορινθίας τῇ Φωκίδι.—Καὶ Σικυωνίας πρὸς ἑσπέραν. Ὑπέρκειται δὲ τούτων ἁπάντων τὰ καλούμενα Ὄνεια ὄρη.] ΔΓ (καὶ ςίξις), Καὶ Σικυωνίας. Πρὸς ἑσπέραν δ' ὑπέρκειται τούτων ἁπάντων τὰ καλούμενα Ὄνεια ὄρη. Οὐδετέρα τούτων τῶν γραφῶν ἐῤῥῶται. Ἔπιθι τὰς εἰκαςίας τῶν κριτικῶν καὶ τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 22, Καὶ τῆς παρά.] Ἐκ ΔΓ, ΑΤ, Ἀπὸ τῆς παρά.—Στ. 24, Λέχαιον.] Παλάγιον (Palagio) τὸ Λέχαιον νῦν καλεῖσθαι οἴεται ὁ Δοσβίλλης· Ἐν δὲ τῷ τῆς Πελοποννήσου πίνακι γράφεται Πύργος Βαλάγα, ἢ Μπαλάγα (Tour Balaga), ὅπερ ὑπονοεῖν παρέχει Παλάτιον εἶναι τὸ γνήσιον ὄνομα, οὐ Παλάγιον.—Στ. 25, Κεγχρεαί.] Σῴζουσι καὶ νῦν τοὔνομα· ὁ δὲ Καλλίμαχος Κερχνίδα αὐτὰς ὀνομάζει. Ἕτεραι δ' εἰσὶ τῶν ἀνωτέρω (σελ. 164) Κεγχρεῶν.

ΣΕΛΙΔ. 135, στ. 2, Παρὰ τό.] Ἐκ ΔΓ, ΑΤ, Περὶ τό. Ἴσως ἀμεινον γράφειν, Ἐπὶ τό· ὁ γὰρ νοῦς, Τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ Λέχαιον, ἐςὶν, ὥσπερ ἡρμήνευσαν καὶ οἱ μεταφραςαί.—Στ. 7, Ὀλμιαί.] Ἄκρα ἡ νῦν καλουμένη Μαλαγγάρα (Cap Malangara).—Στ. 8, Παγαί.] Δωρικῶς, ἀντὶ τοῦ Πηγαί, αἱ νῦν κατὰ μὲν τὸν Μελέτιον, Λιβαδόςανι, καθ' ἑτέρους δὲ Λιβαδόςα· τὸ δ' οὖν ὄνομα παρὰ τὸ Λιβάς (συνώνυμον τῆς πηγῆς) καὶ τὸ Στάζω ἔοικε συντεθεῖσθαι. «Λιβάδα, ςαγόνα κρήνην, ἔνυδρον τόπον» φησὶν ὁ Φώτιος.—Στ. 22, Ἐποίκων.] ΔΓ (ἀμείνων), Ἀποίκων.—Στ. 26, Ἀσίας.] Τὴν μὲν γραφὴν οὐκ ἔξεςι μετακινεῖν· ἔξεςι μέντοι ὑπονοεῖν, μήποτε ἐγέγραπτο Ἀσέας, Ἀρκαδικῆς πόλεως. Πιθανώτερον γὰρ τὸν χρηςηριασάμενον τῶν Πελοποννησίων τινά, ἢ τῶν Ἀσιανῶν γεγονέναι. Ἡ δὲ Ἀσέα καλεῖται νῦν Ἄσι, τουτέςιν Ἀσὴ συνηρημένως ἐκ τοῦ Ἀσέα, ὥσπερ ἐκ τοῦ Συκέα ἡ Συκῆ. Σημειοῦσθαι δὲ καὶ, ὅτι ὁ τῶν Χρηςομαθειῶν (Μέρ. Γ, σελ. 588) συγγραφεὺς οὐκ ἐξ Ἀσίας, οὐδ' ἐξ Ἀσέας, ἀλλ' ἐκ Τεγέας (ἑτέρας Ἀρκαδικῆς πόλεως) λέγει γεγονέναι τὸν χρηςηριασάμενον.—Στ. 27, Λῴου.] ΔΓ (ἀμείνων), Λῷον.

ΣΕΛΙΔ. 136, στ. 1, Καὶ συγγενειά τις.] Ἐκ ΔΓ προσειληφα τὸν σύνδεσμον. Στ. 4, Φιλίππῳ.] Τῷ Πατρὶ Περσέως τοῦ ὕςατα Μακεδόνων βασιλεύσαντος.—Στ. 13, Τὴν ςρατιωτικὴν ὀλιγωρίαν κ. τ. λ.] Ἢ μᾶλλον, Σκυθικὴν ὀλιγωρίαν, ἧς καὶ ἡμεῖς ἔνοχοι γεγόναμεν, οὕτως ὀλιγώρως ἔχοντες περὶ τὰ τῆς προγονικῆς εὐτεχνίας λείψανα, ὥσθ'

ὑπομένειν τὴν λεγομένην Μυσῶν λείαν ὑπὸ τοῦ τυχόντος τοὺς Ἕλληνας γιγνομένους. Ἀλλ' ἐλπίζειν χρὴ μηκέτι τοῦ λοιποῦ περιόψεσθαι τοὺς πανιερωτάτους ἡμῶν Ἱεράρχας διαφορούμενα τὰ τῆς Ἑλλάδος καλὰ καὶ εἰς τοὺς ἀλλογενεῖς μετακομιζόμενα.—Στ. 17, Οὐδὲν πρὸς τὸν Διόνυσον.] Τοιοῦτόν τι καὶ τὸ, «Οὐδὲν πρὸς τὴν Παρμένοντος ὕν» (Πλουτάρχ. Συμποσιακ. ε, 1)· καίπερ τοῦ Παρμένωνος οὐκ ἐπὶ γραφῇ, ἀλλ' ἐπὶ τῷ τὴν φωνὴν τῆς ὑὸς φορτικῶς εἰδέναι μιμεῖσθαι θαυμαζομένου. Οὕτω πολλάκις τὸν ὀφειλόμενον τοῖς καλοῖς ἔπαινον ἐπὶ τὰ μὴ τοιαῦτα μεταφέρουσιν οἱ τῶν καλῶν ἄγευστοι.—Στ. 22, Καὶ τῶν ἄλλων.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὰ τῶν ἄλλων.—Στ. 23, Ἁφῖκται.] ΗΔ, ΑΤ, Ἀφῖχθαι.

ΣΕΛΙΔ. 137, στ. 7, Συναναστάπτοντες.] Ἰσ.γρ. Ἀναστάπτοντες, διὰ μιᾶς προθέσεως.—Ὁρακινα τορεύματα παμπλήθη.] ΗΔ, ΑΤ, Ὁρακίνων τορευμάτων πλήθη. Ἕτεραι ΔΓ, Ὁρακίνων τορεύματα παμπλήθη: Ὁρακίνων τορεύματα πλήθη.—Στ. 15, Κατωρθωμένων] ΗΔ, ΑΤ, Κατορθουμένων.—Ἡ μὲν δὴ πόλις ἡ τῶν.] Ἐκ ΔΓ, ΑΤ, Ἡ μὲν οὖν πόλις των.—Στ. 16, Μεγάλη.] ΔΓ, Μεγίστη.—Ηὐπόρησεν.] Ἐκ ΔΓ, ΑΤ, Ηὐπόρηκεν.—Στ. 17, Τέχνας τὰς δημιουργικάς.] Ἃς οἱ Γάλλοι τέχνας ἐλευθερίους (Arts libéraux) καλοῦσι.—Στ. 20, Σκολιάν.] Ἰσ.γρ. Σκληράν, ὥσπερ εἶπεν ὁ Κασωβών.—Στ. 23, Ὀρνεαί.] Ἕτεραι παρὰ τὰς ἐν τῇ Ἀργείᾳ Ὀρνεάς, ὧν ἀνωτέρω (σελ. 130) ἐμνήσθη Στράβων, εἴ γε μὴ πεπλάνηται· ὁ γὰρ Παυσανίας τὰς Ἀργολικὰς μόνας Ὀρνεὰς οἶδε (Ἴδ. τὰ σημ. ἐν τῇ. Γαλλ. μεταφρ.).—Στ. 28, Φλιασία.] Ἡ χώρα, οὕτω καλουμένη ἀπὸ τῆς ἐν αὐτῇ πόλεως Φλιοῦντος, ἣν ὁ μὲν Δαμβίλλης Σταφλίκαν, ὁ δὲ τὸν νεώτατον τῆς Πελοποννήσου συντάξας πίνακα Στίφλι, καλεῖ, βαρβάρως τοῦ ὀνόματος ἐκ τριῶν λέξεων, Εἰς τὸν Φλιοῦντα, συγκραθέντος εἰς μίαν, καθὰ καὶ ἐν ἄλλοις εἰώθασι προφέρειν οἱ νῦν κατέχοντες τὴν Ἑλλάδα Τοῦρκοι, Σταμπόλ, καὶ Σταυκιὸ λέγοντες, ἀντὶ, τοῦ Εἰς τὴν πόλιν (τὸ Βυζάντιον), καὶ Εἰς τὴν Κῶ (τὴν νῆσον). Ὁ Πτολεμαῖος δὲ καὶ ἕτερον Φλιοῦντα τίθησιν ἐν τῇ Ἀργείᾳ· ὃν ὁ μὲν Δαμβίλλης τὸ νῦν καλούμενον Δρέπανον ἢ Δράπανον οἴεται εἶναι, τὸ ἐν τῷ Ἀργολικῷ κόλπῳ· ἕτεροι δὲ τὸ πρὸς τῷ Σκυλλαίῳ ἄκρῳ, κατέναντι τῆς Ὕδρας νήσου κείμενον, καὶ Θερμίσε, Θέρμις, ἢ Θέρμια ὀνομαζόμενον.

ΣΕΛΙΔ. 138, στ. 1, Κηλώσσῃ.] Ἐκ ΔΓ (ἐνθάδε τε καὶ ἐν τοῖς ἑξῆς διὰ τοῦ η), ΑΤ, Κοιλώσσης.—Στ. 3, Ἀσωπός.] Ὁ νῦν

Βασιλικὸς καλούμενος.—Στ. 4, Σικυωνίαν.] Γραπτέον, οἶμαι, Σικυῶνα, τὴν πόλιν δηλονότι, ἀφ' ἧς ἡ χώρα Σικυωνία λέγεται.—Στ. 10, Τὸ τῆς Δίας ἱερὸν... Ἥβην.] Δία ἐκλήθη ἡ Ἥβη, διότι θυγάτηρ ἦν τοῦ Διὸς, ὡς φησιν Ὅμηρος (Ὀδυσσ. λ', 604). Παυσανίας δὲ (β', 13) καὶ Γανυμήδην αὐτὴν ταύτην τὴν ἐν Φλιοῦντι Ἥβην ὑπὸ τῶν ἀρχαιοτάτων Φλιασίων καλεῖσθαί φησι· ὠνοχόει γὰρ τοῖς θεοῖς ἡ Ἥβη (Ἰλιάδ. δ', 2), ὥσπερ καὶ ὁ Γανυμήδης (τ', 234), εἴτε τούτου ἀπ' ἐκείνης οὕτως ὀνομασθέντος, εἴτε τοὐμπαλιν.—Στ. 12, Σικυῶνα.] Βασιλικὴν, ἡ Βασιλικὸν ταύτην Καλεῖσθαι φασὶ νῦν, ὁμωνύμως τῷ παραῤῥέοντι ταύτην ποταμῷ Βασιλικῷ. Τὸ δὲ ὄνομα ἐμφαίνειν οἰονταί τινες τὴν ἀρχαίαν τῆς πόλεως τύχην· ἐν πρώτῃ γὰρ τῶν Ἑλληνικῶν πόλεων Βασιλέως καὶ Βασιλείας ὄνομα μνημονεύεται.—Στ. 13, Αἰγιαλούς.] Ἰσ.γρ. Αἰγιαλάς. Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Ἀνῴκισε δ' αὐτὴν... ἐπὶ λόφον ἐρυμνὸν Δημήτριος.] Ἐξ ΕΔ (συναδούσης τῇ ἱστορίᾳ), ΑΤ, Ἀνῳκίσθαι δ' αὐτὴν... ἐπὶ λόφον ἐρυμνὸν Δήμητρος. Ὁ δ' ἀνοικίσας Δημήτριος ὁ ἐπονομαζόμενος Πολιορκητὴς ἦν, ὃς καὶ Δημητριάδα τὴν Σικυῶνα μετωνόμασεν, ὡς φησιν ὁ Σικελιώτης Διόδωρος (κ', 102). Συναινεῖ δὲ τούτοις καὶ ὁ Παυσανίας (β', 7) καὶ ὁ Πλούταρχος (Δημητρ. § 25).—Στ. 16, Ποταμὸς Νεμέα.] Λάγγια (Langia) νῦν καλούμενος, τὰς πηγὰς ἔχων ἐν τῇ ἀνωτέρω (σιλ. 165) μνημονευθείσῃ ὁμωνύμῳ Νεμέᾳ.

ΣΕΛΙΔ. 139, στ. 6, Τὴν μεταξύ.] Ἐκ ΔΓ, ΑΤ, Τῶν μεταξύ.

ΣΕΛΙΔ. 140, στ. 7, Ὡς προειρήκαμεν.] Ἀνωτέρω, σιλ. 67 καὶ 113.—Στ. 22, Συνιοῦσαι.] Ἐκ ΔΓ, ΑΤ, Συνοῦσαι.

ΣΕΛΙΔ. 141, στ. 1, Αὐτὰρ ὁ θυμόν.] Ἐκ τῆς Ἰλιάδος, υ', 403.—Στ. 14, Δὲ ἡ Ἑλίκη.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Δὴ Ἑλίκη.—Στ. 18, Κατ' αὐτόν.] Ἐκ ΔΓ, ΑΤ, Καθ' αὑτόν.

ΣΕΛΙΔ. 142, στ. 3, Ὁμάριον.] Ἐξ ΕΔ (ἴδ. τὰς εἰς τὸν Πολύβ. τόμ. 5, σιλ. 435, σημειώσ. τοῦ Schweighaeuser), ΑΤ, Ἀρνάριον. Ἔστι δὲ τὸ Ὁμάριον παρὰ τὸ Ὁμοῦ καὶ τὸ Ἄρω, τὸ ἁρμόζω, ὅθεν καὶ τὸ Ὁμηρεῖν (δωρικῶς Ὁμαρεῖν), ὃ ἐστι συμφωνεῖν καὶ συμψηφεῖν ἀλλήλοις περί τινος· ὅθεν καὶ Ὅμηροι, οἱ ἐπὶ πιστώσει τῶν συμπεφωνημένων διδόμενοι. « Ὁμηρεῖν, ὁμοῦ ἁρμόσθαι καὶ συμφωνεῖν,—Ὁμηρέταις, ὁμοψήφοις, ὁμογνώμοσι,—Ὁμαρὲς, ὁμοῦ συμφώνως » φησὶν Ἡσύχιος· καὶ, « Ὁμήρους, τὰ ἐνέχυρα, παρὰ τὸ Ὁμηρεῦσαι, ὃ ἐστι συντυχεῖν καὶ συμβαίνειν ἀλλήλοις περὶ τῶν διαφόρων »,

ὁ Φώτιος. Ἐνδέχεται δὲ φασιν οἱ κριτικοὶ καὶ συγκεκόφθαι τὸ Ὁμάριον παρὰ τὸ Ὁμαγύριον· οὕτω γὰρ καλεῖ τὸν Δία ἐπιθετικῶς ὁ Παυσανίας (ζ', 24) τὸν ἐν Αἰγίῳ, ὅπου συνήρχοντο οἱ σύμπαντες Ἀχαιοὶ περὶ τῶν κοινῶν βουλευσόμενοι. Ἰδὲ καὶ τὰ ἐν τοῖς ἑξῆς (σελ. 171) σημειωθησόμενα.—Στ. 11, Φλιοῦς.] Ὁ ἐν τῇ Ἀργείᾳ (οὐχ ὁ περὶ τὴν Σικυωνίαν) Φλιοῦς ἔοικεν οὗτος εἶναι, ὃν ἀνωτέρω (σελ. 168) ἐκ τοῦ Πτολεμαίου παρεθέμεθα.—Στ. 18, Εἶτα λέγει... γνωρίζεσθαι.] Ἔπειθε τὰ ἐν τῇ Γαλλικῇ μεταφράσει σημειωθέντα μοι περὶ τοῦ ἀμφιβαλλομένου τουδε χωρίου.—Στ. 19, Ἐμπλατύνασθαι.] Ἐκ ΔΓ, ΑΤ, Ἐμπλατύνεσθαι.—Στ. 23, Διηρημένοι.] Ἐκ ΔΓ, ΑΤ, Διηρημένη.—Μετὰ Σικυῶνα Πελλήνη... Δύμη καὶ Τριταιεῖς.] Τὴν μὲν Σικυῶνα, τὸ νῦν Βασιλικὸν ἔφαμεν εἶναι, αἰνιττομένης ἴσως τῆς νέας κλήσεως παλαιὰν ἱστορίαν, καθ' ἣν Ὅμηρος (Ἰλιάδ. β', 572) εἶρηκε,

Καὶ Σικυῶν', ὃθ' ἄρ' Ἄδρηστος πρῶτ' ἐμβασίλευεν.

Περὶ δὲ τῆς Πελλήνης ἐροῦμεν κατωτέρω (σελ. 171)· Αἴγειρα δ' ἐστίν, ὡς φασι, τὸ λεγόμενον Ξυλόκαστρον· τὰς δ' Αἰγὰς οὐχ εὕρηκα τὸν θυάξοντα. Τὴν Βοῦραν, ὁ μὲν Γεμίστος (παρὰ τῷ Ὀρτελίῳ) τὴν Περνίτσαν εἶναι λέγει, ὁ δὲ Μελέτιος (πιθανώτερον ἴσως) τὸ Διακοπτὸν, κείμενον οὐ κατακεχωρισμένου τοῦ ὀνόματος ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου πίνακι. Τὴν Ἑλίκην Τρυπιαν καλεῖ ὁ Γεμίστος· ἀλλ' ἔστιν ἴσως ἡ νῦν καλουμένη Βουλίκα, ἐφθαρμένου τοῦ ὀνόματος παρὰ τὸν μετὰ τοῦ δίγαμμα δωρικὸν τύπον Βελίκα. Αἴγιον ἐστὶν ἡ Βοστίτσα· αἱ δὲ Ῥύπες ἀγνοοῦνται, ὥσπερ καὶ οἱ Φαρεῖς· οἱ δὲ Πατρεῖς μετερρυθμίσθησαν εἰς τὴν θηλυκῶς καὶ ἑνικῶς λεγομένην Πάτραν· ὁ δ' Ἴλλενος, Καμενίτσα λέγεται, ὥσπερ καὶ ὁ παραῤῥέων ποταμὸς Πεῖρος, Ποταμὸς τῆς Καμενίτσας· ἡ δὲ Δύμη, Πάπας, κατὰ τὸν Μελέτιον· τοὺς Τριταιεῖς δὲ, τὴν νῦν Τρίτιναν εἰκάσαντες τὴν πρὸς ταῖς πηγαῖς τοῦ ποταμοῦ τῆς Καμενίτσας.

ΣΕΛΙΔ 143, στ. 2, παρ' ὃν Πεῖρος ποταμὸς μέγας.] Ἐξ Ἡροδότου (ἀ, 147) διώρθωκα τὸ χωρίον, ὥσπερ εἰκάσαι διορθωτέον εἶναι καὶ ὁ Κασωβών, ΑΤ, Παρ' ὃν ποταμὸς μέγας Μέλας. ΔΓ, Παρ' ὃν ποταμὸς Μέλας. Ἔστι δὲ Πεῖρος ὁ καὶ Ἀχελῶος (ὁμωνύμως τῷ κατὰ τὴν Ἀκαρνανίαν Ἀχελώῳ) καλούμενος, ὡς ἐν τοῖς πρόσθεν (σελ. 80) εἴρηκε Στράβων.—Στ. 15, Αἰγιαλόν.] Ἰδὲ ἀνωτέρω (Στράβ. σελ. 131).—Στ. 17, Οἱ Πλευρῶν'.] Ἐκ τῆς Ἰλιάδος, β', 639.—Στ. 19, Οἱ δέ τινες εἰς.] Ἐκ τῆς αὐτῆς, θ', 203.—Στ. 21,

Αἰγάς.] Ἐκ τῆς αὐτῆς, ν', 21 καὶ 34.—Στ. 26, Ὁ Κρᾶθις ῥεῖ ποταμός.] Κράτα νῦν ὀνομαζόμενος ϑηλυκῶς ἐν τῷ νεωτάτῳ πίνακι τῆς Πελοποννήσου· παρὰ δὲ τῷ Μελετίῳ μετὰ τοῦ πλεοναστικοῦ ᾱ, Ἀκράτα.

ΣΕΛΙΔ. 144, στ. 1, Ἑπτὰ ἢ ὀκτώ.] ΗΔ, ΑΤ, Ἑπτὰ καὶ ὀκτώ. Εἴρηκε δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 72), « Αἴγιον ἐξ ἑπτὰ ἢ ὀκτὼ » δήμων συνεπολίσθη, Πάτραι δὲ ἐξ ἑπτὰ, Δύμη δὲ ἐξ ὀκτὼ, κ. τ. λ. » —Στ. 5, Ἐν τοῖς ἀγῶσι.] Τοῖς καλουμένοις Ἑρμαίοις, διὰ τὸ εἰς τιμὴν τοῦ Ἑρμοῦ τελεῖσθαι. « Πελληνικαὶ χλαῖναι· διάφοροι, καὶ τοῖς » νικῶσι τὰ Ἑρμαῖα ἐδίδοντο » φησὶ Φώτιος. Τὴν δὲ Πελλήνην, οἱ μὲν Κερκόβαν, οἱ δὲ Ζαράχαν, οἱ δὲ Βλοκόβαν, καὶ ἄλλοι ἄλλως ὀνομάζεσθαί φασι νῦν (Ἰδ. Ὀρτέλιον, λέξ. Pellene, καὶ Μελέτιον, σελ. 361).—Στ. 6, Αἰγῶν.] Ἐκ ΔΓ, ΑΤ, Αἰγίου. Ἑτέρα ΔΓ, Αἰγαίου.—Στ. 15, Αἶξ ἱερή.] Ἐκ τῶν Ἀράτου Φαινομέν. στ. 163, 164.—Στ. 18, Κερύνεια.] ΔΓ, Κεραυνία. Ἕτεροι δὲ οὐδὲν μᾶλλον ὀρθῶς Κερώνειαν αὐτὴν ἐκάλεσαν, ὧν ἐστὶ καὶ ὁ Μελέτιος. Λέγει δὲ οὗτος Κερνίτζαν κοινῶς καλεῖσθαι, πλησίον τῆς Βούρας κειμένην.—Στ. 20, Ὁμάριον.] Ἐξ ΕΔ, ὥσπερ ἀνωτέρω (σελ. 169)· κἀκεῖ μὲν ΑΤ, Ἀρνάριον, ἐνθάδε δὲ, ΑΤ, Αἰνάριον.—Στ. 22, Σελινοῦς.] Οὗτος ἂν εἴη ὁ καλούμενος νῦν, Ποτάμι τῆς Βοσίτσας.

ΣΕΛΙΔ. 145, στ. 3, Βοῦραν ἱεράν τε καί.] ΗΔ, ΑΤ, Βοῦραν δ' ἱεράν τε καί. ΔΓ, Βοῦράν θ' ἱεράν καί.—Στ. 6, Τὸ Ῥίον, κατὰ τὸ Ἀντίῤῥιον.] ΗΔ, ΑΤ, Τὸ Ῥίον καὶ τὸ Ἀντίῤῥιον. Τὸ μὲν γὰρ Ῥίον ἐστὶν ἄκρα τῆς Πελοποννησιακῆς Ἀχαΐας, ἡ καὶ πάλαι καὶ νῦν Δρέπανον καλουμένη· κεῖται δ' ἀπέναντι τοῦ ἐν μεθορίοις τῆς Αἰτωλίας καὶ τῆς Λοκρίδος Ἀντιῤῥίου, ὡς ἐν τοῖς πρόσθεν (σελ. 70) εἴρηκε Στράβων.—Στ. 8, Στρατιάς.] Ἐκ ΔΓ, ΑΤ, Στρατείας.—Στ. 13, Ὁ Λάρισος ποταμός.] Ὁ νῦν Ῥίσος, ἀποβολῇ τῆς πρώτης συλλαβῆς, καλούμενος.—Στ. 16, Αὐτῷ.] ΗΔ, ΑΤ, Αὐτό. Ἀναφέρεται γὰρ πρὸς τὸ, Ἀντιμάχῳ.—Στ. 17, Καθάπερ ἐπάνω προείπομεν.] Ἐν τῇ τῆς Ἠλείας περιοδείᾳ (ἀνωτέρ. σελ. 80 καὶ 84).—Στ. 28, Ἄραξος.] Ἄκρα ἡ νῦν καλουμένη Πάπας ἢ Παπᾶς (ἴδ. σημ. ἀνωτέρ. σελ. 131), ἧς πρὸς νότον σημειοῦται ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου πίνακι ἑτέρα ἄκρα καλουμένη Καλογραία, καὶ μεταξὺ ἀμφοτέρων τὸ λεγόμενον Μαυροβοῦνι.—Στ. 29, Στάδια χίλια] Ἐκ τοῦ ἑμοῦ ἀντιγράφου, ΑΤ, Στάδιοι χίλιοι.

ΣΕΛΙΔ. 146, στ. 2, Κυλλήνη.] Σώζει καὶ νῦν τοὔνομα ἡ Κυλλήνη

(*Id. Vib. Seq.*, édit. Oberlin. pag. 308). Ἐν δὲ τῷ τῆς Πελοποννήσου πίνακι τῷ νεωτάτῳ, καὶ Βουνὸν τῶν Τρικάλων (Mont Tricala) ἔτι λέγεται.—Στ. 11, Μεγαλόπολις.] Οὐ τὸ νῦν Λεοντάρι, ὡς ἐπεισύστο τέως, ἀλλὰ τὸ Σίνανο καλούμενον ἐστὶν ἡ πάλαι Μεγαλόπολις, ἡ γοῦν περὶ τὰ τῆς Μεγαλοπόλεως ἐρείπια κεῖται.—Στ. 19, Μαντίνειαν.] Διαπεφωνήκασιν οἱ περιοδευταὶ περὶ τοῦ νέου τῆς πάλαι Μαντινείας ὀνόματος.—Στ. 21, Κλείτωρ.] Κλείτορας, νῦν.—Στ. 22, Φενεός.] Φονιᾶς, νῦν.—Μεθύδριον.] Ἴσως ἡ νῦν Μεττάγα (Mettaga), ἡ μεταξὺ δύο ποταμοῖων, ἢ ῥυάκων κειμένη, ὥσπερ δηλοῖ καὶ τοὔνομα Μεθύδριον.

ΣΕΛΙΔ. 147, στ. 1, Τεγέα.] Τὴν Ἐπισκοπὴν λεγομένην εἶναί φησιν ὁ Μελέτιος· ἕτεροι δ' ἀκριβέστερον τὴν νῦν Παλαιάπολιν καλουμένην οἴονται.—Στ. 5, Ῥίπην τε.] Ἐκ τῆς Ἰλιάδος, β', 606.—Στ. 7, Φολόη.] Ἡ νῦν Βουνὸν τῆς Δεμιτσάνας καλουμένη.—Λύκαιον.] Τὸ νῦν ὄρος Μίνθα καλούμενον, ἕτερον τῆς ἐν τοῖς πρόσθεν (σελ. 83) μνημονευθείσης Μίνθης, ἣν ὁ Μελέτιος τὸ νῦν λεγόμενον Ὀλωνὸν (ἢ ὡς φέρεται ἐν τῷ πίνακι τῆς Πελοποννήσου, Ὀλενὸν, Mont Oleno), καὶ κατ' ἄλλους Μίττεναν, φησὶν εἶναι.—Στ. 8, Μαίναλον.] Ῥοῖνον νῦν ὀνομαζόμενον, ὅπερ ἐκ τῆς Ἰταλῶν φωνῆς Rovina ἢ Ruina, τῆς δηλούσης τὸ ἐρείπιον, πεπλάσθαι οἴονταί τινες (Pouquevil. *Voyag. en Morée, tom. I, pag.* 226).—Παρθένιον.] Σώζει καὶ νῦν τοὔνομα τὸ ὄρος, τὸ Παρθένιον.—Στ. 11, Εἴρηται, καὶ τὸ περὶ Ἐρασῖνον κ. τ. λ.] Ἀνωτέρω σελ. 81, καὶ 122.—Στυμφαλίδος λίμνης.] Τῆς νῦν καλουμένης Βούλσης (Lac de Voulsi). Ὁ δὲ Γεμίζος (παρὰ τῷ Ὀρτελίῳ) καὶ ὁ Μελέτιος τὴν νῦν λεγομένην Ζαρακᾶν (Lac de Zaraca), τὴν ἐξ σχεδόν τε λεύγας Γαλατικὰς ἀπέχουσαν πρὸς Βορρᾶν τῆς Βούλσης.—Στ. 14, Ἀπέρασιν.] Ἐκ ΔΓ, ΑΤ, Ἀπέκρυσιν. Ἴδε τὰ ῥηθέντα μοι ἐν τοῖς πρόσθεν (Μέρ. Α, Προλεγομέν. σελ. πδ').—Στ. 16, Λάθων.] Οὗ καὶ ἀλλαχοῦ (Μέρ. Α, σελ. 77) ἐμνημόνευσε.—Στ. 19, Δι' ὧν ἦν ἡ φορά.] ΗΔ (συνάδουσα τοῖς ἀρχαίοις μεταφραστῆς) ΑΤ, Δι' ὧν νῦν ἡ φορά. ΔΓ, Δι' ὧν ἡ φορά.

ΣΕΛΙΔ. 148, στ. 6, Περὶ Φενεὸν δ' ἐστὶ καὶ τὸ καλούμενον Στυγὸς ὕδωρ κ. τ. λ.] Περὶ οὗ φησὶν ὁ Παυσανίας (η', 17), «Ἐκ Φενεοῦ » ἰόντι ἐπὶ ἑσπέρας καὶ ἡλίου δυσμῶν, ἡ μὲν ἀριστερὰ τῶν ὁδῶν ἐς » πόλιν ἄγει Κλείτορα, ἐν δεξιᾷ δὲ ἐπὶ Νώνακριν καὶ τὸ ὕδωρ τῆς » Στυγός.» Πρὸ αὐτοῦ δὲ καὶ Ἡρόδοτος (ς', 74) εἴρηκεν, «Ἡ δὲ

» Νώνακρις, ἐν τῇ ἡ πηγὴ αὕτη [τῆς Στυγὸς] τυγχάνει, πόλις ἐςὶ » τῆς Ἀρκαδίης πρὸς Φενεῷ ». Ἐκαλεῖτο δὲ καὶ Νωνάκρια τετρασυλλάβως, καὶ ἔςιν ἡ νῦν καλουμένη Ναύκρια, ἡ πρὸς ταῖς πηγαῖς τοῦ Κράθιδος ποταμοῦ κειμένη, ᾗ δῆλον καὶ ἐκ τοῦ Παυσανίου (ἡ, 18) λέγοντος, ὅτι τὸ τῆς Στυγὸς ὕδωρ τὸ παρὰ τὴν Νώνακριν α θιε» ξελθὸν διὰ τῆς πέτρας εἰς τὸν Κράθιν ποταμὸν κάτεισι. »—Στ. 11-17, Ἐπὶ μὲν Αἴγιον... τρισχιλίους.] Ὅλον τοῦτο τὸ χωρίον προσέθηκα ἐξ ἀντιγράφων, ἀναπληρώσας ἐξ εἰκασίας καὶ τὰ ἐν αὐτοῖς κενὰ διαςήματα· περὶ ὧν ἐπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. III, pag. 284, not. 1).—Στ. 25, Καὶ τῶν περὶ τὴν Ἀκτήν.] ΗΔ (τουτέςι, τῶν περὶ τὴν Ἀκτὴν πόλεων), ΑΤ, Καὶ περὶ τὴν Ἀκτήν. Ἐν δὲ τοῖς ἀντιγράφοις διάςημα κενὸν εὕρηται μεταξὺ τοῦ συνδέσμου καὶ τῆς προθέσεως. Ἀκτὴν δὲ ἰδίως ὠνόμαζον τῆς Πελοποννήσου τὴν πρὸς ἕω χώραν, ἐν ᾗ ἦν Μεθώνη, Ἐπίδαυρος καὶ Τροιζήν. Ἴθι τὰς Γαλλικὰς σημειώσεις καὶ περὶ τούτων, καὶ περὶ τῶν ἑξῆς ὀνομάτων.

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΣΕΛΙΔ. 149, στ. 6, Τὸν Κρομμυῶνα.] Ἀρσενικῶς ἐνθάδε, ἢν ἀνωτέρω (σελ. 135) θηλυκῶς ἐξήνεγκε, πλὴν εἰ μὴ γραφικῶς ἡμάρτηται.

ΣΕΛΙΔ. 150, στ. 2, Καὶ συμπάσης τῆς.] Ἐκ ΔΓ, ΑΤ, Συμπάσης τε τῆς.—Στ. 3, Νομίζει.] Ἐκ ΔΓ, ΑΤ, Νομίζειν· φέρεται γὰρ πρὸς τὸν Εὔδοξον. Τί δ' ἐνόμιζε περὶ τῆς ἀπὸ Σουνίου ἠϊόνος, χαλεπὸν εἰδέναι, τῶν ἀντιγράφων ἐνταῦθα, ὥσπερ καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις τοῦδε τοῦ βιβλίου χωρίοις, δεινῶς κεκολοβωμένων. Τὸ δὲ Σούνιον ὀνομάζεται νῦν ὑπὸ τῶν ναυτιλλομένων capo Colonne, ὅ ἐςιν, Ἄκρα στηλῶν, ἀπὸ τῶν ἔτι συμμενόντων ἐρηριμμένων κιόνων τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς τῆς ἐπονομασθείσης Σουνιάδος.—Στ. 4, Εἰ μὴ προσῆν τῇ.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον, καίπερ οὐδὲν πλέον συντεῖνον εἰς ἀπάρτισιν τοῦ χωρίου.—Στ. 5, Καὶ τὴν ἀκτήν.] Περὶ ἧς ἐπιθι τὰ μικρὸν ἀνωτέρω ἐν τῇδε τῇ σελίδι σημειωθέντα.—Στ. 6, Τοιαύτην.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Τοσαύτην.—Στ. 14, Ἐπὶ μακρόν.] Ἐξ ΕΔ, ΑΤ, Ἐπίμηκτον.—Στ. 16, Πειραιεύς.] Porto-leone, ὅ ἐςι Λειμὴν λέοντος, νῦν καλούμενος.—Στ. 19, Παγάς.] ΗΔ (θωρικὶ, ὥσπερ ἀνωτέρω, Στράβ. σελ. 68 καὶ 135),

ΑΤ, Πηγάς.—Στ. 21, Πρὸς... ἄρκτον.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου τὸ μεταξὺ τῆς προθέσεως καὶ τοῦ ὀνόματος κενόν.

ΣΕΛΙΔ. 151, στ. 5, Τῆς τρίτης Χερρονήσου.] Περὶ ἧς ἐν τοῖς πρόσθεν (σελ. 68) εἴρηκε.—Στ. 12, Ἀφ' ἥσπερ ἀπελίπομεν.] ΗΔ, ΑΤ, Ἐφ' ἧς παρεπέμπομεν. ΔΓ, Ἐφ' οἷς παραπέμπομεν. Πιζοῦται δέ μου τὴν διόρθωσιν ἕτερα χωρία παραπλήσια, ὧν ἐγὶ καὶ τὸ ἑξῆς (σελ. 471), « Ἐπάνιμεν δὲ ἐπὶ τὴν παραλίαν, ὅθεν περ ἀπελίπομεν· πρὸς δὲ καὶ ὁ Ἰταλὸς μεταφραστὴς, ἑρμηνεύσας, da quella che abbiamo lasciata. Λέγει δὲ τὴν κατὰ Κρομμυῶνα παραλίαν, ἐν ᾗ ἐτελεύτα ἀνωτέρω (σελ. 135), καὶ ἀφ' ἧς νῦν ἐπαναλαμβάνει τὴν περιοδείαν.—Στ. 21, Ἀργίζην, Σκείρωνα κ. τ. λ.] Γνωρίζεται νῦν ἐν Ἀθήναις τῷ Ἰταλικῷ ὀνόματι, Γραικοτραμοντάνα, (Greco-tramontana), ὁ σκαιὸς οὗτος Ἀργέστης ἢ Σκείρων, ὀλέθριος πολλάκις φυτοῖς ἄλλοις τε καὶ ταῖς ἐλαίαις (Chandler, *Voyag. dans l'Asie min. et dans la Grèc.* tom. III, pag. 36.).—Στ. 23, Νισαίκ.] Ἧς ὁ χῶρος νῦν Δώδεκα Ἐκκλησίαι καλεῖται (Chandler, *ibid. pag.* 190).

ΣΕΛΙΔ. 152, στ. 5, Νομίζων.] Ἰσ.γρ. Ὀνομάζων, καθάπερ εἴκασεν ὁ Κασωβών.—Στ. 7, Οἱ δ' ἀρ' Ἀθήνας.] Ἐκ τῆς Ἰλιάδος, β, 546.—Στ. 11, Ἔνθα δέ.] Ἐκ τῆς αὐτῆς, ν, 685.—Στ. 21, Οἵ τε δὴ τὴν Ἀτθίδα συγγράψαντες.] Οἷοι ἦσαν Φιλόχορος, Ἄνδρων (οὗς μετ' ὀλίγα ὀνομάσει), Κλειδήμος, Δήμων, Φανόδημος καὶ ἕτεροι, ὧν ἕκαστος ἀρχαιολογίαν Ἀττικὴν συνέταξεν, ἐπιγράψας Ἀτθίδα· τῶν δ' Ἀτθίδων τούτων οὐδεμίαν ὁ χρόνος εἰς ἡμᾶς ἀφικέσθαι συνεχώρησεν.—Στ. 24, Καὶ τετάρτου.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τοῦ τετάρτου.—Στ. 26, Μέχρι τοῦ Πυθίου.] Ἐκ ΔΓ προσειληφα τὸ ἄρθρον. Τὸ δὲ Πύθιον ἐν τοῖς ἀγνώστοις ἐγί.

ΣΕΛΙΔ. 153, στ. 1, Ἄνδρων.] Ἰσ.γρ. Ἀνδροτίων, ὥσπερ εἴκαζεν ὁ Κασωβών.—Στ. 5, Ἐμοὶ μὲν ἀπελθεῖν... τῷ δὲ Λύκῳ.] Ἐχώρισα ταῦτα τοῦ πεζοῦ μέρους τοῦ χωρίου (συγκεχυμένα παρὰ τοῖς πρὸ ἡμῶν), εἰς δύο στίχους τάξας, ὧν ὁ δεύτερος κολοβός ἐγιν. Ὁ δὲ Κασωβὼν ἀνεπλήρου καὶ τοῦτον, ἑτέρως τάττων τοὺς στίχους·

Πατὴρ δ' ἀπελθεῖν ὥρισ' εἰς ἀκτὴν ἐμοὶ,
Πρισβεῖα νείμας τῆσδε γῆς· τῷ δ' αὖ Λύκῳ.

—Στ. 7, Νέμει.] ΗΔ, ΑΤ, Νέμω.—Στ. 8, Ὅμωρον.] ΗΔ, ΑΤ, Ἀνώμαλον, ὅπερ ὁ Γερμανὸς ἐκδότης ἀπεδέξατο ἐξ ἐξ ΕΔ, ΑΤ,

Ὅμαλον. ΔΓ, Ὁμάνδον : Ὅμωδον : Ὅμωδλον : Ὅμορον. Ἀντὶ τῆς τελευταίας ταύτης ἔγραψα διὰ τὸ μέτρον, Ὅμωρον.—Ἐξαιρεῖ.] Ἐξ ΕΔ, ΑΤ, Ἐξαίρει.—Στ. 20, Παροξυνόντων.] ΗΔ, ΑΤ, Παροξυνάντων.

ΣΕΛΙΔ. 154, στ. 2, Μέχρι καὶ νῦν.] Ἐκ ΔΓ, προσείληφα τὸν σύνδεσμον.—Στ. 9, Ὄνεια ὄρη.] Τὰ νῦν καλούμενα, Μακροπλάγι (Chandler, *Voyag. dans l'Asie min. et en Grèc. tom. III, pag.* 196), ὃ μεθερμηνεύσαις ἂν Γαλλιστὶ, long coteau, Πλάγιον καλούντων ἡμῶν, καὶ Πλαγιάδα, τὰ γεώλοφα πλευρὰ τῶν ὀρῶν, παρ' ὃ καὶ τῶν Γάλλων ἡ plage, ἡ δηλοῦσα τῆς παραλίας ἐκεῖνα τὰ χωρία, ἐν οἷς ἐστὶν ὁρμίσασθαι πρὸς ὀλίγον.—Στ. 11, Κρίσσαν.] Κρέουσαν (περὶ ἧς ἐν τοῖς ἑξῆς, σελ. 172), διορθοῦν ἠβούλετο ὁ μακαρίτης Δουθείλης.—Στ. 14, Σκλαμίς.] Ἡ νῦν καλουμένη Κουλοῦρι, ἀπὸ τοῦ σχήματος δηλονότι τῆς Κολλύρας, ἥ ἐστι τὸ ἐν τῇ συνηθείᾳ Κολούριον, ἢ Κουλούριον, τὸ σημαῖνον τὰ τροχοειδῆ πεμμάτια, τὰ παρὰ τοῖς Ἰταλοῖς λεγόμενα Ciambelle.—Στ. 18, Αἴγινα.] Ὥσπερ καὶ νῦν ὀνομάζεται. Τὸ δὲ μαρτύριον ἐκ μὴ σωζομένου δράματος Αἰσχύλου.—Στ, 23, Ἔτι Σκίρα.] Ἐξ ΕΔ, ΑΤ, Ἐπισκίρωσις. ΔΓ, Ἐπισκίρω : Ἐπὶ σκίρω. Καὶ ἔστιν ὁ τύπος οὐδέτερος πληθυντικὸς, Τὰ Σκίρα· ἡ δὲ Σκίρα (θηλυκῶς), γῆ ἐστὶ λευκὴ ὥσπερ γύψος, φησὶν ὁ Φώτιος (λέξ. Σκίρον).—Στ. 24, Ἀφ' οὗ δὲ... καὶ Κυχρείδης.] ΗΔ, ΑΤ, Ἀφ' οὗ δὴ καὶ Κυχρείδης. Καὶ τὸ μὲν, Ἀφ' οὗ δὲ, ἀναμφίλεκτόν μοι δοκεῖ, διὰ τὸ προηγησάμενον, Ἀφ' οὗ μέν· ἔστιξα δὲ τρὶς μετὰ τὸν σύνδεσμον, διὰ τὸν ἑπόμενον ἕτερον σύνδεσμον, ἔμφασιν τοῦ λείπειν τι παρεχόμενον. Εἰ δὲ βούλει τοῦτον διαγράφειν, διάγραφε καὶ τὰς στιγμὰς, καὶ ἀναγίνωσκε πεπληρωμένως, Ἀφ' οὗ δὲ, Κυχρείδης.

ΣΕΛΙΔ. 155, στ. 3, Ἐπάρξαντας.] ΗΔ, ΑΤ, Ὑπάρξαντας.—Στ. 14, Αἴας.] Ἐκ τῆς Ἰλιάδος, β', 557.—Στ. 22, Ἔνθ' ἔσαν.] Ἐκ τῆς αὐτῆς, ν', 681.—Στ. 23, Ἐπιπωλήσει.] Οὕτως ὀνομάζει τὴν Δ ῥαψῳδίαν τῆς Ἰλιάδος, ἐξ ἧς εἰσὶν (στ. 317) οἱ ἐχόμενοι στίχοι, Εὗρ' υἱὸν, κ. τ. λ.

ΣΕΛΙΔ. 156, στ. 2, Ἦλθε.] Ἐκ τῆς Ἰλιάδος, δ', 273.—Στ. 4, Ἰδομενεύς.] Ἐκ τῆς αὐτῆς, γ', 230.—Στ. 10, Τρίποδες.] Ἐκ ΔΓ, ΑΤ, Τρίποδοι.—Στ. 20, Τῆς τε Μεγαρικῆς.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 21, Κέρατα.] Οὕτω καλοῦνται καὶ μέχρι δεῦρο. Ἴδε τὸν νεώτατον τῆς Πελοποννήσου πίνακα.—Στ. 22, Ἐλευσίς.] Ἐκ

ΔΓ (συναδώσης τῇ κατωτέρω, σελ. 160, γραφῇ καὶ τῇ τοῦ Γερμανοῦ ἐκδότου κρίσει), ΑΤ, Ἐλευσίν. Καλεῖται δὲ νῦν Δευσίνα. —Στ. 23, Ἰκτινος.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, καὶ τῆς Κασωβῶνος (ἐν Ἀμφελοδάμῳ) ἐκδόσεως, ΑΤ, Ἰκτῖνος.

ΣΕΛΙΔ. 157, στ. 5, Φαρμακοῦσσαι δύο νησία.] Ἀπὸ τῆς φαρμακοῦ Κίρκης οὕτω κληθέντα· νῦν δὲ καλοῦνται τὸ μὲν, Μεγάλη Κυρά, θάτερον δὲ, Μικρὰ Κυρά, (Chandler, *Voyag. dans l'Asie min. et en Grèce, tom. III, pag.* 157), ἐξ ἀρχαίας ἴσως παραδόσεως, διὰ μὲν τῆς μεγάλης Κυρᾶς τὴν Κίρκην αἰνιξαμένων εὐφήμως, διὰ δὲ τῆς μικρᾶς, τὴν Μήδειαν ἴσως, φαρμακὸν οὖσαν καὶ ταύτην, προσέτι δὲ καὶ τῆς Κίρκης ἀνεψιὰν μυθευομένην ὑπό τινων εἶναι. Κατὰ παραπλήσιόν τινα εὐφημισμὸν καὶ τοῖς δεισιδαιμονοῦσι τῶν ἡμετέρων αἱ Νηρηΐδες οὐ μόνον Νηραΐδες, ἀλλὰ καὶ Καλαὶ Ἀρχόντισσαι καλοῦνται.—Στ. 7, Κορυδαλός.] Τῆς νῦν ὀνομαζομένης Δάφνης, ὄρους δικορύφου, μέρος ἐστὶν ὁ Κορυδαλὸς, ὡς ἐσημειώσατο ὁ Ἄγγλος ἐκδότης ἐκ τοῦ Οὐελήρου.—Στ. 9, Ψυτταλία.] Λειψοκαταλία νῦν καλεῖται βαρβαρωτάτως, εἴ γε ὀρθῶς ἤκουσαν τῶν ἐγχωρίων οἱ ξένοι περιοδευταί.—Λήμνιν.] Ἐξ ΕΔ, ΑΤ, Λιμένα.—Στ. 11, Καὶ ἄλλο νησίον.] Ἴσως φησὶν ὁ Κασωβὼν τὸ ὑπὸ τοῦ Παυσανίου καλούμενον, Πατρόκλου νῆσον.—Στ. 14, Χερρονησιάζων.] Ἐκ ΔΓ, ΑΤ, Χερρονησίζων.—Στ. 21, Ταῖς τετρακοσίαις ναυσίν.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 158, στ. 17, Ἐκεῖ σημεῖον.] Ἐξ ΕΔ, ΑΤ, Ἔχει τι σημεῖον. ΔΓ, Ἔχει σημεῖον.—Στ. 20, Ἀλλ' οὗτος μὲν ἑνὸς μόνου ξοάνου τῶν ἐν τῇ Ἀκροπόλει μέμνηται.] ΔΓ (ἐκ τοῦ ἐμοῦ ἀντιγράφου οὐκ ἀπίθανος), Οὗτος μὲν οὖν ἐμνήσθη τῶν ἐν Ἀκροπόλει σημείων. Ἴσως γραπτέον, Οὗτος μὲν οὖν μόνων ἐμνήσθη τῶν ἐν Ἀκροπόλει σημείων.

ΣΕΛΙΔ. 159, στ. 1, Τὴν ΤΗΣ Ἑλένης... καὶ τὴν ΥΠΟ ΤΩΝ Διοσκούρων.] Ἐκ ΔΓ προσείληφα τὰ κεφαλαίοις γράμμασι σημειούμενα.—Στ. 3, Μαραθών.] Μαραθώνας νῦν καλούμενος· τόπος ἀείμνηστος, ὅθεν καὶ ὁ οὐθὲν ἧττον ἄξιος μνήμης ὅρκος, « Οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας! » ὃν χρὴ τοὺς ὀρεγομένους τῆς Ἑλληνικῆς σοφίας καὶ δόξης νέους Ἕλληνας, ἕναυλον σώζειν ταῖς ἀκοαῖς, ἐπιλέγοντας καὶ χωρὶς ἕκαστον, καὶ ὁμοῦ σύμπαντας, Οὐκ ἀποσησόμεθα ἧς καλῶς ποιοῦντες ἠρξάμεθα παιδείας, οὐ μὰ τοὺς ἐν ἔργοις καὶ λόγοις ἐλλάμψαντας προγόνους ἡμῶν!—Στ. 4, Ῥαμνοῦς.]

Ῥαμνοῦς.] Τὸ νῦν καλούμενον Ἑβραϊόκαστρον, ἐν ᾧ δείκνυται καὶ τὰ ἐρείπια τοῦ ναοῦ τῆς Νεμέσεως.—Στ. 8, Φυλή.] Ἡ νυν λεγομένη Βιγλόκαστρον.—Στ. 10, Λευκόριον.] Ἴδε Φώτιον (λέξ. Λευκόριον).

ΣΕΛΙΔ. 160, στ. 11, Πότιμον εἶναι, μετέβαλε δὲ ὕστερον;] ΔΓ, Ποταμὸν εἶναι, μετέβαλε δὲ ὕστερον· ἥτις ὑπονοεῖν παρέχει μήποτε ἦν ἡ ἀρχαία γραφή, Ποταμὸν εἶναι, μεταβαλὸν ὕστερον.—Στ. 15, Προσθήσειν.] ΠΔ (μετοχικῶς) ΑΤ (ἀπαρεμφάτου) Προσθήσειν.—Στ. 20, Θόρικος.] Σώζει καὶ νῦν τοὔνομα σχεδόν τι, Θέρικο γραφόμενος ἐν τοῖς πίναξι.—Βρυρών.] Βούρβα νῦν καλούμενος· ὁ δὲ Ἄγγλος περιοδευτὴς (Chandler, *Voyag. dans l'Asie min. et en Grèce, tom. III, pag.* 109 *et* 445) τὴν Βρόυναν (ἕτερον τῆς Βούρβας κωμύδριον, πλησίον κειμένου τοῦ Μαραθῶνος) οἴεται εἶναι τὸν Βραυρῶνα.—Κύθηρος.] Ἴσως ἐστὶν ἡ νῦν Κεράτεια, ἢ Κερατία· ἦν οὐκ ὀθὼς ὁ Ἄγγλος περιοδευτὴς (Chandler *ibid. pag.* 113 *et* 444) τὸν Θόρικον εἰκάσειν εἶναι· τὸ δ' οὖν ὄνομα, εἴτε Κερατίαν, εἴτε διὰ διφθόγγου Κεράτειαν γράφοις, οὐκ ἀπὸ τοῦ φυτοῦ τῆς Κερασίας ἐστὶν, ὡς ὑπέλαβον οἱ μεθερμηνεύσαντες Village des cerises.—Στ. 21, Κηφισία.] ΔΓ, Κηφισία : Κηφισσία. Σώζει καὶ μέχρι δεῦρο τοὔνομα.—Φαληρός.] Ὁμώνυμος τῷ λιμένι Φαληρῷ, τῷ νῦν καλουμένῳ Λιμένι τοῦ ἁγίου Νικολάου, ἢ Φανάρι (Port Saint-Nicolas, ou Fanari)· καὶ ἔοικεν ἡ δευτέρα κλῆσις, Φανάρι, παραφθορὰ εἶναι τοῦ Φαληροῦ, κατὰ τροπὴν τοῦ Λ εἰς Ν.—Πάλιν δ' ὕστερον.] Ἱστορ. Πολὺ δ' ὕστερον.

ΣΕΛΙΔ. 161, στ. 8, ΤΩΝ Θεοφράστου τοῦ φιλοσόφου ΓΝΩΡΙΜΩΝ.] Ἐκ ΔΓ, ΑΤ, ΤΟΝ... ΓΝΩΡΙΜΟΝ.—Στ. 10, Τὰ ὑπομνήματα, ἃ συνέγραψε κ. τ. λ.] Ἦν δὲ ταῦτα τὸ Περὶ νόμων, τὸ Περὶ νομοθετῶν, τὰ Πολιτικά, ἕτερα Πολιτικὰ πρὸς τοὺς καιρούς, Πολιτικὰ ἔθη, τὸ Περὶ τῆς ἀρίστης πολιτείας, καὶ ἄλλα, ὧν εὑρήσεις τὸν κατάλογον παρὰ Διογένει τῷ Λαερτίῳ.—Στ. 18, Ὁ Βασιλεύς.] Ὁ Μιθριδάτης.—Στ. 27, Μακρά.] Διαγραπτέον ἴσως τὴν λέξιν, ἄλλως τε καὶ λείπουσαν ἐν οὐκ ὀλίγοις τῶν ἀντιγράφων.—Στ. 28, Ζωστήρ.] Cap Halikes, Ἄκρα Ἁλίκη, ἢ μᾶλλον Ἁλυκή, νῦν ὀνομαζόμενος ὑπὸ τῶν ναυτιλλομένων.

ΣΕΛΙΔ. 162, στ. 1, Φάβρα.] ΔΓ Φαύρα. Ἔτι δ' ἡ νῦν Φαλκοῦδι, ἢ Φλέγα (Ile Falcoudi ou Flega) σημειουμένη ἐν τοῖς πίναξι.—Ἐλαιοῦσσα.] Ἡ νῦν Ἐλίσα, ἢ Νῆσος Γαλλικὴ (Elisa, ou Ile

Française) προσαγορευομένη.—Στ. 2, Πανεῖον.] Ἄντρον τῷ Πανὶ καθιερωμένον, κείμενον νῦν κατά μέν τινας περὶ τὴν Βάριν (Vari) τὴν πρὸς τῇ νήσῳ Φάβρᾳ, καθ' ἑτέρους δὲ, περὶ τὴν ἀπέναντι τῆς Ἐλαιούσσης νήσου κειμένην Ἔλιμβον (Elimbo), καὶ κατ' ἄλλους ἄλλως.—Στ. 3, Κωλιάδος... ἱερόν.] Τὸ κατὰ τὴν ὁμώνυμον ἄκραν Κωλιάδα, τὴν νῦν καλουμένην Τριπῦργι. Ἴδε τὰς εἰς τὸν Chandler, *Voyag. dans l'Asie min. et en Grèce, tom. III, pag.* 441, σημειώσεις.—Στ. 7, Φρίξουσι.] Γραπτέον εἶναί τινες εἶκασαν Φρύξουσι, παρὰ τὸ Φρύγω.—Στ. 8, Πρόκειται δὲ καὶ τούτων τῶν τόπων Βέλβινα νῆσος.] Γραπτέον οἶμαι, διαγράφοντας τὸν δεύτερον σύνδεσμον (ὃν καὶ οἱ Λατῖνοι μεταφράσαι παρέλιπον), καὶ τὸ, Τῶν τόπων, καὶ προσλαμβάνοντας τὸ θηλυκὸν ἄρθρον, Πρόκειται δὲ τούτων ἡ Βέλβινα νῆσος, ἤγουν μετατιθέντας τὸν σύνδεσμον, Πρόκειται δὲ τούτων καὶ ἡ Βέλβινα νῆσος· ἡ αὐτὴ γάρ ἐστι τῇ ἀνωτέρω (Σημ. σελ. 163) μνημονευθείσῃ, καὶ οὐχ ἑτέρα. Καὶ ὁ Ἰταλὸς δὲ μεταφραστὴς ἐνάρθρως ἡρμήνευσε, L'isola Belbina è medesimamente innanzi a questi luoghi.—Στ. 9, Ὁ Πατρόκλου χάραξ.] Ἔστι τὸ νῦν Γαδαρονῆσι λεγόμενον. Ὁ δὲ Πάτροκλος ναύαρχος ἦν Πτολεμαίου, τῆς Αἰγύπτου βασιλέως, σταλεὶς ἐπίκουρος Ἀθηναίοις κατὰ Ἀντιγόνου, καὶ τεῖχος οἰκοδομησάμενος ἐν τῇ νήσῳ ταύτῃ (Παυσαν. ἀ, 1).—Στ. 11, Ποταμός.] Περὶ τὸ νῦν καλούμενον χωρίον Μαρκόπολι (Marcopoli), ὥς φησιν ὁ Ἄγγλος περιοδιστὴς (Chandler, *tom. III, pag.* 113). Ἕτεροι δὲ (*ibid. pag.* 444) τὸ μὲν χωρίον Μαρκόπουλο (Marcopoulo) καλοῦσιν· οὐ μέντοι κεῖσθαι πλησίον αὐτοῦ τὸν πάλαι καλούμενον Ποταμὸν φασιν, ἀλλ' ἑωθινώτερον ἐπὶ τῇ θαλάσσῃ κατὰ τὸν καλούμενον, Ῥάπτου λιμένα (Port Raphti).—Στ. 12, Πρασία.] Ἡ κοινῶς νῦν λεγομένη Πρασά.—Στ. 18, Τρικόρυθος.] Calivi de Chouli ὀνομάζουσι καὶ γράφουσι τὸν δῆμον τοῦτον οἱ νεώτεροι περιοδευταί. Ἴδε τὴν Γαλλικὴν τοῦ Στράβωνος μετάφρασιν (tom. III, pag. 390, not. 3).—Στ. 20, Ἀμφιάρειον.] Ἐκ ΔΓ (συναδούσης τῇ ἐν τοῖς ἑξῆς, σελ. 170, γραφῇ), ΑΤ, Ἀμφιαράειον.—Στ. 25, Ὠρωπός.] Σώζει καὶ νῦν ἔτι τοὔνομα.—Στ. 27, Νῆσος Ἑλένη.] Ἡ νῦν Μακρονῆσι καλουμένη, διὰ τὸ παράμηκες τοῦ σχήματος.

ΣΕΛΙΔ. 163, στ. 3, Οὐδ' ὅτε σε.] Ἐκ τῆς Ἰλιάδος, γ', 443.—Στ. 6, Τὴν νῦν Ἑλένην.] Ἴσως ἐγέγραπτο, Τὴν νῦν Ἑλένην λεγομένην.—Στ. 7, Ἡ Εὔβοια.] Ἡ νῦν Εὔριπος, ἀπὸ μέρους, τοῦ

Εὐρίπου, οὕτω κληθεῖσα, περὶ οὗ ἐν τοῖς ἑξῆς (σελ. 165 καὶ 169) ἐρεῖ ὁ Στράβων.—Στ. 10, Λευκὴν ἀκτήν.] Cap Mantelo καλοῦσιν αὐτὴν οἱ νεώτεροι περιοδευταί.—Στ. 14, Τὰ μὲν ἐν.] Ἐκ ΔΓ, ΑΤ, Ἃ ἐν.—Ὑμηττός.] Τελοβοῦνι (Telobouni) νῦν ἐν τῷ γεωγραφικῷ πίνακι γράφεται· παρὰ δὲ τῷ ἡμετέρῳ Μελετίῳ, Τηλεβοῦνι. Εἰσὶ δ' οἳ καὶ Τρελοβοῦνι φασὶν αὐτὸ καλεῖσθαι.—Στ. 15, Βριλησσός.] Ὁ μὲν Ἄγγλος περιοδευτὴς (Chandler, *Voyag.*, etc. *tom. III, pag.* 46) Νοζέαν (Nozea) νῦν καλεῖσθαί φησι τὸν Βριλησσόν· παρὰ δὲ τῷ Μελετίῳ γράφεται, Ὀζειάς.—Πάρνης.] Ὁ Ἄγγλος περιοδευτὴς (tom. III, σελ 45) Casha γράφει τὸ νῦν ὄνομα τοῦ Πάρνηθος· ὁ δὲ τοῦ Βαρβίου Βοκάγου (Barbié du Bocage) πίναξ, ὅπερ ἔφαμεν ὄνομα τοῦ Βριλησσοῦ, τὴν Νοζέαν, τῷ Πάρνηθι προσγράφει.—Στ. 16, Πεντελικῆς.] Ἀπὸ Πεντέλης, δήμου τῆς Ἀττικῆς, καὶ τοῦ πλησίον ὄρους Πεντελικοῦ καλουμένου, ὃ καὶ νῦν ἔτι τῷ αὐτῷ σημαίνεται ὀνόματι (Penteli) ἐν τῷ γεωγραφικῷ πίνακι. Ὁ δὲ Μελίτιος οὐκ ὀρθῶς τὸν Πάρνηθα νῦν καλεῖσθαι Πεντέλην ὑπέλαβε.—Στ. 26, Κηφισσός.] Τὸ αὐτὸ ὄνομα σώζει ἐν τῷ γεωγραφικῷ τῶν νεωτέρων πίνακι· ὁ δὲ Μελέτιος Καλλιῤῥόην αὐτὸν καλεῖσθαί φησιν, συγχείας, οἶμαι, τὸν ποταμὸν τῇ κρήνῃ, τῇ πρότερον μὲν Καλλιῤῥόῃ, εἶτα δὲ Ἐννεακρούνῳ ὠνομασμένῃ (Θουκυδ. β', 15).—Τρινεμιῶν.] ΔΓ, Τρινεμίων. Πιθανῶς εἶκασεν ὁ Κασωβὼν γραπτέον εἶναι Τρινεμέων. Τρινεμεῖς γὰρ δῆμος τῆς Ἀττικῆς καλούμενος ἱστόρηται.

ΣΕΛΙΔ. 164, στ. 4, Ἔτι δὲ τοιοῦτος μᾶλλον.] Ἐκ ΔΓ, ΑΤ, Ἔτι δὲ τοιοῦτος μάλιστα.—Στ. 9, Βοιωτίᾳ.] Ἡ νῦν Λεβαδία καλουμένη, διὰ τὸ κάθυγρον ἴσως τῆς χώρας, ἢ μᾶλλον, ἀπὸ μέρους, τῆς ἐν αὐτῇ ἐπισήμου διὰ τὸ Τροφωνίου μαντεῖον πόλεως Λεβαδείας, τῆς νῦν ὀνομαζομένης Λεβαδείας, καθά φησιν ὁ Μελέτιος.—Στ. 11, Ἐλέγομεν.] Ἐξ ΕΔ, ΑΤ, Λέγωμεν.—Στ. 12, Θεσσαλονίκης.] ΔΓ (γνησιωτέρα, διὰ τὸ ἔθος τοῦ Στράβωνος) Θετταλονίκης.—Ἐκκλίνουσαν... ἔχουσαν τὴν θάλατταν.] Ἐκ ΔΓ (συμφωνεῖντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου) πλὴν ὧν προσέθηκα σιγμῶν, διὰ τὸ ὕποπτον τοῦ χωρίου, ΑΤ, Ἐκκλίνουσαν τὴν ὑπερανέχουσαν θάλασσαν.—Στ. 18, Παγάς.] ΗΔ, ΑΤ, Πηγάς.—Στ. 19, Τὴν μέχρι.] Ἐκ ΔΓ, προσείληφα τὸ ἄρθρον, οὐ σαφέστερον οἰόμενος καταστῆσαι τὸ χωρίον, ἀλλ' ἑτέροις ἀφορμὰς διασαφήσεως, εἰ δυνατὸν, παρασχεῖν βουλόμενος.—Στ. 25, Διαφέρουσα.] Ἐκ ΔΓ, ΑΤ, Διαφέρει.

ΣΕΛΙΔ. 165, στ. 6, Τὴν Ταναγρικήν.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 10, Δὲ, ὅτι καί.] Ἐκ ΔΓ, ΑΤ, Δὲ καὶ, ὅτι.—Στ. 14, Ἀγωγῇ δὲ καὶ παιδείᾳ μὴ χρησαμένους ἐπιτηδείᾳ τοὺς ἀεὶ κ. τ. λ.] ΗΔ, ΑΤ, Ἀγωγῇ δὲ καὶ παιδείᾳ μὴ χρησαμένους, ἐπεὶ μηδὲ τοὺς ἀεί. ΔΓ, Ἀγωγῇ δ' ἐπιτηδείᾳ μὴ χρησαμένους τοὺς ἀεί.—Στ. 16, Μακρόν.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφήν, ΑΤ, Μακρόν.—Ἐπαμινώνδας.] ΗΔ, ΑΤ, Ἐπαμεινώνδας. ΔΓ, Ἐπαμενόνδας. Οὐδετέρα τῶν γραφῶν, οὔθ' ἡ διὰ διφθόγγου, οὔθ' ἡ διὰ τοῦ τ, τοῦ κλεινοῦ τούτου ὀνόματος ἐρρῶσθαί μοι δοκεῖ· προειλόμην ὅμως ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς τὴν διὰ τοῦ τ, ὡς καὶ παρὰ πολλοῖς ἑτέροις συγγραφεῦσι φερομένην, καὶ πολλοῖς τῶν κριτικῶν δοκιμασθεῖσαν. Παρὰ γὰρ τὰς δύο ταύτας οὐκ ἔςιν ἄλλη, οὐδὲ νομισμάτων εὑποροῦμεν ἀρχαίων τοὔνομα τοῦ Θηβαίων στρατηγοῦ ὁλόκληρον φερόντων· τὸ γὰρ ὑπὸ τῶν νομισματογράφων μνημονευόμενον τούτοις μόνον σεσημείωται τοῖς γράμμασιν, ΕΠΑΜ. Πάντων δ' οὖν, ὡς εἰπεῖν, τῶν Ἑλληνικῶν ὀνομάτων σημαντικῶν ὄντων, ὑπονοήσειε μὲν ἄν τις οὐκ ἀπιθάνως Ἐπαμυνώνδαν (παρὰ τὸ Ἐπαμύνω) ὑπάρξαι τὸ γνήσιον ὄνομα· ἀπορήσειε δ' ὅμως, διά τί ἐν οὐδενί πω οὐδενὸς συγγραφέως ἀντιγράφῳ εὕρηται ἡ διὰ τοῦ υ αὕτη γραφή.—Στ. 18, Θηβαίους, γευσαμένους.] ΔΓ, Θηβαίους συνέβη, γευσαμένους· ἣν πλεονάζειν οὐκ ὀρθῶς τῷ ῥήματι συνεώρακε καὶ ὁ Γερμανὸς ἐκδότης.—Αἴτιον δὲ εἶναι τὸ λόγων καὶ ὁμιλίας τῆς πρὸς ἀνθρώπους ὀλιγωρῆσαι, μόνης δ' ἐπιμεληθῆναι τῆς κατὰ πόλεμον ἀρετῆς.] Ταὐτὸ δὲ τοῦτο αἴτιον καὶ τοῦ Λακεδαιμονίους, μόνης τῆς κατὰ πόλεμον ἀρετῆς ἐπιμεληθέντας, λόγων δὲ καὶ τῆς πρὸς ἀνθρώπους ὁμιλίας ἐπὶ τοσοῦτον ὀλιγωρήσαντας, ὥςε καὶ ξενηλατεῖν, οὐ μόνον ἡττηθῆναι τὴν ἐν Λεύκτροις μάχην ὑπὸ τοῦ φιλοσοφεῖν ἅμα καὶ πολεμεῖν εἰδότος Ἐπαμινώνδου· ἀλλὰ καὶ ἐν οἷς κατώρθουν πολλοῖς καὶ καλοῖς ἀγῶσι, τῆς δόξης ἀπολελεῖφθαι τῆς τῶν τὸν Ἄρην τῇ Ἀθηνᾷ συνοικοιωσάντων Ἀθηναίων. Καὶ τοῦτο βούλεται ἐμφαίνειν ὁ Κωμικὸς (Ἱππ. 505 καὶ 582), τοὺς μὲν Ἀθηναίους Παντοίας Μούσης πεπειρᾶσθαι, τὴν δ' Ἀττικὴν Ἁπασῶν χωρῶν ὑπερφέρειν πολέμῳ τε καὶ ποιηταῖς, λέγων.—Στ. 21, Ἐπεὶ πρός γε τοὺς βαρβάρους βία λόγου κρείττων ἐςί.] Οὐκ ἀεί ποτε ταῦθ' οὕτως ἔχει· οἱ γὰρ Γραικορωμαῖοι Αὐτοκράτορες ὑπεξέςησαν τῆς ἡγεμονίας τοῖς βαρβάροις, διὰ τὸ τῆς ἀληθοῦς παιδείας ὀλιγωρῆσαι, καὶ τοῖς μὲν ἔτι λειπομένοις λόγοις οὕτω καταχρήσασθαι, ὥς' εἰς ἀλόγους καὶ

σχολαστικὰς ἀριστελίκας τρίβειν ἠλιθίως τὸν ὀφειλόμενον τῇ περὶ τὸν πόλεμον ἀριστῇ χρόνον, φρουρίοις δὲ καὶ φρουροῖς μακρὰ χαίρειν φράσαντας, Μοναχῶν μυριάσι κατασκευάζειν οἰκήματα.—Στ. 22, Ῥωμαῖοι... ἀγριωτέροις ἔθνεσι πολεμοῦντες κ. τ. λ.] Ἐγὼ μὲν οἶμαι, πᾶν τοὐναντίον, ὅτι ἀγριώτεροι ἦσαν τηνικαῦτα Ῥωμαῖοι ὧν ἐνίκων ἐθνῶν. Δύο γὰρ ἐθνῶν ἐπίσης ἀπαιδεύτων, μαχομένων ἀλλήλοις, ἐπικρατέστερον εἰκὸς γίγνεσθαι τὸ μᾶλλον ἄγριον, ἢ γοῦν τὸ μᾶλλον φύσει ὀξύναον, τοῦτο δ' ἐστὶ, τὸ πλείους ἔχον ἀφορμὰς εἰς κτῆσιν παιδείας.—Στ. 24, Πρὸς... φῦλα τὴν πραγματείαν ἔχειν.] Σημείωσαι φράσιν Ἑλληνικὴν φράσει Γαλλικῇ ὁμοίαν, τῇ Avoir affaire à des nations. Παραπλήσιόν ἐστι τούτῳ καὶ τὸ τοῦ Ἀποστόλου (Κορινθ. Α, ς', 1), Πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον.

ΣΕΛΙΔ. 166, στ. 14, Κοινωνοί.] Ἐκ ΔΓ, ΑΤ, Κοινῇ.—Στ. 26, Χρησηριασομένους.] Ἐκ ΔΓ, ΑΤ, Χρησηριαζομένους.

ΣΕΛΙΔ. 167, στ. 7, Κακουργήσασαν, εἴτε μή.] Ἐξ ΕΔ, ΑΤ, Κακουργήσασαν ΠΕΡΙ ΤΩΝ ΓΥΝΑΙΚΩΝ ΔΙΚΑΣΤΩΝ, εἴτε μή. Τὰ γὰρ κεφαλαίοις γράμμασι κεχαραγμένα νόθα καὶ παρέγγραπτα προδήλως εἰσί.—Στ. 20, Τὸ μαντεῖον... προσάττει.] Ἐκ ΔΓ, ΑΤ, Τοὐναντίον... προσάττει.—Στ. 22, Καὶ δὴ ποιεῖν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ δὴ καὶ ποιεῖν.—Στ. 21, Συλλέγοντας πέμπειν κατ' ἔτος... εἰς Δωδώνην.] Ὁ δὲ Πρόκλος (παρὰ τῷ Φωτίῳ, Κώδ. σλϑ', σελ. 990) φησὶ, « Βαζάσαντες τῶν κατὰ τὴν Βοιωτίαν ἱερῶν τρι» πόδων ἕνα, καὶ κατακαλύψαντες, ὡς ἱερόσυλοι, ἀνέπεμψαν εἰς » Δωδώνην· εὐπραγήσαντες δὲ ἐξ ἐκείνου, τοῦ λοιποῦ τὴν πρᾶξιν » ἑορτὴν ἐποίουν. » Ἀντὶ τῆς μετοχῆς, Συλλέγοντας, αἱ Χρησομάθειαι τοῦ Στράβωνος (Μέρ. Γ, σελ. 391) φέρουσι, Κλέπτοντας, ὅπερ ὑπονοεῖν παρέχει μήποτε καὶ ἐν τῷ προκειμένῳ χωρίῳ ἐγέγραπτο, Συλοῦντας, ἢ γοῦν, Συλήσαντας (οὐ Συλήσοντας, καθὰ παρήνει τις τῶν κριτικῶν). Εἰκοτολογεῖ δὲ τὴν ὑπόνοιαν καὶ τὸ ἀνωτέρω ἐκ τοῦ Φωτίου συνώνυμον, Βαζάσαντες. « Βαζαχθείη, » ἀρθείη, κλαπείη » φησὶ Σουΐδας· ἐφ' ἧς ἐννοίας ἐκδέχονται πολλοὶ καὶ τὸ παρὰ τῷ Εὐαγγελιστῇ (Ἰωάν. ιϑ', 6) περὶ τοῦ Ἰούδα εἰρημένον, « Ὅτι κλέπτης ἦν... καὶ τὰ βαλλόμενα ἐβάζαζεν. »

ΣΕΛΙΔ. 168, στ. 3, Λακεδαιμονίους.] ΔΓ (ἐξ ἑνὸς μόνου ἀντιγράφου τοῦ Γερμανοῦ ἐκδότου), Λακεδαιμονίων, κατὰ πλείονα χρῆσιν τῆς πρὸς τὸ Κρατῶ (ὁπότε σημαίνει τὸ νικῶ) συντάξεως. Εὕρηται μέντοι, ὡς ἐσημειώσατο καὶ αὐτὸς, καὶ ἡ μετὰ αἰτιατικῆς

σύνταξις.—Ἐπαμινώνδα.] Ἐκ ΔΓ, ΑΤ, Ἐπαμεινώνδα. Ἔπιθι τὰ πρὸ μικροῦ (σελ. 180) σημειωθέντα μοι.—Στ. 10, Καὶ ἄλλαι.] Ἄμεινον τὸ γράφειν, Καὶ αἱ ἄλλαι, ἐνάρθρως, ὡς φέρεται παρὰ τῷ Πλήθωνι. —Στ. 20, Δήλιον.] Δηλιὰς νυν καλουμενον, κατὰ τὸν Μελέτιον.— Στ. 25, Ἐκπεδῶν.] Τὸ ἐμὸν αντίγραφον (ὀρθότερως) Ἐκποδῶν.

ΣΕΛΙΔ. 169, στ. 1, Λιμὴν μέγας, ὃν καλοῦσι Βαθὺν λιμένα.] Μεγάλον βαθύ, σημειοῦται νῦν ἐν τοῖς γεωγραφικοῖς πίναξι.— Αὐλίς.] Οἱ μὲν φασὶν Αὐλίδα ἔτι καὶ νῦν καλεῖσθαι, ἕτεροι δέ, Σίφνι, ἄλλοι δέ, Βαθύ· τοῦτο δ' ἂν εἴη μαλλον τῆς Αὐλίδος ἐπίνειον, ἴσως τὸ νῦν ἐν τοῖς πίναξι γραφόμενον Μικρὸν βαθύ.—Στ. 3, Τὸν ναύσταθμον.] ΔΓ (συνηθεστέρα τῷ Στράβωνι), Τὸ ναύσταθμον. —Στ. 4, Ὁ Χαλκιδικός.] Ἐκ ΔΓ καὶ ΕΔ, ΑΤ, Ὁ Χαλκίδος.— Στ. 5, Στάδιοι ἑβδομηκοντα.] Ἐν ταῖς εἰς τὴν Γαλλικὴν μετάφρασιν σημειώσεσιν ὑπονενόηται γραπτέον εἶναι, Στάδιοι ἑπτακόσιοι ἑβδομήκοντα.—Ἔχει δ' ἐπ' αὐτῷ γέφυρα.] Ἀπὸ τῆς γεφύρας ταύτης ἴσως ὠνόμασαι τοῖς ναυτιλλομένοις τῶν Ἰταλῶν ἡ Εὔβοια Negroponte (τουτέστι Μέλαινα γέφυρα), ἀρχαιότερον δὲ καὶ Egriponte, ὡς φησιν Ὀρτέλιος, ὅθεν τὸ παρ' ἡμῖν χωλαΐζόμενον Ἔγριπος, πλὴν εἰ μή τις παρὰ τοῦτο μᾶλλον ἐκεῖνα παρηχθαι πιθανώτερον ὑπολαμβάνοι.—Στ. 6, Ὡς εἴρηκα.] Ἀνωτέρω, σελ. 165.—Στ. 8, Εἰς αὐτόν.] ΔΓ, Εἰς αὐτούς· περὶ ἧς ἔπιθι τάς τε τῆ τοῦ Γερμανοῦ ἐκδόσει, καὶ τὰς τῇ Γαλλικῇ μεταφράσει ὑποκειμένας σημειώσεις.— Στ. 13, Τοῦ ταφέντος ἐπ' αὐτῷ.] Χρησιμώτερον ἂν ἦν τὸ, Ἐν αὐτῷ. —Στ. 16, Μεγαβάτου.] Μεγάβαζον Ἡρόδοτος (ζ, 97) ὀνομάζει τοῦτον.—Στ. 23, Σιγλοῦ.] Ἑλληνικῶς ἔχει ἡ γραφή· οὕτος γὰρ ὁ τύπος σεσημείωται ἐν τοῖς Λεξικοῖς, καὶ ἕτερος ὁ διὰ τοῦ ῑ (Σιγηρός). Ἀλλ' ἴσως γραπτέον διὰ τοῦ ῡ, Σιγηνοῦ, καθὰ προδήλως φέρεται ἐν τῷ ἐμῷ ἀντιγράφῳ μόνῳ· οὐδὲν γὰρ ἧττον ὀρθὸν τὸ παρὰ τὴν σιγὴν Σιγηνὸς, τοῦ παρὰ τὴν ἀκμὴν Ἀκμηνὸς, καὶ τοῦ παρὰ τὴν εὐδίκην Εὐδιηνός. Εὕρηται δὲ παρ' Ἡσυχίῳ (λέξ. Σάλπιγξ) καὶ ὁ Σιγηνοσάλπιγξ· εἰ δὲ τοῦτο ἐν τοῖς τίως ἀμφιβαλλομένοις ἐστὶ τὸ παρ' Ἡσυχίῳ ὀξύμωρον, ἀπόχρη εἰς τὴν τῆς διὰ τοῦ ῡ γραφῆς πίστωσιν ὁ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Σιγανός.

ΣΕΛΙΔ. 170, στ. 3, Παρ' ὁδὸν τὴν Θηβῶν.] ΗΔ, ΑΤ, Παρ' ὁδὸν τὴν Θηβαίων.—Στ. 4, Βοιωτιακῶς.] Ἐκ ΔΓ, ΑΤ, Βοιωτικῶς. —Στ. 5, Ταναγρικῆς.] Ἐξ ΕΔ, ΑΤ, Ταναγραϊκῆς.—Στ. 8, Ταναγρικῇ.] Ἐξ ΕΔ, ΑΤ, Ταναγρα.—Ἐντεῦθεν.] ΗΔ, ΑΤ, Ἐν-

ταῦθα.—Στ. 9, Ὁπόταν δ' Ἅρματος ἀςράψῃ.] ΗΔ, συνᾴδουσα καὶ τῷ Εὐςαθίῳ (σελ. 266), ΑΤ, Ὁπότε κ. τ. λ. ΔΓ, Ὁπότε... ἀςράπτῃ. Καὶ ἑτέρας δὲ παροιμίας μνημονεύει Πλούταρχος (Συμποσιακ. ε, 5) τῆς, Δι' Ἅρματος ἑςιᾶν, ἐπὶ τῶν σπανίως ἑςιώντων λεγομένης. Σουΐδας δὲ λέγει· « Ἅρμα, τόπος τῆς Ἀττικῆς· καὶ παροιμία, Ὅταν δι' Ἅρματος ἀςράψῃ, ἐπὶ τῶν χρονίως γενομένων » (γρ. γινομένων). »—Στ. 11, Πυθαϊςῶν.] Ἡσύχιος δὲ (λέξ. Ἀςράπτει) Πυθιαςὰς αὐτοὺς ὀνομάζει.—Στ. 21, Καὶ διὰ τοῦτο.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 24, Ἐν δὲ δεξιᾷ κεῖται ἡ Ὑρία. Καὶ ἡ Ὑρία δέ.] Ἐξ ΕΔ (συνᾴδούσης τῷ ἀρχαίῳ Λατίνῳ μεταφραςῇ) ἔγραψα οὕτως τὸ ἀμφισβητήσιμον τοῦτο χωρίον, ΑΤ, Ἐν δεξιᾷ κεῖται, καὶ ἡ Ὑρία δέ. Περὶ οὗ ὁ βουλόμενος ἐπίτω τὰς τῇ τοῦ Ἄγγλου καὶ τῇ τοῦ Γερμανοῦ ἐκδόσει ὑποτεταγμένας σημειώσεις, πρὸς δὲ καὶ τὰ διὰ μακροῦ εἰρημένα ἐν τῇ Γαλλικῇ μεταφράσει tom. III, Éclaircisim. pag. 43-49. — Τῆς Ταναγραίας νῦν ἐςι, πρότερον δὲ τῆς Θηβαΐδος.] Εὐςάθιος δὲ (σελ. 264), τοὐναντίον « Ὑρία τῆς » Ταναγραίας πρότερον, ὕςερον δὲ Θηβαΐδος » λέγει, Στράβωνα παρεχόμενος μάρτυρα.

ΣΕΛΙΔ. 171, στ. 6, Ἰωνίᾳ.] Ἐκ ΔΓ, ΑΤ, Ἰωνίδι. — Στ. 8, Ἀνθηδών.] Ἡ νῦν Λουκίσι, κατὰ τὸν ἡμέτερον Μελέτιον.—Στ. 9, Βοιωτιακῆς.] Ἐκ ΔΓ, ΑΤ, Βοιωτικῆς.—Στ. 12, Ἔτι προϊόντι.] Ἐκ ΔΓ, ΑΤ, Ἔτι καὶ προϊόντι.—Στ. 13, Λάρυμνα.] Λάρνες νῦν καλουμένη, ὡς φησι Μελέτιος. Ὁ Δαμβίλλης Larym αὐτὴν καλεῖ. Ἐν δὲ τῷ κατὰ τὸ 1811 ἔτος ἐκδοθέντι πίνακι τῆς Εὐρωπαίας Τουρκίας ὑπὸ τοῦ Πάλμα, γράφεται τῷ παλαιῷ ἐγγύτερον νέον ὄνομα, Λαρύμνες, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τόπον.—Στ. 14, Ἅλαι.] Κατὰ τὸν Μελέτιον, ἐν τῷ νῦν καλουμένῳ τόπῳ, Ἅγιος Ἰωάννης ὁ Θεολόγος, ἀπὸ ἱεροῦ τινὸς ὀνλονότι ἐπ' ὀνόματι τοῦ Εὐαγγελιςοῦ τιμωμένου.—Στ. 16, Ἐμνήσθημεν... πρότερον.] Ἀνωτέρω, σελ. 147-148, ὅθεν δῆλον, ὅτι ἑκάτεραι Ποσειδῶνος ἱερὸν ἐκέκτηντο, αἵ τε ἐν Ἀχαΐᾳ τῇ Πελοποννησιακῇ Αἰγαὶ, καὶ αἱ ἐν Εὐβοίᾳ τῇ νήσῳ.—Στ. 20, Μεσσάπιον.] Τυποβοῦνι ὑπὸ τῶν ἐγχωρίων νῦν καλεῖσθαί φασι.

ΣΕΛΙΔ. 172, στ. 9, Ὁ Ἶσος.] Ἀποκατέςησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Ἡ Ἰσός.—Στ. 10, Ἀπωκισμένη ...αιρῶνος.] Οὕτω τινὰ τῶν ἀντιγράφων μετὰ κενοῦ διαςήματος, ΑΤ, Ἀπωκισμένη ὀρῶνος. Ἕτερα δὲ, ἐν οἷς καὶ τὸ ἐμὸν, Ἀπωκισμένη πρὸς ρῶνος. Ὅθεν τινὲς τῶν κριτικῶν ἀνεπλήρουν διορθοῦντες, Ἀπωκισμένη πλησίον

Κιθαιρῶνος· ἕτεροι δὲ, Ἀπῳκισμένη πρὸς τὴν ὑπώρειαν τοῦ Κιθαιρῶνος.—Στ. 12, Τὴν νῦν Κρέουσαν.] Τὴν κοινῶς Σαράντε καλουμένην κατὰ τὸν Μελέτιον. Καὶ ἔοικεν ὁ ἐν τῷ νεωτάτῳ πίνακι τῆς Πελοποννήσου Λιμὴν τῶν ἁγίων τεσσαράκοντα (Port Hagioi-saranta) σημειούμενος εἶναι.—Στ. 14, Φαρος.] Ἐκ ΔΓ, ΑΤ, Φηρὰς —Στ. 16, Φαρῶν.] Ἐκ ΔΓ, ΑΤ, Φηρῶν (ἴδε Στέφαν. Βυζάντ. λέξ. Φαραί).—Στ. 22, Κιθαιρῶν.] Ὁ νῦν Ἐλατειὰς, ἀπὸ τῶν Ἐλατῶν ἴσως, τοῦ δένδρου.—Στ. 26, Τῶν δέ.] Ἐκ ΔΓ, ΑΤ, Τῶν δή.

ΣΕΛΙΔ. 173, στ. 2, Τὰ δὲ ἀνέψυκται, καὶ γεωργεῖται.] Ἐκ ΔΓ, ΑΤ, Τὰ μὲν ἀνέψυκται, τὰ δὲ καὶ γεωργεῖται. Ἴδε κατωτέρω (σελ. 187) παραπλήσιον λόγου σύνταξιν.—Στ. 6, Συμβαίνει δή.] ΔΓ (ἀμείνων) Συμβαίνει δέ.—Στ. 9, Βάθους.] Ἐκ ΔΓ, ΑΤ, Βάθος.—Στ. 15, Γίνεται.] Ἐκ ΔΓ, ΑΤ, Δύνατσι.—Ἡ γάρ.] ΔΓ, (ἀμείνων), Καὶ γάρ.—Στ. 17, Ἢ διὰ ἀνοικισμόν.] Ἀναπλήρου τὸ τυπογράφων ἀβλεψίᾳ κολοβωθὲν χωρίον, γράφων, Ἢ διὰ ἀπόρασιν καὶ διὰ ἀνοικισμόν· εἶζε δὲ οὕτω, μικρὸν ἄνωθεν ἀρχόμενος· Διὰ τὸ ὕψος τῶν οἰκήσεων, ἢ διὰ ἀπόρασιν· καὶ διὰ ἀνοικισμόν, ΑΤ (φερομένου ἐν ταῖς ἐκδόσεσι), Διὰ τὸ ὕψος τῶν οἰκήσεων· ἢ διὰ απόρασιν καὶ διὰ ἀνοικισμόν. Ὁ γὰρ νοῦς, Γίνεται δὲ τοῦτο (τὸ ποτὲ μὲν ἐπὶ τῇ λίμνῃ, ποτὲ δ' ἄπωθεν κτίσθαι) διττῶς· καὶ γὰρ μένουσαι αἱ πόλεις ἀνίυητοι ἐφ' ἧς τὴν ἀρχὴν ἐκτίσθησαν χώρας, πλησιάζειν φαίνονται τῇ λίμνῃ, ὁπόταν αὔξωνται μὲν αὐτῆς τὰ ὕδατα, οὐκ ἐπὶ τοσοῦτον δὲ, ὥσθ' ὑπερχεῖσθαι καὶ κλύζειν αὐτάς, ὑψηλότερον κειμένας, ἢ μακρότερον διεχούσας τῆς λίμνης· καὶ διότι, καταλιποῦσαι τὴν ἐξ ἀρχῆς χώραν, διὰ τὸν τῆς ἐπικλύσεως φόβον, εἰς ὑψηλοτέραν, ἢ πλέον ἀφεστηκυῖαν τῆς λίμνης χώραν ἀνῳκίσθησαν. —Στ. 21, Φυλάττουσιν.] Ἐκ ΔΓ, ΑΤ, Φυλάττειν.—Στ. 22, Μηκέτι.] Ἐκ ΔΓ, ΑΤ, Μή —Στ. 27, Ἀνοικισθέντων.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Ἀνοικισθέντα.

ΣΕΛΙΔ. 174, στ. 10, Ὡς εἴπομεν.] ΗΔ, ΑΤ, Ἧς εἴπομεν. Τὸν δὲ ταύτην προαιρούμενον τὴν γραφὴν ἀνάγκη καὶ τὴν ἑξῆς ὀνομαστικὴν εἰς γενικὴν μεταβάλλειν, γράφοντα, Ἧς εἴπομεν ἐπὶ τῇ θαλάττῃ Βοιωτιακῆς (καθάπερ ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, Percioché questa è diversa da quella di Beozia, che abbiam detto essere sul mare), ΑΤ, Ἧς εἴπομεν ἐπὶ τῇ θαλάττῃ, ἡ Βοιωτιακή. Εἴρηκε δὲ περὶ ταύτης ἀνωτέρω (σελ. 171).—Ἡ

Βοιωτιακή.] Ἐκ ΔΓ, ΑΤ, Ἡ Βοιωτική. Ἐν ἑτέροις δ' ἀντιγράφοις λείπει τὸ ἄρθρον.—Στ. 11, Ἡ προσέθεσαν.] Ἡ Λοκρικὴ Λαρύμνη προσέθεσαν ὄνομα Ῥωμαῖοι, Τὴν ἄνω, πρὸς ἀντιδιαστολὴν τῆς Βοιωτιακῆς Λαρύμνης.—Στ. 16, Ὁ μεταλλευτὴς Κράτης.] Ἴδε τὰ σημειωθέντα μοι εἰς τὸ πεντεκαιδέκατον βιβλίον τοῦ Στράβωνος, ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. V, pag. 40, not. 2).—Στ. 20, Ἐλευσῖνα καὶ Ἀθήνας.] Ὁμωνύμους δηλονότι ταῖς ἐν τῇ Ἀττικῇ Ἀθήναις καὶ τῇ Ἐλευσῖνι.—Στ. 21, Λέγεται Δ' ΟΙΚΙΣΑΙ Κέκροπα.] Τὰ πλείω τῶν ἀντιγράφων, ἐν οἷς καὶ τὸ ἐμὸν, φέρει τὴν πρώτην μόνην καὶ τὴν τελευταίαν λέξιν, κεχωρισμένας κενῷ διαστήματι οὕτω, Λέγεται Κέκροπα· ὅπερ οἱ ἐκδόται, ἀναπληρώσαντες ἐξ ἑτέρων ἔγραψαν, Λέγεται καὶ κατὰ Κέκροπα, πλὴν τοῦ Γερμανοῦ, παρ' ᾧ γράφεται, Λέγεται δὲ καὶ κατὰ Κέκροπα. Ἀλλ', εἴτε ἐνὶ, εἴτε δυσὶ γράφοις συνδέσμοις, οὐχ ἕξεις ὅπως συνάψεις τὸ λεγόμενον τοῖς ἑξῆς, πλὴν εἰ μὴ καὶ ταῦτα ἑτέρως γράφοις τε καὶ ζίζοις· « Λέγε» ται δὲ κατὰ Κέκροπα, ἡνίκα τῆς Βοιωτίας ἐπῆρξε, καλουμένης » τότε Ὠγυγίας, ἀφανισθῆναι ταύτας ἐπικλυσθείσας. Ὕστερον δὲ γε» νέσθαι φασὶ καὶ κατὰ κ. τ. λ. » Τούτων οὕτως ἐχόντων, ἧττον ἔδοξέ μοι τολμηρὸν εἶναι προσθεῖναι ἃς προσέθηκα δύο λέξεις (Δ' οἰκίσαι), ἄλλως τε καὶ μηδενὶ τῆς σωζομένης ἱστορίας μέρει ἀντιφερομένας· οὐδὲν γὰρ ἀπεικὸς Κέκροπα, τὸν τῆς Ἀττικῆς ἄρξαντα, ὁμωνύμους τῶν ἐν τῇ Ἀττικῇ κτίσαι πόλεις ἐν τῇ Βοιωτίᾳ, ἡνίκα καὶ ταύτης ἦρχε.—Στ. 22, Ἐπῆρξε.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆρξε.—Στ. 24, Μίλανα ποταμόν.] Τὸν νῦν Μαυροπόταμον καλούμενον, ὡς φησιν ὁ Μελέτιος.

ΣΕΛΙΔ. 175, στ. 1, Προαναλισκόντων.] ΗΔ, ΑΤ, Προσαναλισκόντων.—Στ. 3, Καὶ ποιήσηθ'.] Ἐκ τῆς Ἰλιάδος, β', 503.—Στ. 8, Οἵ τε Λῶιαν.] Ἐκ τῆς αὐτῆς, β', 523.—Στ. 19, Τῶν ἑλῶν, καὶ τῶν λιμνῶν. § 20. Τῶν δὲ μεταξὺ κειμένων λιμνῶν ἐστιν ἥ τε Τριφία, καὶ ἡ Κηφισσίς.] Οὕτως ἔγραψα τὸ μὲν ἐξ ἀντιγράφων, τὸ δ' εἰκάσας αὐτὸς, ΑΤ, Τῶν ἑλῶν. § 20. Μεταξὺ κειμένων λειμώνων, ἐστὶν ἥ τε Τριφυλία καὶ ἡ Κωπαΐς. Τὸ ἐμὸν ἀντίγραφον συμφώνως ἑτέροις τισὶ φέρει, Τῶν ἑλῶν καὶ τῶν λιμνῶν· κειμένων λειμώνων ἐστὶν ἥ τε Τρεφία καὶ ἡ Κωπαΐς. Συνάδει δ' ἡ ἡμετέρα διόρθωσις καὶ τῇ τοῦ μακαρίτου Δουθείλου Γαλλικῇ μεταφράσει τοῦδε τοῦ χωρίου, πλὴν τοῦ, Λειμώνων, ὅπερ ἐκεῖνος τηρῆσαι δεῖν ἔγνω, καὶ τοῦ Τρεφία, ὅπερ ἔτρεψεν εἰς τὸ Ἀκραιφία,

ἦν ἐν τοῖς ἑξῆς (σελ. 180) πληθυντικῶς, Ἀκραιφίας, ὀνομάζει Στράβων. Ὁ δὲ Σνιῶδερος, ἐν ταῖς εἰς τὰ Θηριακὰ τοῦ Νικάνδρου σημειώσεσιν (σίχ. 887, σελ. 168), ἐκ διαφόρου γραφῆς ὁρμηθείς, «Ἃς τε Τρό» φεια Κῶπαί τε κ. τ. λ.» τὴς παρὰ τῷ Νικάνδρῳ, ἀντὶ τῆς, «Ἃς » τρέφει αἶα Κωπαΐαί τε», οὕτω διώρθου τοῦ Στράβωνος τὸ προκείμενον χωρίον... Μεταξὺ δὲ τῶν ἑλῶν καὶ τῶν λιμνῶν κειμένη ἐστὶν ἥ τε Τρόφεια, καὶ αἱ Κῶπαι καὶ ἡ Ὕλη, τὰ τρία ταῦτα πόλεων ὀνόματα ἐκδεχόμενος· ὅπου γε ἡ ἡμετέρα διόρθωσις τὴν Τρεφίαν λίμνην λέγει, καθάπερ καὶ τὴν Κηφισίδα. Καὶ πρῶτον μὲν περὶ τῆς γραφῆς, μακρῷ πιθανώτερον γεγράφθαι παρὰ τῷ Νικάνδρῳ Τρέφεια, ἢ Τρόφεια, δηλοῖ μὲν καὶ αὐτὴ ἡ ἀποδοκιμασθεῖσα γραφὴ (Ἃς τρέφει αἶα), δηλοῖ δὲ καὶ ἡ παρὰ τῷ Στράβωνι τῶν ἀντιγράφων Τρεφία. Ἔπειτα, οὐδὲν ἀπεικὸς τῇ πόλει Τρεφείᾳ καὶ λίμνην παρακειμένην ὁμώνυμον ὑπάρξαι ποτέ· ἥπερ ἦν ἴσως ἡ νῦν καλουμένη ἐν τοῖς νεωτάτοις πίναξι Λίμνη Θίγγρος (Lac Thingros). Ἡ δ' οὖν Κηφισὶς ὀνομάζεται νῦν Λίμνη τῆς Θήβας (Lac de Thebes).—Στ. 22, Ὅς ῥ' ἐν Ὕλῃ.] Ἐκ τῆς Ἰλιάδος, ε, 708.—Στ. 24, Οὐ γὰρ λίμνην τὴν Κωπαΐδα κ. τ. λ.] Ὑπερβατῶς, ἀντὶ τοῦ, Οὐ γὰρ τὴν Κωπαΐδα λίμνην. Ὁ δὲ νοῦς, Ἡ παρ' Ὁμήρῳ Κηφισὶς λίμνη, οὐχ ἡ Κωπαὶς ἐστιν, ἀλλ' ἡ αὐτὴ τῇ Ὑλικῇ καλουμένῃ.

ΣΕΛΙΔ. 176, στ. 2, Ὡς ἔνιοι γράφουσιν.] Ζηνόδοτος ἦν ὁ διατεινόμενος, ὡς ἔδει γράφειν, Ὑδὴ, ἀντὶ τοῦ, Ὕλη.—Στ. 4, Ἡ μὲν γάρ ἐστιν ἐν Λυδίᾳ.] Ἡ Ὑδὴ πόλις δηλονότι.—Στ. 5, Τμώλῳ ὕπο Νιφόεντι, ΥΔΗΣ κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, υ, 385. Καὶ σημείωσαι, ὅτι ἐνταῦθα μὲν συναινεῖ Στράβων τοῖς ἀκολούθως Ὁμήρῳ Ὑδὴν πόλιν ὑπάρξαι ποτὲ ἐν τῇ Λυδίᾳ ἰσορηκόσιν· ἐν δὲ τοῖς ἑξῆς (σελ. 504), αὐτὸ τοῦτο τὸ ἔπος (μετὰ διαφόρου μέντοι γραφῆς, ΥΔΗΣ), ὡς οὐχ Ὁμηρικὸν, ἀποβάλλει.—Στ. 6, Ἡ δὲ, Βοιωτική.] Ἡ Ὕλη δηλονότι.—Στ. 11, Ἡ μὲν γάρ ἐστι μεγάλη, καὶ οὐκ ἐν τῇ Θηβαΐδι.] Ἁπαξάπαντες οἱ ἐξηγησάμενοι τὸ χωρίον τῇ Κωπαΐδι λίμνῃ προσῆψαν τὸ ἐπίθετον, Μεγάλη, ἀντιδιεσαλμένως πρὸς τὴν ἥττονα τὴν Κηφισίδα, τῶν συνδέσμων τὸν δεύτερον κατασκευαστικὸν εἶναι νομίσαντες τοῦ ἀνωτέρω (σελ. 175) λεχθέντος, «Οὐ γὰρ λίμνην τὴν » Κωπαΐδα βούλεται λέγειν.» Ἐπιθὲ τὰ διὰ μακρῶν σημειωθέντα ὑπὸ τοῦ Δουθείλου εἰς τὴν Γαλλικὴν μετάφρασιν τοῦδε τοῦ χωρίου (Strab. tom. III, pag. 419 du texte, et pag. 90-101 des Éclaircissemens). Καὶ οὐκ ἀπεικὸς ἠπατῆσθαι τοὺς κριτικοὺς διὰ

τὸ σκοτεινὸν τοῦ χωρίου, εἴτε τοῦ Στράβωνος παρημεληκότος τῆς ζητήσεως, εἴτε τῶν ἀντιγραφίων παραλιπόντων ἕτερά τινα μεταξύ, δι' ὧν ἦν καταφανέστερον τὸ λεγόμενον. Ὅτι γὰρ ἄτοπόν τι ἂν ἔλεγεν ὁ Γεωγράφος, εἰ τὴν Κωπαΐδα λίμνην μὴ ἐν τῇ Θηβαΐδι, τουτέστι τῇ περὶ τὰς Θήβας χώρᾳ, εἶναι ἔφασκε, καὶ τυφλῷ δῆλον. Οἶμαι δ', ὅτι οὐ ταύτην λέγει, ἀλλὰ τὴν ἐν τῇ Αὐδίᾳ Γυγαίαν λίμνην, τὴν ὕστερον Κολόην προσαγορευθεῖσαν, ἧς ἐν τοῖς ἑξῆς (σελ. 503) μνημονεύσει. Γνήσεται δὲ δῆλον τὸ λεγόμενον, αὐτῶν τῶν Ὁμηρικῶν παρατεθέντων ἐπῶν· ὥσπερ γὰρ περὶ τῆς ἐν Βοιωτίᾳ Ὕλης (ἣν Ὕδην δεῖν γράφειν ἔλεγεν ὁ Ζηνόδοτος) λέγει, Ἰλιάδ. ε, 708,

Ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε, μέγα πλούτοιο μεμηλώς,
Λίμνῃ κεκλιμένος Κηφισίδι,

ὡς παρακειμένης τῇ λίμνῃ τῇ Κηφισίδι, τῇ καὶ Ὑλικῇ προσαγορευομένῃ, τῆς Ὕλης πόλεως· παραπλησίως καὶ περὶ τῆς ἐν Αὐδίᾳ Ὕδης εἰπὼν (Ἰλιάδ. υ, 508),

Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ,

ἐπάγει μετ' ὀλίγα (στίχ. 590),

Γυνὴ δέ τοί ἐστ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ...

ὡς καὶ ταύτης ὁμοίως παρακειμένης ἑτέρᾳ λίμνῃ, τῇ Γυγαίᾳ. Εἴη οὖν ἂν τοιοῦτος ὁ νοῦς τοῦ Στράβωνος, Ἁμαρτάνουσιν οἱ τὴν ἐν τῇ Βοιωτίᾳ Ὕλην συγχέοντες τῇ Αὐδιακῇ Ὕδῃ, πλὴν εἰ μὴ καὶ τὴν προσεχῆ τῇ Ὕλῃ λίμνην Κηφισσίδα, ἣ Ὑλικήν, τὴν αὐτὴν εἶναι βούλονται τῇ Γυγαίῃ λίμνῃ, ἣ παράκειται ἡ Ὕδη. Ἀλλὰ τοῦτο τελέως ἄτοπον· ἡ μὲν γὰρ Γυγαία λίμνη μεγάλη ἐστὶ, καὶ οὐκ ἐν τῇ Θηβαΐδι κεῖται· ἡ δὲ Κηφισσὶς, μικρά κ. τ. λ.—Στ. 12, Ἐκεῖθεν δ' ὑπονόμων πληρουμένη.] Εἰ τὰ προσεχῶς τούτοις ἀνωτέρω σημειωθέντα μοι ἔχονταί τινος πιθανότητος, διορθωτέον καὶ τοῦτο τὸ χωρίον γράφοντας, Ἐκεῖ τε, δι' ὑπονόμων πληρουμένη. Τὸ μὲν γὰρ Ἐκεῖθεν, τουτέστιν ἐκ τῆς Κωπαΐδος λίμνης, πληροῦσθαι τὴν Κηφισσίδα, οὔτε τῶν ἀποδεδειγμένων ἐστὶν, οὔτ', εἴπερ ἦν, καλῶς ἂν ἐνθάδε ἐλέγετο τῷ Στράβωνι· τὸ δ' Ἐκεῖ τε πρόδηλως ἀντίκειται τῷ, Οὐκ ἐν τῇ Θηβαΐδι, ὥσπερ τὸ Μικρὰ τῷ Μεγάλη.—Στ. 15, Ἠδ' Ὕλην.] Ἐκ τῆς Ἰλιάδος, β, 500.—Στ. 19, Ὅ οἱ Τυχίος.] Ἐκ τῆς Ἰλιάδος, ή,

220. Ἔχει δὲ ΗΔ, ΑΤ, Ὁ Τυχίος, ὅπερ ἐγραψεν ὁ Γερμανὸς ἐξ ΕΔ, ἀποχωρίσας καὶ τοῦ Ὁμηρικοῦ ἔπους. Προσέθηκα δὲ καὶ τὸ ἑξῆς τοῦ ἔπους, Κάμε τεύχων.—Στ. 24, Σαφῶς ὅτι ὁ... τοῖς ὀνόμασι τῶν τόπων, τῶν τε ἀξ... χαλεπόν.] Ἐκ ΔΓ, ΑΤ, Σαφῶς ὅτι... τοῖς ὀνόμασι τῶν τόπων, τόν τε... χαλεπόν. Καὶ ἔστιν ἡ ἡμετέρα γραφὴ πληρεστέρα μέν, οὐ μὴν σαφεστέρα· πολλὰ γάρ εἰσι τὰ μεταξὺ λείποντα ἐν τοῖς ἀντιγράφοις.—Στ. 25, Φασίν.] Ἐκ ΔΓ, ΑΤ, Φησίν. —Ἐν τοσούτοις, καὶ ἀσήμοις·] Ἐκ ΔΓ, ΑΤ, Ἐν τούτοις καὶ ἀσήμοις. Πιθανὸν δὲ τὴν γνησίαν γραφὴν γεγονέναι, Ἐν τοσούτοις, καὶ τούτοις ἀσήμοις.—Στ. 29, Ἐπειρώμεθα.] Ἐξ ΕΔ, ΑΤ, Πειρώμεθα. Ὅλον δὲ τοῦτο τὸ χωρίον μέχρι τέλους τοῦ κεφαλαίου, κεκολοβωμένον ἐν τοῖς ἀντιγράφοις, οὕτως ἀπαρτίζειν ὁ Κασωβὼν ἐπειρᾶτο· « Διόπερ καὶ ἡμεῖς ἐκεῖθεν ἐπειρώμεθα τὴν ἀρχὴν τῆς περι- » ηγήσεως λαβεῖν· ἐνταῦθα δ' ἅπαντες τοῦτο, τῷ Ποιητῇ ἀκολου- » θήσομεν, καὶ ἐκείνου φυλάξομεν τὴν ἀριθμησιν, προσιθέντες ὅ, τε » ἂν χρήσιμον ᾖ παραλειφθὲν ἡμῖν, ὑπ' ἐκείνου δὲ παραληφθέν. » Ἄρχεται μὲν οὖν ἀπὸ τῆς Ὑρίης καὶ τῆς Αὐλίδος, περὶ ὧν εἰρή- » καμεν. »

ΣΕΛΙΔ. 177, στ. 1, Ἀριθμησιν.] ΔΓ (ἀμείνων), Διαριθμησιν.— Στ. 2, Παραλειφθέν.] Ἐκ ΔΓ (συναδούσης τῇ ἀρχαίᾳ Λατινικῇ μετα- φράσει, omissum), ΑΤ, Παραληφθέν.—Στ. 5, Ἀνθηδόνος.] Ἀπο- κατέστησα τὴν ἀρχαίαν γραφὴν (ἄλλως τε καὶ μαρτυρουμένην ὑπὸ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Ἀνθηδόνα.—Στ. 11, Τῶν περὶ Ὄλυνθον.] Ἧς ἐμνημόνευσεν ἐν τοῖς πρόσθεν (σελ. 63). Ἔστι δὲ Μακεδονικὴ πόλις ἡ Ὄλυνθος, καλουμένη νῦν Ἅγιος Μάμας.—Στ. 12, Εἴρηται.] Ἀνωτέρω (σελ. 138) εἴρηκε τοῦτο.—Στ. 14, Σικυωνίᾳ.] ΗΔ (συναδουσα οἷς εἴρηκεν ἐν τοῖς πρόσθεν, σελ. 138), ΑΤ, Σικυ- ῶνι.—Δι' ἧς ῥέει. Εἰσὶ δὲ καὶ ἄλλοι ποταμοί.] ΗΔ (ἣν ἀπεδέξατο καὶ ὁ μακαρίτης Δουθείλης), ΑΤ, Δι' ἧς ῥέουσι καὶ οἱ ἄλλοι ποταμοί.

ΣΕΛΙΔ. 178, στ. 2, Τάναγραν.] Ἣν μικρὸν παραγραμματίζοντες, Τέναγραν νῦν καλοῦσι.—Στ. 8, Θέσπειαν.] Ἧς τὰ ἐρείπια πλησίον κεῖται τοῦ νῦν Ἐρημοκάστρου καλουμένου.—Στ. 12, Ἐπίνειον... Κρέουσαν.] Ἣν ἀνωτέρω (σελ. 184) Σαράντι νῦν καλεῖσθαι, κατὰ τὸν Μελίτιον, ἔφαμεν· ἕτεροι μέντοι οὐ τοῦτο, ἀλλὰ τὸ ἐωθινώτερον τούτου ἐπίνειον, τὸ νῦν ὀνομαζόμενον Κάκος, εἶναι διατείνονται τὴν Κρέουσαν.— Στ. 14, Ἄσκρη.] Ἧς τὰ ἐρείπια δείκνυνται ἐν τῷ νῦν

ὀνομαζομένῳ Νεοχωρίῳ.—Στ. 19, Νάσσατο κ. τ. λ.] Ἐκ τῶν Ἡσιόδου Ἔργ. καὶ ἡμερ. στ. 639.—Στ. 21, Ἑλικών.] Λιχῶνα νῦν καλούμενος καὶ Παλαιοβοῦνα, κατὰ τὸν Μελέτιον· ἐν δὲ τοῖς νεωτέροις πίναξι Ζαγάρα (Mont Zagara) γραφόμενος.—Αὐτοῦ.] Ἐκ τοῦ Γεμέσου Πλήθωνος, ΑΤ, Αὐτῆς. Τὸ ἐμὸν ἀντίγραφον, Αὐτῇ· ἕτερα δέ, Αὐτή.—Στ. 22, Κατὰ τὸν ὗσατον.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὸν ὗσατον.—Στ. 23, Μυχόν.] Τὸν νῦν λιμένα Ἰανίτσι, ἢ Γιανίτσι (*Port Gianitzi*) προσαγορευόμενον.

ΣΕΛΙΔ. 179, στ. 2, Ην... καλοῦσι.] Ἐκ ΔΓ προσέθηκα τὴν πρώτην λέξιν· τὸ δὲ λειπόμενον κενὸν διάστημα ὑπ' οὐδενὸς τῶν ἀντιγράφων ἀναπληροῦται. Οὐκ ἀπιθάνως οἱ κριτικοὶ, τῶν Ὁλμιῶν, ἄρας, ἧς ὁ Στράβων ἐν τοῖς πρόσθεν (σελ. 135) ἐμνημόνευσε, τοὔνομα ἐξερύηκέναι τοῦ χωρίου ὑπειλήφασι· διὸ δεῖν γράφειν φασὶν ἀπαρτίζοντας, Ἡν Ὁλμιὰς καλοῦσι. Αἱ δ' Ὁλμιαὶ βαρβάρως νῦν Μαλαγγάρα (Cap Malargara) καλοῦνται.—Στ. 3, Παγάς.] ΗΔ, ΑΤ, Πηγάς.—Στ. 17, Γλυκέρα.] Φρύνη μὲν οὖν, οὐ Γλυκέρα, ἣν ἡ λαβοῦσα δῶρον παρὰ Πραξιτέλους τὸν Ἔρωτα. Ἴδε Παυσανίαν (ά, 20).—Θεσπιᾶσιν.] ΗΔ (σημαίνουσα, dans Thespies, ὥσπερ ἡρμήνευσεν ὁ Βρεϊτιγνῦς. Ἴδε Strab. tom. III, Éclairciss. pag. 115) ΑΤ, Θεσπιεῦσιν (aux Thespiens).—Στ. 19, Θέσπειαν.] ΗΔ, ΑΤ, Θέαν.—Στ. 24, Καὶ περὶ τῶν.] Ἐκ ΔΓ προσεῖληφα τὸν σύνδεσμον.—Στ. 25, Οἵ τ' ἀμφ' Ἄρμ'.] Ἐκ τῆς Ἰλιάδος, β, 499.

ΣΕΛΙΔ. 180, στ. 5, Φοινικίῳ ὄρει.] Τῷ νῦν, ὥς φασι, καλουμένῳ Μαζαράκι (Mazaraci). Ἴδε τὰς ἐν τῇ Γαλλ. μεταφρ. σημειώσεις.—Στ. 13, Ὠκαλέα.] ΗΔ, ΑΤ, Ὠκάλεαι.—Ἀλαλκομεναί.] Αἱ νῦν κολοβῶς καλούμεναι Ἐμεναί, κατὰ τὸν Μελέτιον.—Στ. 14, Κορώνεια.] Ἡ νῦν Καμάρι.—Στ. 18, Πίνδαρος δὲ καί.] Ἐκ ΔΓ, προσεῖληφα τὸν πρῶτον τῶν συνδέσμων.

ΣΕΛΙΔ. 181, στ. 5, Καταλέγει.] Ἐκ ΔΓ, ΑΤ, Καταλέγεται.—Στ. 14, Ἀσσ' Ἀθάνα κ. τ. λ.] Κεκολόβωται τὰ τοῦ Ἀλκαίου ἔπη. Τῶν κριτικῶν τις οὕτως εἴκαζε δεῖν τοὺς τελευταίους δύο στίχους ἀναπληροῦν διαιρεῖν καὶ τάττειν·

Ἀπαὶ Κορωνείας ἔπιθ' εὐμενὴς,
Εἴπερ πάροιθεν ἀμφὶ βωμοὺς
Κωραλίῳ ποταμῷ παρ' ὄχθαις
Ἔθυσα. ——————

(*Ἰδε* Mus. Critic. or Cambridge Classic. research. vol. I, n° 4, pag. 427).—Στ. 21, *Ἁλίαρτος.*] Ἡ νῦν Παλαιοπαναγία, ἡ Τριεδοῦνι, καλουμένη, κατὰ τὸν Μελίτιον.

ΣΕΛΙΔ. 182, στ. 1, Πλαταιαί.] Ἡ νῦν Κόκλα.—Στ. 3, Βοιωτίας.] Ἐκ τοῦ Γεμίστου Πληθωνος, ΑΤ, Μεγαρίδος.—Στ. 4, Ἐλευθεραί.] Αἱ νῦν Πετρογεράκι, ἡ Πετρεϊεράκι καλούμεναι. —Τῆς Ἀττικῆς.] Ἐκ τῆς Γαλλικῆς τοῦ Δουθείλου μεταφράσεως οὕτω πιθανῶς εἰκάσαντος, ΑΤ, Τῶν Πλαταιῶν.—Στ. 12, Μνῆμα.] ΗΔ (*συνάδουσα τῇ γνώμῃ τοῦ Γερμανοῦ ἐκδότου*), ΑΤ, Μνῆμα. Τὸ δ' ὅλον ἔπος, Μνασάλκεως τὸ μνῆμα τῶ Πλαταιάδα, παρέγγραπτον ἔοικεν εἶναι, καὶ οὐχ ὑπὸ τοῦ Στράβωνος μνημονευθέν. —Στ. 15, Ἀόνιον.] Ἐκ διορθώσεως τοῦ Δουθείλου, ΑΤ, Ἰόνιον. Ἰδ. τὰς Γαλλ. σημειώσεις.—Στ. 18, Οἳ δ' ὑπὸ Θήβας.] Ἐκ τῆς Ἰλιάδος, β, 505.

ΣΕΛΙΔ. 183, στ. 1, Ὅπου τὸ Ἀμφικτυονικὸν συνήγετο.] Ἕτερον τοῦτο παρὰ τὸ ἐν Θερμοπύλαις Ἀμφικτυονικόν· συνήγετο δὲ πιθανῶς κατὰ τὸν αὐτὸν χρόνον, ὅτε συνετέλουν καὶ τὰ Παμβοιώτια, ὧν ἀνωτέρω (σελ. 181) ἐμνημόνευσεν ὁ Γεωγράφος.—Στ. 6, Κινηθεὶς κ. τ. λ.] Ἐκ μὴ σωζομένου Πινδαρικοῦ ποιήματος.—Στ. 16, Κατέσχεθε.] Ἐκ ΔΓ, ΑΤ, Κατέσχε.—Στ. 20, Τὸ δ' Ἀκραίφιον.] Τὸ αὐτὸ ταῖς ἀνωτέρω (σελ. 180) δηλυκῶς καὶ πληθυντικῶς ῥηθείσαις Ἀκραιφίαις. Νῦν δὲ καλεῖται Προσκίνα ἡ Προσκίνα (Proscina), ὡς φασιν οἱ περιηγηταί. Ἰδε τὰς εἰς τὴν Γαλλ. μετάφρ. σημειώσεις.

ΣΕΛΙΔ. 184, στ. 4, Οὐδέ.] ΗΔ, ΑΤ, Οὔτε. Ἔν τινι δὲ τῶν ἀντιγράφων οὐδέτερον φέρεται.—Στ. 7, Ἰδομενεὺς... τέκτονος υἱόν.] Ἐκ τῆς Ἰλιάδος, ε, 43, ὅπου μέντοι ἀντὶ τοῦ, τέκτονος, φέρεται, Μήονος. Καὶ ἔοικε τοιαύτη γεγονέναι πάλαι καὶ ἡ παρὰ τῷ Στράβωνι γραφή, εἴγε τὴν Τάρνην τῆς Αὐδίας (τῆς καὶ Μαιονίας, ἡ Μηονίας καλουμένης) εἶναι, ἐκ τούτου Στράβων κατασκευάζειν ἠβούλετο, ὅτι ὁ παρὰ τῷ Ποιητῇ Φαῖος, ὁ ἐκ Τάρνης, Βώρου ἦν υἱὸς τοῦ Μήονος, τουτέστι τοῦ Λυδοῦ.—Στ. 14, Ἥρη.] Ἐκ τῆς Ἰλιάδος, σ', 8.—Στ. 16, Γεγενῆσθαι.] Ἄμεινον ἂν ἐγράφετο, Γεγεννῆσθαι.—Στ. 24, Καταφυγεῖν.] ΗΔ, ΑΤ, Καταφεύγειν.

ΣΕΛΙΔ. 185, στ. 1, Χαιρώνεια.] Ἡ πρότερον Ἄρνη, εἶτα Χαιρώνεια, νῦν δὲ Κάπραινα καλουμένη (Ἰδ. Πλουτάρχ. βίων Μέρ. Α, Προλεγομέν. σελ. ξδ', σημ. 6, ἐμ. ἐκδ.).—Στ. 9, Δεβάδεια.] Ἡ νῦν Λεβαδία, ἀφ' ἧς καὶ ἡ πᾶσα Βοιωτία οὕτως ὠνόμασται.

—Στ. 13, Λεῦκτρα.] Κατὰ μὲν τὸν Δαμβίλλην, Λιβαδόςρο νῦν καλούμενα, κατὰ δὲ τὸν Πατρίκιον, Ἰτέχια (Itechia)· ἕτεροι δὲ ἐν τῷ νῦν καλουμένῳ Παραπόγια (Parapogia) τόπῳ κεῖσθαι τὰ πάλαι Λεῦκτρα φασίν. Ἴδε τὰς εἰς τὴν Γαλλ. μετάφρ. σημειώσεις.

ΣΕΛΙΔ. 186, στ. 2, Ὀρχομενόν.] Ὃν ὁ μὲν Πατρίκιος ἔτι καὶ νῦν Ὀρχομενὸν, ὁ δ' ἡμέτερος Μελέτιος Σκριποῦ φησὶν αὐτὸν καλεῖσθαι.—Στ. 6, Πολυχρηματήσαντας.] ΗΔ (παρὰ τὸ Πολυχρηματέω), ΑΤ, Πολυχρηματίσαντας (παρὰ τὸ βάρβαρον Πολυχρηματίζω)ι Συνῆκε δὲ τὴν διόρθωσιν καὶ ὁ κλεινὸς Σνειδέρος ἐν τῷ Ἑλληνογερμανικῷ Λεξικῷ. Παρὰ δὲ τὸ Πολυχρηματέω καὶ ὁ Πολυχρηματίας (Διογ. Λαέρτ. ς', 28), ἐπίθετον οὕπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς.—Στ. 8, Οὐδ' ὅσ' ἐς.] Ἐκ τῆς Ἰλιάδος, ί, 381.—Στ. 20, Οὔτε μὴ λαμβάνων πολλὰ, ἂν ἔχοι πολλά.] Οὕτως ἔγραψε, ΑΤ, Οὔτε μὴ λαμβάνων πολλὰ οὐκ ἂν ἔχοι πολλὰ, τοῦ Γερμανοῦ ἐκδότου, ὃς τὸ ἀπαγορευτικὸν μόνον, Μὴ, ἐξ ΕΔ παραλαβών, καὶ φυλάξας τὸ προηγούμενον, Οὔτε, ὤφειλε τὸ ἑπόμενον ἀρνητικὸν, Οὐκ, ἀποσχοινίσαι τοῦ χωρίου. Ἡ γὰρ ὅλη γραφὴ τοῦ διορθώσαντος (συνάδουσα τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει) οὕτως εἶχεν, Ὅ τε μὴ λαμβάνων πολλὰ, οὐκ ἂν ἔχοι πολλά. Ὅλον δὲ σχεδόν τι τὸ χωρίον τοῦτο μέχρι τῶν ἑπομένων (σελ. 187) λέξιων, Ὧνιά ἐςι, τοσαύτης γέμει σχολαςικῆς φλυαρίας, ὥς' οὐκ ἂν ὀκνήσαιμι ἀλλότριον εἶναι φάναι τοῦ Στράβωνος, ἐγγραφὲν, ἢ προσγραφὲν ἴσως τῷ χωρίῳ ὑπό τινος οὐ τῶν εἰδότων χρυσὸν ἀργύρῳ περιχεύεσθαι, ὥς φησιν ὁ Ποιητὴς, ἀλλὰ τῶν τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ κιβδηλεύειν ἐπιςαμένων.—Στ. 20, Εἰ δ' ἀμφότερα, συνέχει τὴν ἀμοιβήν. Τὸ γὰρ κ. τ. λ.] Ἠλλοίωσα καὶ τὴν γραφὴν καὶ τὴν ςίξιν, ΑΤ, Εἰ δ' ἀμφότερα συνέχει, τὴν ἀμοιβὴν ἔχει. Τὸ γάρ. Ὁ γὰρ νοῦς, ὁ ἀμφότερα ἐνεργῶν, τουτέςιν ὁ λαμβάνων τε καὶ διδοὺς ἐν μέρει, συνέχει, ὃ ἐςι σώζει καὶ ποιεῖ διαμένειν τὸ ἀμοιβαίως διδόναι καὶ λαμβάνειν· θατέρου δὲ ἐκλιπόντος, οὐδ' ἡ ἀμοιβὴ σώζοιτ' ἂν ἔτι· τῷ γὰρ λαμβάνοντι μόνον, διδόντι δὲ μηδὲν, παύσονταί ποτε οἱ διδόντες, ὥσπερ αὖ ὁ διδοὺς ἄνευ τοῦ λαμβάνειν, παύσεται καὶ αὐτὸς τῆς δόσεως, μηκέτι ἔχων ὅθεν δώσει.—Στ. 26, Οὐ δ' οὗτος ἑτέρως ἂν κατορθοῖη.] Οὐδ' ὁ λαμβάνων μὲν, μηδὲν δὲ χαριζόμενος, κατορθοῖη ἂν θατέρου, τὸ λαμβάνειν δηλονότι, ἢ τὸ χαρίζεσθαι.—Στ. 28, Τὰ χρήματ'.] Ἐξ Εὐριπίδου (Φοινισσ. 442) ἡ ῥῆσις.

ΣΕΛΙΔ. 187, στ. 5, Διάγωσιν.] Γραπτέον, οἶμαι, Ἄγωσιν. — Στ. 8. Στρατειαν.] Γράφε θαῤῥῶν, Στρατιάν.

ΣΕΛΙΔ. 188, στ. 3, Ἀχαιοὺς ἀποίκους Ὀρχομενίων.] Ἐναντία ταῦτα, ἢ γοῦν ἐναντιοφανῆ οἷς ἑξῆς (σελ. 308) ἐρεῖ περὶ τῶν ἐν Πόντῳ Ἀχαιῶν. — Στ. 11, Ὁ γὰρ Δαφνοῦς ἦν τότε τῆς Φωκίδος.] Ἐκ ΔΓ, ΑΤ, Οὐ γὰρ Δαφνοῦς ἦν τότε τῆς Λοκρίδος. — Στ. 15, Οὐ δοκεῖ.] Ἐκ ΔΓ (ὁμολόγου τῆς ἐν τῷ ἐμῷ ἀντιγράφῳ), ΑΤ, Οὐδ' ἐκεῖ.

ΣΕΛΙΔ. 189, στ. 6, Κνημίδος] Τῆς νῦν ὀνομαζομένης Χλωμὸς, ἡ Τὰ βουνὰ τοῦ Ταλαντίου, ὥς φησι Μελέτιος. Καὶ ἔςι τὸ δεύτερον τῶν ὀνομάτων παρὰ τὸ Ταλάντιον, κωμόπολιν ὑπὸ τῇ Κνημίδι κειμένην, οὕτω κληθεῖσαν ἀπὸ τῆς καταντικρὺ νήσου Ἀταλάντης. — Στ. 8, Παρνασός.] Τὸ πάλαι καὶ νῦν καὶ ἐσαεὶ κλεινὸν ὄνομα τοῦ Παρνασοῦ εἰς τὸ Τερνεσὸς μεταπεποιῆσθαί φησιν Εὐςάθιος (Ὀδυσσ. τ', σελ. 1872) ἐφ' ἑαυτοῦ. Νῦν δὲ καλεῖται Λιάκουρα, ὥς φησιν ὁ Μελέτιος· ὅπερ ὄνομα ἀπὸ τῆς ὑπερκειμένης τῷ Παρνασῷ Λυκωρείας πόλεως (περὶ ἧς ἐν τοῖς ἑξῆς σελ. 191 ὁ Στράβων) αὐτῷ τεθεῖσθαι, ἔδειξα ἐν ταῖς εἰς τὸν Ἡλιόδωρον (Μέρ. Β, σελ. 94) σημειώσεσι. — Στ. 14, Ὑπὲρ τούτων δ' ἤδη καί.] Ἐκ ΔΓ, ΑΤ, Ὑπὲρ τούτων δὲ καί. — Στ. 15, Ἀκαρνᾶνες, καί τινα τῶν Ἠπειρωτικῶν ἐθνῶν καὶ τῶν Μακεδονικῶν.] Τὸ μὲν πρῶτον ἐθνικὸν ὄνομα Ἐκ ΔΓ, τὰ λοιπὰ δ' ἐξ ΕΔ, ΑΤ, Ἀθαμᾶνες ἐκ τῶν Ἠπειρωτικῶν ἐθνῶν καὶ τῶν Μακεδονικῶν. Καὶ πιςοῦται τὴν ἡμετέραν γραφὴν χωρίον ἕτερον παράλληλον ἐν τῷ τέλει τῆς Στραβωνείου Γεωγραφίας (Μέρ. Γ, σελ. 307) τόδε· « Καὶ Αἰτωλῶν καὶ Ἀκαρνάνων, καί » τινων Ἠπειρωτικῶν ἐθνῶν, ὅσα τῇ Μακεδονίᾳ προσώρισαι. » Ἀνθ' οὗ δ' ἑξῆς προσέθηκα, Δεῖ δὲ, ἀναπληρῶν τὸ κενὸν τῶν ἀντιγράφων διάςημα, ἕτεροι προσθετέον εἶναι εἴκαζον τὸ, Ὥςε δεῖ. — Στ. 18, Ἀνατολάς.] Ἐκ διορθώσεως τοῦ Δουθείλου, ΑΤ, Ἄρκτους. — Στ. 27, Κατὰ μῆκος.] Ἐκ ΔΓ, ΑΤ, Κατὰ τὸ μῆκος. — Στ. 29, Ἡ δὲ νότιος, αἱ δὲ λοιπαὶ, Αἱ ἑσπέριοι κ. τ. λ.] Καὶ τοῦτο ἐκ τῆς διορθώσεως Δουθείλου (πλὴν οὗ προσέθηκα τελευταίου ἄρθου, Αἱ), ΑΤ, Ἡ δὲ ἑσπέριος, αἱ δὲ λοιπαὶ ἑσπέριοι. — Στ. 30, Οὐδὲ γὰρ ἡ.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ ἡ.

ΣΕΛΙΔ. 190, στ. 1, Μέχρι Ἀκτίου.] Ἐκ ΔΓ, ΑΤ, Μέχρι τοῦ ἀρκτίου — Στ. 2, Θεσσαλονικείας.] Οὕτως ἀνεπλήρωσα τὸ κενὸν τῶν ἀντιγράφων διάςημα, ὅπερ ἕτεροι ἀναπληροῦν ᾤοντο δεῖν διὰ

τοῦ.

τοῦ, Νότιον, ἄλλοι διὰ τοῦ, Σηπιάδος, καὶ ἐσχάτως ὁ Δουθείλης, διὰ τοῦ, Μακεδονίας.—Τελευτᾷ τὰ ἔθνη.] Ἐξ ΕΔ ἡ τοῦ κενοῦ ἀναπλήρωσις.—Στ. 3-7, Τῶν τοιούτων χωρίων... τὰς δὲ λοιπὰς οὐκέτι.] Παραβάλλων τὰ ἐν τῷδε τῷ χωρίῳ ἀναπληρώματα τοῖς σημειωθεῖσι διὰ μακρῶν ἐν τῇ Γαλλικῇ μεταφράσει (Strab. tom. III, pag. 448 et Éclaircissem. pag. 134 et 141) διακρίνειν ἔξεις τὰ ἡμέτερα τῶν ἀλλοτρίων.—Στ. 10, Δελφοί.] Οἱ νῦν καλούμενοι Καςρί.—Ἐλάτεια.] Ἡ νῦν Δεῦτα, κατὰ τὸν Μελέτιον· ὁ δὲ Γάλλος Δαμβίλλης ἀντ' αὐτῆς εἶναί φησι τὸ καλούμενον Τουρκοχῶρι.—Στ. 14, Νεῖκος κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, θ', 75-80.

ΣΕΛΙΔ. 191, στ. 6, Δυκώρεια.] Ἔπιθι τὰ μικρὸν ἀνωτέρω (σελ. 192) εἰρημένα μοι περὶ τῆς Δυκωρείας· ἧς τὸ νέον ὄνομα κακῶς ὁ Δαμβίλλης ἔτρεψεν εἰς τὸ Ἡλιόκορον (*Heliocoro*).—Στ. 7, Ὑπ' αὐτῷ.] ΗΔ, ΑΤ, Ἐπ' αὐτῷ.—Στ. 8, Κίρφις.] Τανῦν Στίβα καλούμενον ἐν τοῖς Πίναξι.—Στ. 9, Ἀπολείπον.] Ἐκ ΔΓ, ΑΤ, Ἀπολιπόν.—Στ. 10, Ἰλιεύς.] Ὁ νῦν Σιζαλίσκα (Sizalisca) σημειούμενος ἐν τοῖς Πίναξι.—Στ. 14, Κρίσσα.] Καὶ νῦν τῷ αὐτῷ ὀνόματι, Κρίσσα, γράφεται ἐν τῷ Πίνακι τοῦ Ἰταλοῦ Πάλμα, καὶ οὐ Χρισσὸ, ὡς φέρεται παρὰ τῷ Μελετίῳ.—Στ. 15, Ἀντίκιρρα.] Ἡ νῦν καλουμένη, Ἄσπρα σπίτια· κατὰ δὲ τὸν Μελέτιον οὐ ταύτη, ἀλλὰ ἐν τῷ λεγομένῳ, Μετοχίῳ τοῦ ἁγίου Λουκᾶ, ἡ Σιδηροκαυχίῳ, κεῖται ἡ πάλαι Ἀντίκιρρα.—Στ. 16, Τὸν Ἑλλέβορον.] Σκάρφην, θηλυκῶς, ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ νῦν λέγεσθαι τὸν Ἑλλέβορον φασὶν οἱ κοινοὶ Λεξικογράφοι. Παρ' ἑτέροις δὲ γράφεται Σκαρφίν (ὅπερ ἐςὶν οὐδέτερον συγκεκομμένον παρὰ τὸ Σκαρφίον), καὶ Καρφίν, καὶ Καρπίν. Καὶ ἔοικέ τὸ γνήσιον ὄνομα Καρφίον εἶναι, παρὰ τὸ Κάρφος, διὰ τὴν τῆς ῥίζης εἰς πλεῖςα οἱονεὶ τριχία καὶ κάρφη ἀποτελεύτησιν. α Ῥίζαι δ' ὕπεισι λεπταὶ, μέλαιναι, οἱονεὶ ἀπό τινος κεφαλίου κρομμυώδους ἠρτημέναι· ὧν καὶ ἡ χρῆσις φησὶν ὁ Διοσκορίδης (δ', 151). Ἔςι δ' ἡ ῥίζα κοιλίας καθαρτικὸν τῶν ἄγαν σφοδρῶν, ὥςε καὶ παρημελῆσθαι τὴν χρῆσιν αὐτῆς τοῖς νεωτέροις ἰατροῖς, ἠπιωτέρων εὐποροῦσι φαρμάκων· καὶ καταπλασσομένη δὲ εἰς διαφόρους ποιεῖ νόσους. Ἔχει δὲ καὶ πταρμῶν κινητικὴν δύναμιν τριβομένη καὶ ταῖς ῥισὶ προσφερομένη· ὅθεν καὶ Nieſewurz, τουτέςι Πταρμικὴ ῥίζα, ὠνόμασαι τοῖς Γερμανοῖς ὁ Ἑλλέβορος.

ΣΕΛΙΔ. 192, στ. 1, Ἀμφισεῦσι.] Τοῖς κατοίκοις τῆς Ἀμφίσσης, ἣν νῦν Σαλώναν τινὲς καλεῖσθαί φασιν· ὁ Μελέτιος δὲ Λαμπηνοὺς

ὀνομάζει τὴν πόλν.—Στ. 2, Γὰρ καὶ οὗτοι.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Γὰρ οὗτοι.—Στ. 26, Πᾶν τὸ τοιοῦτον.] Ἐκ ΔΓ προσειληφα τὸ ἄρθρον.—Στ. 27, Πλείω καὶ ἐκ πλειόνων ἐπιδήμει.] ΗΔ, ΑΤ, Πλεῖον καὶ ἐκ πλειόνων ἐπιδημεῖ. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις φέρουσι, Πλείων, ὅπερ αὐτὸς διορθῶν ἔτρεψεν εἰς τὸ οὐδέτερον ἑνικὸν Πλεῖον· ἡμῖν δ' ἔδοξε τρεπτέον εἶναι μᾶλλον εἰς τὸ πληθυντικὸν οὐδέτερον. Τρίπειν δ' ἐπάναγκες δεῖν ᾠήθημεν καὶ τὸν ἑνεςῶτα τοῦ ῥήματος εἰς τὸν παρατατικὸν, διὰ τὸν ἕτερον παρατατικὸν, Ἐνομίζετο· ὁ γὰρ νοῦς, Ὅσῳ πλείω ἔθνη καὶ ἐκ πλειόνων πόλεων ἢ χωρῶν ἐπιδήμει, τοσῷδε μεῖζον ἐνομίζετο καὶ τὸ ὄφελος.

ΣΕΛΙΔ. 193, στ. 1, Ἐπὶ τὸ πλεῖον.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ τὸ πλεῖςον.—Στ. 5, Προσέλαβε.] Ἐκ ΔΓ, ΑΤ, Προσελάβετο.—Στ. 24, Δυοκαίδεκα.] Ἐκ ΔΓ, ΑΤ, Δώδεκα.

ΣΕΛΙΔ. 194, στ. 10, Τὸ ἐν Δελφοῖς ἱερὸν χρημάτων χάριν· τῶν δ' ἀναθημάτων τὰ μὲν κ. τ. λ.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος (ἴδ. τὰς Γαλλ. σημ. tom. III, pag. 458, not. 2) ἡ ςίξις, καὶ ἐκ μέρους ἡ γραφὴ, ΑΤ, Τὸ ἐν Δελφοῖς ἱερὸν' χρημάτων δὲ χάριν τῶν ἀναθημάτων τὰ μέν. ΔΓ (οὐ χείρων τῆς διορθώσεως),... χρημάτων χάριν, καὶ τῶν ἀναθημάτων τὰ μέν. Ὁ νοῦς, Τὰ μὲν χρήματα πάντα ἀφῃρέθη τὸ ἱερόν· ὧν δ' εἶχεν ἀναθημάτων τὰ μὲν ἥρται κ. τ. λ. Ἕτερα γὰρ τὰ χρήματα τῶν ἀναθημάτων, ἢ δῆλον καὶ ἐκ τοῦ Παυσανίου (γ', 23), τοῦ ἐν Δήλῳ ἱεροῦ τὴν σύλησιν ἱςοροῦντος ἐκείνου· « Κατασύρας πολλὰ μὲν ἐμπόρων χρήματα, » πάντα δὲ ἀναθήματα ». —Στ. 14, Οὐδ' ὅσα κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, ι, 404.—Στ. 19, Ἐπινοοῦσιν.] ΔΓ (σχεδὸν ἐξίτηλος), Ὑπονοοῦσιν.—Στ. 22, Ὑπὸ τούτων.] Οὕτως ἀνεπλήρωσα τὸ ἐν ταῖς ἐκδόσεσι καὶ ἐν τοῖς ἀντιγράφοις κενὸν διάςημα· ἀνκφίρεται δὲ εἰς τὸν Ὀνόμαρχον καὶ τὸν Φάυλλον. Τὰ ἑξῆς δὲ κενὰ κατέλιπον, ὥσπερ καὶ οἱ πρὸ ἐμοῦ.—Στ. 26, Ἐπὶ τῶν ἄλλων, οἷς οὐ προσῆκε τὰ παλαιά.] Ἐξ εἰκασίας κἀνταῦθα ἀπήρτισα τὰ κολοβὰ, οὕτως ἔχοντα ἐν ταῖς ἐκδόσεσιν, Ἐπὶ τῶν ἄλλων οὐ... ἦκοι τὰ παλαιά.

ΣΕΛΙΔ. 195, στ. 5, Πετέσθαι.] ΗΔ (κατὰ χρόνον ἀόριςον), ΑΤ, Πέτεσθαι (ἐνεςῶτος). ΔΓ, Φυγεῖν· ὅπερ ἔοικεν ἐξήγησις εἶναι τοῦ Πετέσθαι, ὀρθῶς κατὰ μεταφορὰν λεγομένου ἐπὶ τῆς δρομαίας ἐκφυγῆς, οἵαν εἰκὸς ἐςὶ φεύγειν τοὺς ὑπὸ σεισμοῦ καταχωσθῆναι μέλλοντας. Λέγει δὲ καὶ ἡ συνήθεια παραπλησίως ἐπὶ τῶν τοιούτων, Ἐπέταξεν ἔξω.—Στ. 22, Ἄγκρουσις.] Ἐκ ΔΓ, ΑΤ,

Ἀνάκρουσις. Δῆλον δὲ καὶ ἐκ τοῦ ἑχομένου (Ἄμπειρα, ἀντὶ τοῦ Ἀνάπειρα) γνήσιον εἶναι τὸ Ἄγκρουσις.

ΣΕΛΙΔ. 196, στ. 1, Ἄγκρουσιν.] ΗΔ (ἵνα συνάδῃ τῇ ἀνωτέρω γραφῇ), ΑΤ, Ἀνάκρουσιν.—Στ. 3, Ἐπιπαιανισμόν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιπαιωνισμόν. Ἐκβεβλήσθω τοίνυν τῶν Ἑλληνικῶν Λεξικῶν ὁ Ἐπιπαιωνισμὸς, ταύτῃ μόνῃ τῇ κακῇ γραφῇ τοῦ Στράβωνος μαρτυρούμενος, καὶ εἰσήχθω εἰς τὴν αὐτοῦ χώραν ὁ Ἐπιπαιανισμός.—Στ. 5, Ὄθιν.] Προσέθηκα τὴν λέξιν ἐκ τῆς ἀρχαίας Λατινικῆς μεταφράσεως unde· ἣν ἀγνοήσας ὁ Κασωβὼν προστίθει τὸ, ὡς. Τὸ δὲ Ἰαμβίζειν Ἡσύχιος ἐξηγεῖται λοιδορεῖν, κακολογεῖν.—Σύριγγας.] ΗΔ, ΑΤ, Σύριγγες.

ΣΕΛΙΔ. 197, στ. 4, Τοὺς ἀνθρώπους ἀποτρίποντα τῶν ἀνημέρων κ. τ. λ.] ΗΔ, ΑΤ, Τοὺς ἀνθρώπους ἀπό τε τῶν ἀνημέρων.—Στ. 14, Καίειν.] ΗΔ, ΑΤ (ἀτόπου), Καὶ ἀεί.—Στ. 20, Τύπον.] Ἐξ ΕΔ, ΑΤ, Τόπον.

ΣΕΛΙΔ. 198, στ. 1, Ἑξῆς.] ΗΔ, ΑΤ, Ἐξ ἀρχῆς.—Στ. 2, Ὄπισθεν... ὁ Μάραθος.] Στιγμαῖς διείληφα τὸ χωρίον, ἐμφῆναι βουλόμενος παραβιβλίφθαι τι ὑπὸ τῶν ἀντιγραφέων. Τί γὰρ βούλεται τὸ, Ὄπισθεν, ἐνθάδε, χαλεπὸν, ἢ μᾶλλον ἀδύνατον συνιδεῖν.—Στ. 3, Μυχός.] Οὗ ἀνωτέρω (σελ. 178) ἐμνημόνευσεν.—Στ. 4, Ἀβαί.] Ἃς ἐν τοῖς ἑξῆς (σελ. 230), Ἄβαν ἑνικῶς καὶ βαρυτόνως ἐρεῖ, κατὰ τὸ Πλάταια καὶ Πλαταιαί. Τῶν Ἀβῶν δὲ τὸν τόπον κατέχει νῦν κώμη, Μόδι καλουμένη, ὡς φησιν ὁ Μελέτιος.—Στ. 5, Ἄμβρυσος.] Ἡ νῦν Δίς ομο καλουμένη.—Στ. 6, Καὶ ἡ Μεδεὼν, ὁμώνυμος τῇ Βοιωτιακῇ.] ΑΤ, Οὐδ' ὁ Μεδεὼν ὁμώνυμος τῇ Βοιωτικῇ.—Στ. 9, Θουκυδίδης.] Ἐν τῇ Συγγραφῇ (β', 29).—Στ. 12, Δαυλίαν.] Τὴν εἰσέτι καὶ νῦν οὕτω καλουμένην.—Στ. 13, Οἱ Κυπάρισσον ἔχον.] Ἐκ τῆς Ἰλιάδος, β', 519. Τὴν δὲ Φωκικὴν Κυπάρισσον ταύτην ὁ Παυσανίας (ί, 36), τὴν αὐτὴν εἶναι οἴεται τῇ Ἀντικίρρᾳ. Ἔξι δ' οὖν (φασιν) ἡ νῦν καλουμένη Ἀραχόβα. Σκοπητέον ὅμως, μήποτε ἡ Ἀραχόβα, οὐχ ἡ πάλαι Κυπάρισσος ἐστὶν, ἀλλ' ὁ Ἐρωχὸς, Φωκικὴ πόλις, μία τῶν ὑπὸ Ξέρξου καταπρησθεισῶν, ὡς φησιν ὁ Παυσανίας (ί, 3).—Στ. 16, Πανοπεύς.] Οὗ τῶν ἐρειπίων πλησίον κεῖται νῦν ἡ κώμη Ἅγιος Βλάσιος καλουμένη, κατὰ τὸν Μελέτιον.

ΣΕΛΙΔ. 199, στ. 6, Εἶθ' Ὑάμπολις μετὰ ταῦτα ἐκλήθη... τῆς ἐν Παρνασῷ Ὑαμπόλεως.] Συγκέχυται ταῦτα, ὡς' ἄλλους ἄλλως ἐπι-

καλεῖσθαι διορθοῦσθαί τε καὶ ἐξηγεῖσθαι· περὶ ὧν ὁ βουλόμενος ἐπίτω τὰς ὑποτεταγμένας ταῖς Ἑλληνικαῖς ἐκδόσεσι καὶ τῇ Γαλλικῇ μεταφράσει σημειώσεις. Ἰσ.γρ. Εἶθ' Ὑάμπεια, ἡ Ὑάμπολις μετὰ ταῦτα ἐκλήθη... τῆς ἐν Παρνασῷ Ὑαμπείας. Σώζεται δὲ καὶ μέχρι δεῦρο τὸ τῆς Ὑαμπόλεως ὄνομα.—Στ. 9, Ὑαμπόλεως.] ΔΓ, Ὑαμπείας.—Στ. 19, Σταδίους.] Ἐκ ΔΓ, ΑΤ, Σταδίων.—Στ. 22, Τοῦ Ἡδυλίου ὄρους] Οὕτως ἀνεπλήρωσα τὸ κολοβῶς φερόμενον ἔν τινι τῶν ἀντιγράφων Τοῦ η... ὄρους. Ἴδε τὰς ὑποτεταγμένας τῇ Γερμανικῇ ἐκδόσει σημειώσεις.—Ἀπολείποντι.] Ἐξ ΕΔ, ΑΤ, Ἀπολεῖπον.—Τῶν ἀν... ὁρίων.] Τὸ ἐν τοῖς ἀντιγράφοις κολοβῶς φερόμενον, οἱ μὲν οὕτως ἀπαρτίζειν ἐπεβάλοντο, Τῶν αὐτῶν ὁρῶν, οἱ δὲ, Τῶν Ἀνεμωρειῶν (τουτέστι τῆς μικρῷ πρόσθεν ἑνικῶς ῥηθείσης πόλεως Ἀνεμωρείας), καὶ ἄλλοι ἄλλως.—Στ. 26, Οἵ τε Λίλαιαν.] Ἐκ τῆς Ἰλιάδος, β', 523.

ΣΕΛΙΔ. 200, στ. 1, Τὸ δ' Ἡδύλιον.] Ἐξ ΕΔ (ἵνα συνάδῃ δηλονότι τοῖς μικρὸν ἀνωτέρω), ΑΤ, Τὸ δὲ Δαύλιον.—Στ. 7, Καί τε.] Ἐκ τοῦ σχολιάσαντος τὸν Ἄρατον (Φαινομ. 46), ΑΤ, Καὶ δέ.—Στ. 13, Ἀπόλλωνία.] Τῇ νῦν καλουμένῃ Πολλίνᾳ.—Ἐπιθάμνῳ.] Τῇ μετονομασθείσῃ Δυρράχιον, ἐξ οὗ τὸ νῦν ὄνομα Δουράτσο (Durazzo).—Στ. 17, Ἐπὶ τό.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ τῷ.—Στ. 23, Ἐσχίζοντό ποτε ἐφ' ἑκάτερα.] ΗΔ, ΑΤ, Σχίζονται ἐφ' ἑκάτερα. ΔΓ, Σχίζονταί ποτε ἐφ' ἑκάτερα.

ΣΕΛΙΔ. 201, στ. 7, Βοιωτιακή.] Ἐκ ΔΓ, ΑΤ, Βοιωτική.—Στ. 9, Ὀποῦς.] Ἡ νῦν καλουμένη Πουντονυίτζα, καθά φησι Μελέτιος.—Στ. 10, Τὸ ἐπὶ τῇ.] Ἐκ ΔΓ, ΑΤ, Τὸ ἐν τῇ.—Στ. 13, Μητρόπολις Λοκρῶν εὐθυνόμων Ὀπόεις κεύθει.] ΗΔ, ΑΤ (ἐν ἑνὶ μόνῳ σίχῳ), Μητρόπολις Λοκρῶν κεύθει ὁμοῦ Ὀπόεις· ὅπερ ὁ Γερμανὸς ἐκδότης ἔγραψεν (ἐξ ΕΔ), ἀντὶ τοῦ ἐν ταῖς προτέραις ἐκδόσεσι φερομένου, Μητρόπολις Λοκρῶν πεύθει Ὀπουντία. ΔΓ, Μητρόπολιν Λοκρῶν κεύθει νόμων Ὀπόεις. Τὸ ἐμὸν ἀντίγραφον κολοβῶς, Μητρόπολις Λοκρῶν ΘΥΝΟΜΩΝ Ὀπόεις· ἀνθ' οὗ ἕτερα, ΙΘΥΝΟΜΩΝ, καὶ ἄλλα, ΕΥΘΥΝΟΜΩΝ, ἑκάτερα ὀρθῶς· εἰσὶ γὰρ οἱ Ἰθύνομοι, ἢ Εὐθύνομοι οἱ αὐτοὶ τοῖς συντομώτερον λεγομένοις, Εὐνόμοις, τουτέστι τοῖς ὑπὸ δικαίων νόμων κυβερνωμένοις· ὃ καὶ Πίνδαρος δεδήλωκε (Ὀλυμπ. θ', 25), περὶ τῆς Ὀπούντος πόλεως αὐτῆς ταύτης τὸν λόγον ποιούμενος, ἣν φησιν, ὅτι

Σώτειρα λέλογχεν
Μεγαλόδοξος εὐνομία.

Καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς· δεῖν δ' ἔγνων φυλάξαι εἰς ἀπαρτισμὸν τοῦ νοήματος καὶ τὸ ῥῆμα, Κεύθει, ὅπερ ἀρχὴν τρίτου σίχου ἐπάναγκες ἐποίει.—Στ. 15, Τῆς θαλάττης.] Ἐκ ΔΓ προσειληφα τὸ ἄρθρον.—Στ. 16, Κῦνος.] Ἴσως τὸ ἐν τῷ Πίνακι τοῦ Ταετάνου Πάλμα σημειούμενον Ἐκίνου (Eckinu).—Στ. 19, Αἰδηψόν.] Ἧς καὶ Πλούταρχος (Περὶ φιλαδελφ. § 17, καὶ Συμποσιακ. δ', 4) μνημονεύει. Καλεῖται δὲ νῦν Δηψό.—Τὰ Ἡρακλέους.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ Ἡρακλέους.—Στ. 21, Οἰκῆσαι.] Ἐκ ΔΓ, ΑΤ, Ὠκῆσθαι.—Στ. 23, Ἀταλάντη.] Ἡ νῦν Ταλάντι, κατὰ τὸν Σοφιανὸν, ἡ Ταλαντονῆσι, κατὰ τὸν Μελέτιον.—Στ. 27, Ὁ Πάτροκλος.] Ἐκ ΔΓ προσειληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 202, στ. 7, Ἑξῆς δέ.] Ἐκ ΔΓ προσειληφα τὸν σύνδεσμον. —Στ. 12, Κνημίδες.] Αἱ νῦν Ἐρετία (Eretia), ὥς γέ φησιν ὁ Πατρίκιος. — Στ. 15, Εἰκοσαεδίῳ.] Ἐκ ΔΓ, ΑΤ, Εἴκοσι σταδίων.—Στ. 20, Θρόνιον.] Τὸ νῦν Παλαιόκαστρον λεγόμενον, κατὰ τὸν Μελέτιον.—Στ. 21, Βοάγριος.] Κατὰ τὸν Μελέτιον, ὁ κοινῶς νῦν καλούμενος Γαβριᾶς, βαρβάρῳ μεταθέσει καὶ συγχύσει τῶν στοιχείων. Ἕτεροι δ' αὐτὸν καὶ νῦν, ὡς καὶ πάλαι, Βοάγριον, ἢ Βοαγρίαν καλεῖσθαί φασι.—Στ. 26, Ἐλάττοσι δὲ μικρῷ.] Ἐκ ΔΓ προσειληφα τὰς τρεῖς λέξεις, σημειώσας καὶ τὸ μετ' αὐτὰς ἐν τοῖς ἀντιγράφοις κενὸν διάστημα.

ΣΕΛΙΔ. 203, στ. 2, Οἰκεῖται... τι πεδίον· καὶ καλοῦσιν οὕτως ἀπὸ τοῦ συμβεβηκότος τῷ τόπῳ· εὐήροτος γάρ ἐστι. Οὐδ' ἡ ἑξῆς δὲ Βῆσσα ἔστι, δρυμώδης τις τόπος· οὐδὲ αἱ Αὐγειαὶ, ὧν τὴν χώραν ἔχουσι Σκαρφιεῖς. Ταύτην κ. τ. λ.] Οὕτω διεσκεύασα τὸ χωρίον (μετὰ μὲν τὸ Οἰκεῖται κενὸν καταλείψας διάστημα, καθὰ δείκνυται ἐν τοῖς ἀντιγράφοις, προσθεὶς δὲ τὸ Αὐγειαὶ ἐξ αὐτοῦ Ὁμήρου, καὶ τὰ λοιπὰ ἐκ τοῦ Βυζαντίου Στεφάνου καὶ τοῦ Εὐσταθίου) ΑΤ, Οἰκεῖται· ἑξῆς δὲ Βῆσσα τι πεδίον· καλοῦσι δ' οὕτως ἀπὸ τοῦ συμβεβηκότος τῷ τόπῳ· δρυμώδης γάρ ἐστι. Ταύτην κ. τ. λ. (Ἴδε τὰ διὰ μακρῶν σημειωθέντα ἐν τῇ Γαλλ. μεταφρ. tom. III, Éclaircissem. pag. 173-178).—Στ. 7, Νάπη... ἣν Ἑλλάνικος ἀγνοῶν Λάπην ὀνομάζει.] Οὐχ Ἑλλάνικος, ἀλλ' Ἑλλανίκου ἡμαρτημένα ἀντίγραφα, οἷς εἰκὸς ἐντυχεῖν τὸν Στράβωνα· ὁ γὰρ Βυζάντιος Στέφανος Νάπην γράφει, αὐτὸν τὸν Ἑλλάνικον παρεχόμενος μάρτυρα. —Στ. 11, Τάρφη... ἀπὸ τοῦ θάσους ὠνόμασαι.] Τάρφη γὰρ τὰ πυκνὰ καὶ δασέα λέγεται, κατὰ τὸ (Ἰλιάδ. ε, 555), Βαθείης τάρφεσιν

ὕλης.— Στ. 12, Εὔκαρπον καὶ εὔδενδρον.] Τί διαφέρει τὸ Εὔκαρπος τοῦ Εὔδενδρος, ἐξηγησάμεθα διὰ μακρῶν ἐν ταῖς εἰς Ἱπποκράτην (Περὶ ἀέρ. ὑδ. τόπ. Μέρ. Β, σελ. 204) Γαλλιστὶ γεγραμμέναις σημειώσεσι.—Στ. 19, Λοκρῶν.] Ἐκ τῆς Ἰλιάδος, β', 535.— Στ. 20, Ἀλλ' οὐδ' ὑπὸ τῶν ἄλλων τεθρύλληται ποιητῶν.] ΗΔ, ΑΤ, ἐν τοῖς ἀντιγράφοις φερομένου (οὐδεμία γὰρ τῶν πρὸ τῆς ἡμετέρας ἐκδόσεων φέρει τὰς ἑπτὰ ταύτας λέξεις), Ἀλλ' οὔποτε ἄλλων τεθρύληται (ἄλλ. τεθρύλληται) πολλῶν. Μαρτυρεῖ δὲ τῇ ἡμετέρᾳ γραφῇ καὶ διορθώσει ἕτερον Στράβωνος (Μέρ. Γ, σελ. 187) χωρίον παράλληλον τόδε, «Οἱ μὲν οὖν ποιηταὶ τὴν Σιδόνα τεθρυλ-» λήκασι μᾶλλον [τῆς Τύρου]· Ὅμηρος δὲ οὐδὲ μέμνηται τῆς Τύρου ».— Στ. 22, Ναύπακτος.] Ἡ βαρβάρως ὀνομασθεῖσα Νέπαντος πρῶτον, κατὰ τὸν Νίγρον, ἔπειτα βαρβαρωτέρως, Λέπαντος, κατὰ τὸν Σοφιανόν.

ΣΕΛΙΔ. 204, στ. 6, Μυλύκρεια.] Ἡ νῦν Καυρολήμνη, κατὰ τὸν Μελέτιον.— Στ. 7, Ἀντίρριον.] Κατὰ τὸν ὀνομαζόμενον νῦν τόπον château de Romélie.— Στ. 8, Ἄμφισσα.] Ταύτην δ' ἔφαμεν (ἀνωτέρ. σελ. 193) κατὰ μέν τινας εἶναι τὸν νῦν Σαλώναν, καθ' ἑτέρους δέ, τοὺς Λαμπηνούς.—Στ. 9, Καὶ Οἰάνθεια δὲ καὶ Εὐπάλιον Λοκρῶν εἰσιν.] Λείπουσιν αἱ ἑπτὰ λέξεις αὗται ἐν ἁπάσαις ταῖς ἐκδόσεσι· παρειλήφαμεν δ' αὐτὰς ἐξ ἀντιγράφων, πλὴν τῶν τμήμασι τετραγώνου διειλημμένων [Καὶ Οἰάνθεια], ἃς προσέθηκα ἐξ ἑτέρων εἰκασίας, ἣν πιστοῦται ὅ τε Παυσανίας (*i*, 38), μετὰ τὴν Ἄμφισσαν καταλέγων τὴν Οἰάνθειαν, καὶ ὁ Πλίνιος (*lib. IV*, 2) πρὸ τῆς Εὐπαλίας τιθεὶς αὐτήν. Ὁ δὲ Πτολεμαῖος (δι' ἀντιγραφέων ἴσως ἁμαρτίαν) Εὐανθίαν αὐτὴν ὀνομάζει.—Στ. 16, Αἰνιᾶνες.] Ἐκ ΔΓ, ΑΤ, Αἰνιᾶνες συνεχεῖς.—Οἱ τὴν Οἴτην ἔχοντες.] Ἐκ διορθώσεως τοῦ Κασωβῶνος, ΑΤ, Οἱ ταύτην ἔχοντες.—Στ. 17, Οἰκήσαντες.] ΔΓ, Οἰκίσαντες. —Στ. 19, Βοῖον.] Ἐκ τοῦ Βυζαντίου Στεφάνου, ΑΤ, Βόϊον.

ΣΕΛΙΔ. 205, στ. 7, Ἐπικρατείᾳ.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιρατείᾳ. —Στ. 13, Μετ' Ἀμυνάνδρου τοῦ Βασιλέως.] Ἐξ ΕΔ, ΑΤ, Μετ' Ἀμύντου βασιλέως. Ἰδ. τὰς Γαλλ. σημειώσεις.— Στ. 14, Διακατεῖχον.] Ἴσ. γρ. Ἰδίᾳ κατεῖχον.—Στ. 19, Τούτου δέ.] Ἐκ ΔΓ, ΑΤ, Τούτου δή.

ΣΕΛΙΔ. 206, στ. 12, ᾗ διέξεισι.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος, ΑΤ, Ἃς διέξεισι.—Στ. 13, Σπερχειῷ.] Ἑλλάδα νῦν καλεῖσθαί φησι τὸν Σπερχειὸν ὁ Μελέτιος (σελ. 337), ἢ μᾶλλον, ὡς ἀλλαχοῦ

(σελ. 384) ὀρθώτερον λέγει, Ποτάμι τῆς Ἑλλάδος. Ὃ δὲ προσίθησιν, ὅτι ὁ Σπερχειὸς, Σελαμβρία ὀνομάζεται ὑπὸ τοῦ Στράβωνος, διαγραπτέον ἐστὶν ἐκ τῆς Γεωγραφίας αὐτοῦ, ὡς παντάπασιν ἀλλότριον τοῦ Στράβωνος.—Στ. 19, Συμβάλλοντα.] Ἐκ ΔΓ, ΑΤ, Συμβάντα.

ΣΕΛΙΔ. 207, στ. 3, Καὶ ἔτι τὴν Δημητριάδα.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὴν Δημητριάδα.—Στ. 6, Ἐλεύθερα.] Ἐξ ΕΔ, ΑΤ, Τελευτᾷ.

ΣΕΛΙΔ. 208, στ. 20, Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι, καὶ τῶν Ἠπειρωτῶν Ἀθαμᾶνες.] Ἴσως ἐγέγραπτο, Ἀκαρνᾶνες, καὶ τῶν Ἠπειρωτῶν Ἀμφίλοχοι καὶ Ἀθαμᾶνες (Ἰδ. τὴν Γαλλ. μετάφρασ. *tom. III, Eclaircissem. pag.* 200).

ΣΕΛΙΔ. 209, στ. 2, Πηνειὸς.] Ὁ νῦν Σαλαμβρία καλούμενος.—Στ. 7, Κατὰ τὰ νῦν... ἀποσχίσαντος.] Τοῦτο μὲν ἐκ ΔΓ, ΑΤ, ἀποσχίζοντος. Τὴν δὲ πρόθεσιν, Κατά, αὐτὸς προσέθηκα. Τὰ δὲ πολυθρύλλητα Τέμπη, νῦν Μπαμπὰ καλεῖσθαί φησιν ὁ Μελίτιος.—Στ. 13, Ἰσιαιῶτις.] Οὕτως ἔγραψα διόλου τὴν Θετταλικὴν Ἰσιαιώτιδα, ΑΤ, Ἐσιαιῶτις· καὶ ἐνθάδε μὲν αὐτὸς διορθώσας, ἐν δὲ τοῖς ἑξῆς (σελ. 219) τοῖς ἀντιγράφοις ἀκολουθήσας. Εἰ γὰρ καὶ μόνη διαλέκτῳ διαφέρει τὸ Ἰωνικὸν Ἰσία (ὅθεν ἡ Ἰσιαιῶτις) τοῦ Ἐσία (ὅθεν ἡ Ἐσιαιῶτις), ἐξενίκησεν ὅμως, καθά φησιν ὁ Βυζάντιος Στέφανος (λέξ. Ἰσία), τὴν μὲν ἐν Θετταλίᾳ διὰ τοῦ τ προφέρεσθαι, τὴν δὲ τῆς Εὐβοίας ἀδιαφόρως καὶ διὰ τοῦ τ καὶ διὰ τοῦ τ. Προσμαρτυρήσει δὲ τούτοις καὶ ὁ Παυσανίας (ζ, 26), λέγων, «Ἐπεὶ κατ' ἐμὲ ἦσαν » ἔτι, οἱ Ὡρεὸν τὴν ἐν Εὐβοίᾳ τῷ ὀνόματι Ἐρετρίαν ἐκάλουν τῷ » ἀρχαίῳ ».

ΣΕΛΙΔ. 210, στ. 2, Καί τινα.] Ἐκ ΔΓ προσειληφα τὸν σύνδεσμον.—Στ. 9, Ὅσσοι κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 681.—Στ. 15, Στρατιᾶς.] ΗΔ, ΑΤ, Στρατείας.—Στ. 16, Αὐτῶν.] ΔΓ (οὐκ ἀπίθανος), Αὐτόν.—Στ. 21, Τοῦτο δή.] Ἄμεινον ἂν γράφοιτο, Τοῦτο δέ.—Στ. 24, Ναῖον.] Ἐκ τῆς Ἰλιάδος, ί, 484.—Στ. 26, Ὀλίγων ἐπιζάτης καὶ ῥήτωρ ἔπεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Ὀλίγων ἐστὶν ἐπιζάτης, καὶ ῥήτωρ ἕπεται.—Στ. 27, Τὰ δ' ἔπη.] Ἄμεινον ἂν λέγοιτο, Τὰ γὰρ ἔπη, καθάπερ ἡρμήνευσι καὶ ὁ ἀρχαῖος Λατῖνος μεταφραστής.—Στ. 29, Μύθων.] Ἐκ τῆς Ἰλιάδος, ί, 443.

ΣΕΛΙΔ. 211, στ. 2-5, Ἄργος... τὸ τῶν Θετταλῶν πεδίον οὕτως ὀνοματικῶς λεγόμενον.] Τούτων τὸν νοῦν οὐκ ἔστι θηράσασθαι, μὴ

παραβαλόντας οἷς ἀνωτέρω (σελ. 119-123) Στράβων εἴρηκε περὶ τῶν διαφόρων τῆς λέξεως Ἄργους σημασιῶν. Ἔλεγε δὲ, ὅτι Ἄργος ἐκαλεῖτο οὐ μία μόνον τῶν ἐν Πελοποννήσῳ πόλεων, ἀλλὰ καὶ ὅλη ἡ Πελοπόννησος, ἡ καὶ μετὰ τοῦ ἐπιθέτου, Ἄργος Ἰασον, ἡ Ἀχαϊκὸν ἐλέγετο· καὶ αὐτὴ δὲ ἡ Θετταλία Ἄργος Πελασγικὸν ὠνομάζετο· καὶ ἔτι κοινότερον ἡ σύμπασα Ἑλλὰς τῷ τοῦ Ἄργους ὀνόματι ἐδηλοῦτο· προσττίθει δὲ (σελ. 123) τελευταῖον, ὅτι Ἄργος καὶ τὸ πεδίον ἐκάλουν Μακεδόνες τε καὶ Θετταλοί. Ἐκ τούτων οὖν δῆλον, ὅτι ἐπὶ μὲν τῶν προτέρων τεσσάρων σημασιῶν τὸ Ἄργος κυριωνυμικὸν ἦν, ταὐτὸν εἰπεῖν ὀνοματικὸν, ἐπὶ δὲ τῆς τελευταίας προσηγορικὸν, ὥσπερ καὶ ἡ λέξις Ἤπειρος, προσηγορικῶς μὲν τὰς ἀντιδιαζελλομένας ταῖς νήσοις μερίδας τῆς γῆς ἐκφαίνει, ὀνοματικῶς δὲ ἡ κυρίως, τὴν ὁριζομένην ἐκ μέρους τῷ Ἰονίῳ πελάγει χώραν. Καὶ ταῦτα μὲν ὁ Στράβων ἐκεῖ περὶ τοῦ Ἄργους τοῦ σημαίνοντος ἁπλῶς πεδίον, κατὰ Μακεδόνας, ἢ Θετταλούς· ἐνταῦθα δὲ, οἷον διορθούμενος τοὺς οὕτως ἐξηγησαμένους τὸ Ἄργος, οὗ φησιν ἅπαν πεδίον ἁπλῶς (ὅ ἐστι προσηγορικῶς) ἄργος λέγειν τοὺς Θετταλοὺς, ἀλλ' ὀνοματικῶς καὶ κυρίως τὸ Θετταλικὸν πεδίον, τουτέστι τὴν Θετταλίαν. —Στ. 7, Τῇ Ἑλλάδι τῇ καὶ Ἀχαΐᾳ, ταύτην.] Τὸ μὲν Ταύτην ἐκ ΔΓ, ΑΤ, Ταύτας· προσεθηκα δ' αὐτὸς τὸ δεύτερον ἄρθρον, ἵνα μίαν ἀντὶ δύο λέγῃ χώραν, τρισὶν ὀνόμασι, κατά γε τὴν τινῶν δόξαν, καλουμένην, Ἑλλάδα, Φθίαν καὶ Ἀχαΐαν. Πιστοῦται δὲ τοῦτο Στράβων ἐν τοῖς ἑξῆς (σελ. 213), λέγων, «Καὶ ἡ χώρα δὲ Φθιῶτις καλεῖται » καὶ Ἀχαϊκὴ », καὶ αὖθις (σελ. 214), «Ἀχαιοὶ δ' ἐκαλοῦντο οἱ » Φθιῶται πάντες ». —Στ. 11, Οἵ τ' εἶχον.] Ἐκ τῆς Ἰλιάδος, β', 683.—Στ. 13, Φιῦγον.] Ἐκ τῆς αὐτῆς, ι, 478.—Στ. 16, Ἂν' Ἑλλάδα.] Ἐκ τῆς Ὀδυσσείας, λ', 496.

ΣΕΛΙΔ. 212, στ. 3, Ὁ δ' Ἐνιπεύς.] Ὃν ἀνωτέρω (σελ. 109) Ἐνισέα γράφεσθαι ἔλεγε, πρὸς ἀντιδιαζολὴν τοῦ ἐν τῇ Πελοποννήσῳ Ἐνιπέως. Ἡσύχιος δὲ διὰ τοῦ λ τὴν δευτέραν συλλαβὴν, «Ἐλιπεὺς, » ὁ Ἐνιπεὺς ποταμός »· καὶ ὑποβὰς, «Ἐνιπεὺς, ποταμὸς Θισσαλίας ». Ὁ δ' Ἐτυμολόγος (σελ. 342) καὶ τοὔνομα ἐξηγεῖται γελοίως· «Ἐνι- » πεὺς, ὄνομα ποταμοῦ· ἀπὸ τοῦ Ἐνιπὴ, ἡ ἀπειλή· καὶ γὰρ οὗτος » ὁ τόπος (γρ. ὁ ποταμὸς) ἄγριός ἐστι, καὶ ἀπειλοῦντι ἔοικεν ». —Στ. 15, Ἔνθα δέ.] Ἐκ τῆς Ἰλιάδος, ν', 685.—Στ. 18, Πρὸ Φθίων.] Ἐκ τῆς αὐτῆς, υ', 693, 699-700.—Στ. 26-29, Τὸ δὲ πλάτος... κόλπου.] Διπούτας ἐν ταῖς προτέραις ἐκδόσεσι τὰς ὑκτὼ καὶ εἴκοσι

ταύτας λέξεις προσέθηκα ἐξ ἀντιγράφων τὰς πλείσας, ὀλίγας δέ τινας ἐξ ΕΔ. Τὸν δ' ἐν ἀρχῇ σύνδεσμον ἀχερίσκοις διείληφα, ὡς κακῶς πλεονάζοντα.

ΣΕΛΙΔ. 213, στ. 7, Οἵ τ' Ἄλον.] Ἐκ τῆς Ἰλιάδος, β', 682. — Στ. 13, Τὴν Ἄλον.] Ἐκ ΔΓ, ΑΤ, Τὸν Ἄλον. — Στ. 15, Θῆβαί εἰσιν αἱ Φθιώτιδες.] Αἱ ὕστερον Φιλιππόπολις κληθεῖσαι ἀπὸ τοῦ ἐξανδραποδίσαντος αὐτὰς Φιλίππου, Μακεδόνων βασιλέως, ὡς φησιν ὁ Πολύβιος (ε, 100). Καλοῦνται δὲ νῦν Ζητοῦνι.—Στ. 17, Ἡ Φυλάκη ἡ.] Ἐκ ΔΓ προσείληφα τὸ δεύτερον ἄρθρον. — Στ. 28, Καὶ ὁ Ποιητὴς δέ.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος προσέθηκα τὸν δεύτερον τῶν συνδέσμων.

ΣΕΛΙΔ. 214, στ. 2, Δρυοπικοῦ ὄρους, τοῦ καλουμένου... πρότερον.] Ἐκ ΔΓ καὶ ΕΔ προσέθηκα τὰς πέντε λέξεις ταύτας, σημειώσας σιγμαῖς καὶ τὸ ἐν τοῖς ἀντιγράφοις κενὸν διάστημα.—Στ. 4, Αὐτῶν.] Ἐκ ΔΓ, ΑΤ, Αὐτῆς. Ἑτέρα ΔΓ, Αὐτῶν τε.—Στ. 8, Ἔκ τε τοῦ τρίφειν.] Προϋπονόει ἀπὸ κοινοῦ τὸ ἀνωτέρω Δηλοῖ, τουτέστι, δηλοῖ ὁ Ποιητής. — Στ. 13, Τῷ Πηλεῖ.] Τοῦθ' ὁ Γεμίστος πολλαῖς λέξεσιν ηὐξημένον οὕτως ἐξήνεγκε· Τῷ πατρὶ Πηλεῖ, τῶν Αἰγινητῶν πρότερον (ἄλλ. ἔτι πρότερον) Μυρμεδόνων κεκλημένων. —Στ. 15, Ἀπὸ Μαλιέων.] Προσέθηκα τὴν πρόθεσιν ἐκ τοῦ Γεμίστου (Ἰδ. τοῦ δευτέρ. τοῦδε Μέρ. τὰ Πρὸς τὸν ἀνεγνώς. σελ. β').—Στ. 18, Λεωσθένης τε.] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον. — Καὶ Λεοννάτος.] Ἐξήλειψα τὴν δι' ἀντιγραφέων ἀβλεψίαν παρεισδῦσαν περὶ Λεωσθένους ἀντίφασιν (ὅτι ἦν ἑταῖρος Ἀλεξάνδρου ἅμα καὶ ῥήτωρ Ἀθηναίων ἐν τῷ πρὸς Ἀλέξανδρον πολέμῳ), προσθεὶς τὸ Λεοννάτου ὄνομα, ἐξ ὧν ἐγράψαντο ἕτεροι. Ἴδε Διόδωρ. Σικελιώτ. ιή, 13-15, Αἰλιαν. Ποικ. ἱς. γ', 3, καὶ Iustin. *libr. XIII, cap.* 6, § 12-14. — Στ. 20, Θαυμακούς.] Σώζει νῦν τοὔνομα, Θαυμάκο γραφομένη ἐν τοῖς Πίναξιν.—Πρόερναν.] Πρόαρνα οὐθετέρως καὶ πληθυντικῶς καλεῖ αὐτὴν ὁ Βυζάντιος Στέφανος.—Στ. 21, Φάρσαλον.] Ἔσωσε τοὔνομα. —Ἐρέτριαν.] Ταύτην, ἀμφιβάλλων ὅμως, τὸν νῦν Ἁρμυρὸν καλούμενον εἶναί φησιν ὁ Μελέτιος (σελ. 386)· ὑποβὰς δὲ (σελ. 387), τὸ πάλαι Ὁρμένιον εἶναι τὸν Ἁρμυρὸν ὑπονοεῖ.—Στ. 25, Μάλιςα τῇ προσεσπερίῳ καὶ τῆς.] ΗΔ, ΑΤ, Μάλιςα προσεσπερίων, καὶ ταῖς. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Μάλιςα προσεσπερίων (ΔΓ, Πρὸς ἑσπερίων) καὶ τῆς. — Στ. 27, Διηρημένη.] Ἐξ ΕΔ,

ΑΤ (ὀνομαστικῆς) Διηρημένη. Τὰ δὲ ἐχόμενα σιγμαῖς διέσησα, λείπειν τι εἰς ἀπάρτισιν τῆς ἐννοίας οἰόμενος.

ΣΕΛΙΔ. 215, στ. 13, Τὴν ἐπιφάνειαν τε καί.] Ἐκ ΔΓ, ΑΤ, Τε τὴν ἐπιφάνειαν καί. —Στ. 16, Ἡ Μακεδόνων.] Ἐκ ΔΓ, ΑΤ, Ἡ καὶ Μακεδόνων.—Στ. 19, Ὄρος ἐςὶ μέγα.] Ἐκ ΔΓ, ΑΤ, Ορος μέγα. —Στ. 21, Πρὸς ἕω δὲ τὴν Ἱςιαιῶτιν.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος προσείληφα ταῦτα, τρίψας μόνον (μηδὲν δέον ἴσως) τὸ Ἑςιαιῶτιν, εἰς τὸ Ἱςιαιῶτιν. Ὁ δὲ νοῦς, Αὕτη δὲ, ἡ Ἱςιαιῶτις δηλονότι, ἐςὶ τῆς Θεσσαλίας πρὸς ἀντιδιαςολὴν τῆς ἐν Εὐβοίᾳ Ἱςιαιώτιδος.— Στ. 24, Εἰς οὕς.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς οὕς.

ΣΕΛΙΔ. 216, στ. 1, Μηδὲ τοῦ συςήματος.] Ἐκ ΔΓ προσέθηκα τὸ ἄρθρον.—Στ. 9, Ἑβομηκονταςαδίῳ.] Ἐκ ΔΓ, ΑΤ, Ἑβδομήκοντα ςαδίων.—Στ. 14, Ἡ δ' αὐτὴ καὶ Πελαςγία λεγομένη Λάρισσα.] Ἐκ ΔΓ, ΑΤ, Ἡ δ' αὐτὴ μὲν Πελαςγία λεγομένη καὶ Λάρισσα. Οὕτως ἐν τοῖς πρόσθεν (σελ. 104) εἴρηκεν, «Ἡ δ' αὐτὴ » καὶ Σφακτηρία λεγομένη », καὶ ἐν τοῖς ἑξῆς (σελ. 409) ἐρεῖ, «Ἡ » δ' αὐτὴ καὶ Ἑλλησποντιακὴ Φρυγία καλουμένη ».—Στ. 16, Ην δ' αὕτη.] Ἐκ ΔΓ, ΑΤ, Ἣν δ' ἡ αὐτή.—Στ. 17-22, Τοσαῦτα... περιοδείαν τῆς χώρας.] Ἐξ ἀντιγράφων προσείληφα τὰς ἑπτὰ καὶ τεσσαράκοντα λέξεις ταύτας, διορθώσας ὀλίγ' ἄττα, ἢ διωρθωμένα ὑφ' ἑτέρων παραλαβών, καθὰ δηλώσει τὰ ἑξῆς.—Στ. 18, Διελὼν καί.] ΗΔ ἡ προσθήκη τοῦ συνδέσμου, καὶ τοῦ ἐν τοῖς ἀντιγράφοις κολοβοῦ, Διε, μεταποίησις εἰς τὸ Διελών.—Στ. 19, Πόλεις.] Ἀνεπλήρωσα τὸ ἐν τοῖς ἀντιγράφοις ἐνθάδε κενὸν διάςημα.—Στ. 22, Καταλέγει τοίνυν ἑφεξῆς.] Ἐκ ΔΓ, ΑΤ, Καταλέγει δ' ὁ Ποιητὴς ἑφεξῆς.—Στ. 24-26, Ὁριζομένη. Τῆς δ' ἑφεξῆς ἐςιν ἡ ὑπὸ τῷ Πρωτεσιλάῳ... οὐ μὴν τὴς.] Ἐξ ἀντιγράφων προσείληφα καὶ τὰς εἰκοσιτρεῖς ταύτας λέξεις, διορθώσας τινάς, οἷον τὸ, Ὁριζομένη. Τῆς δ' ἑφεξῆς ἐςιν ἡ ὑπὸ τῷ Πρωτεσιλάῳ, ΑΤ, Ὁριζομένη τοίνυν· ἑφεξῆς ἐςιν ἡ ὑπὸ τῷ Πρωτεσιλάῳ, ἢ ὡς ἕτερα ἀντίγραφα φέρει μετὰ κενοῦ διαςήματος, Ὁριζομένη τοίνυν Πρωτεσιλάῳ. Τὸ δὲ Μαλιακοῦ, κεκολοβωμένον ἐν τοῖς ἀντιγράφοις, ἀπηρτίσθη ὑφ' ἑτέρων. Μετὰ δὲ τὰς τελευταίας τρεῖς λέξεις, Οὐ μὴν τῆς, κενὸν αὖθις διάςημα ὁρᾶται ἐν τοῖς ἀντιγράφοις, ὅπερ ἄλλοι ἄλλως ἀνεπλήρουν ἐπεχείρησαν. Ἴδε τὰς Γαλλ. σημειώσεις.

ΣΕΛΙΔ. 217, στ. 8, Τῆς Ὄθρυος.] Ὄρους, τοῦ νῦν καλουμένη, Δε-

λάχα, ὡς φησιν ὁ Μελίτιος.—Στ. 10, Εἴρηται.] Ἀνωτέρω (σελ. 181). —Στ. 11, Καὶ περὶ τῆς Ἄρνης ἐν τοῖς Βοιωτιακοῖς.] ΗΔ (συλλαβόντων καὶ τῶν ἀντιγράφων) ΑΤ, Ἐν τοῖς περὶ τῆς Ἄρνης Βοιωτιακῆς. —Στ. 13, Φύλλος.] Ὁ Βυζάντιος Στέφανος ὀρθωτέρᾳ γραφῇ τοῦ χωρίου ἐντυχεῖν δῆλός ἐστι, γράφων Φυλλοῦς.—Στ. 14, Ἡ Ἰχναία.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου· ἣν πιστοῦται καὶ ἡ τοῦ ἐμοῦ ἀντιγράφου κακὴ γραφὴ, Ἡχναῖα.—Καὶ Κίερος δ'... εἰς αὐτὴν συντελεῖται... τῆς Θεσσαλίας.] Προσείληφα ἐξ ἀντιγράφων τὰς ὀκτὼ ταύτας λέξεις εἰξας μετὰ τὸ Συντελεῖται, διὰ τὸ κενὸν ἐν ἐκείνοις διάστημα· ἕξιξα δὲ καὶ μετὰ τὸ, Καὶ Κίερος δ', δι' ὑποψίαν ἑτέρου κενοῦ διαστήματος. Τί δὲ βούλεται λέγειν τὰ ῥήματα, χαλεπὸν συνιδεῖν. Ἔγραψα ἂν ἐξ ΕΔ (id. Strab. tom. III, *Eclaircissem.* pag. 245) ἀσμένως, Καὶ ἱερὸς δ' ἀγὼν εἰς αὐτὴν συντελεῖται, εἰς τιμὴν τῆς Ἰχναίας Θέμιδος δηλονότι, εἰ μή μ' ἐκώλυεν ὁ Βυζάντιος Στέφανος (λέξ. Ἄρνη), λέγων, ὅτι ἡ Θεσσαλικὴ Ἄρνη ἐκαλεῖτο καὶ Κιέριον. Ἐνδέχεται τοίνυν τὸν Στράβωνα τὸ Κιέριον, ἢ τὴν Κίερον, ἑτέραν εἶναι τῆς Ἄρνης ὑπειληφότα, γεγραφέναι Καὶ Κίερος δ' εἰς αὐτὴν συντελεῖ (οὐ συντελεῖται), τουτέστιν ἡ Κιέρος ἐστὶν ὑπὸ ταῖς Ἴχναις τῇ πόλει. Ἴσως δὲ καὶ αὐτὰς τὰς Ἴχνας Κίερον ὠνόμαζον ἕτεροι· καὶ ἐξίσαι τηνικαῦτα διὰ μακροτέρων γράφειν· Καλεῖται δὲ καὶ Κίερος· καὶ ἀγὼν εἰς αὐτὴν συντελεῖται.—Στ. 17, Πτελεόν.] Ἔστι ὁ νῦν καλούμενος Φθελιάς.—Στ. 22, Ὑπὸ τῷ Εὐμήλῳ καταλέγει, καί.] Τὸ μὲν ἄρθρον ἐκ ΔΓ, ὁ δὲ σύνδεσμος ἐξ ΕΔ, συμφδούσης τῷ ἀρχαίῳ μεταφράσῃ.—Στ. 23, Ἅπερ ἐστίν.] Ἐξ ΕΔ, ἧς προεῖλετο ὁ Γερμανὸς ἐκδότης τὸ, Ἥπερ ἐστίν.—Στ. 24, Φεραί.] Οὕτω καὶ νῦν καλεῖσθαί φησιν αὐτὰς ὁ Δαμβίλλης· ἄλλοι δ' ἄλλως. —Στ. 27, Ἰωλκός.] Ὁ νῦν Βῶλος.

ΣΕΛΙΔ. 218, στ. 4, Δημητριάδος.] Τῆς νῦν Ζαγορᾶς λεγομένης· ὁ δὲ Μελίτιος τὴν περιοχὴν της πάλαι Δημητριάδος Ζαγορὰν καλεῖσθαι λέγει.—Στ. 9, Αἱ δή.] Ἐκ ΔΓ, ΑΤ, Αἱ δέ.—Στ. 12, Ὥσπερ εἴρηται.] Ἐκ ΔΓ προσείληφα τὰς δύο ταύτας λέξεις· εἴρηται δὲ ἀνωτέρω, σελ. 207.—Στ. 14, Ἡ δὲ Βοιβῆς λίμνη.] Ἡ νῦν Ἐζερὸς καλουμένη.—Στ. 21, Πυλαϊκὴν πανήγυριν.] Ἔπιθι τὰς Γαλλικὰς σημειώσεις (Strab. tom. III, *Eclaircissem.* pag. 247).—Στ. 22, Παγασητικόν.] Πολλὰ τῶν ἀντιγράφων φέρει, Παγασικὸν, ἁπλογώτερον τῷ τῆς πόλεως ὀνόματι Παγασαί. Ἔστι μέντοι καὶ Παγασητικὸν λέγειν, ὡς ἀπὸ ἐθνικοῦ τοῦ Παγασήτης, ὥσπερ

ἀπὸ τοῦ Αἰγινήτης, ὁ Αἰγηνιτικὸς, ἔτι δὲ καὶ ὁ ἀνωτέρω (σελ. 151) σημειωθεὶς Βοιατικὸς, ἀπὸ τοῦ Βοιάτης. Ὁ δὲ Παγασητικὸς κόλπος καλεῖται νῦν Κόλπος τοῦ Βώλου (Golfe de Volo). — — Στ. 24, Κικύνηθον.] Ποντικὸν νῦν καλεῖσθαι τὴν Κικύνηθον φησὶν ὁ Σοφιανὸς παρὰ τῷ Ὀρτελίῳ.—Στ. 27, Αὐτῆς τε καὶ τῶν ἐν Πελοποννήσῳ. Συγκατηρίθμηται δ' ἥ τε Θαυμακία καὶ Ὀλιζὼν καὶ Μελίβοια, ἣ τῆς ἑξῆς παραλίας ἐστί.] Ἐξ ἀντιγράφων παρείληφα ταῦτα, διορθώσας τινὰ τῶν ἡμαρτημένων καὶ ἀναπληρώσας τὰ λείποντα. Ἀντὶ τούτων ἡ τοῦ Γερμανοῦ καὶ αἱ τῶν λοιπῶν ἐκδόσεις φέρουσι ταῦτα μόνα τὰ ῥήματα, Τῆς ἐν Πελοποννήσῳ.

ΣΕΛΙΔ. 219, στ. 6, Καὶ τῶν ἄλλων.] Διώρθου τὸ τυπογραφικὸν ἁμάρτημα, γράφων, Καὶ τούτων καὶ τῶν ἄλλων.—Στ. 7, Ἑαυτῷ.] Ὁ Γεμῖνος Πλήθων, Ἑαυτοῦ.—Στ. 9, Μέρη Μακεδονίαν.] Ἐκ ΔΓ, ΑΤ, Μέρη τὴν Μακεδονίαν.—Στ. 13, Συνιζᾶσιν.] Ἐκ ΔΓ, ΑΤ, Συνιζῶσιν.—Στ. 15, Καρυσίας καὶ τῆς Δευκολλείου.] Τῆς τελευταίας λέξεως (ἣν ἐξ ΕΔ, ΑΤ, Δεκολλείας ἔγραψα) φέρονται ΔΓ, Δευκαλίας : Δευκαλλίας : Δευκολλίας : Δευκαλίου : Δευκαλλέου. Εἰσὶν οἱ γράφειν παρήνουν Δοκιμαίας (περὶ ἧς ὁ Στράβων ἐν τοῖς ἑξῆς σελ. 430)· ἕτεροι, Λευκαδίας, καὶ ἄλλοι ἄλλως. Πρῶτος ὁ Γερμανὸς ἐκδότης ἔγραψεν, ἐν μὲν τῷ κειμένῳ Λευκολλείας, ἐν δὲ ταῖς σημειώσεσι, Λευκολλείου· ἀπὸ τοῦ ὑπάτου Λευκόλλου δῆθεν οὕτως ὀνομασθείσης τῆς λίθου (Luculleum marmor), ἣς μετεκόμιζεν αὐτὴν εἰς Ῥώμην, ὡς μὲν Πλίνιος (xxxvi, 7), ἔκ τινος τῶν τοῦ Νείλου νήσων, κατ' Ἰσίδωρον δὲ (*Origin. lib. XVI, cap.* 5) ἐκ τῆς νήσου Κῶ. Προσσημειωτέον δὲ, ὅτι Πλίνιος (v, 28, et xxxvi, 19) καὶ ἑτέρας μνημονεύει λίθου ἐκ τῆς Λευκόλλας, ἄκρας οὕτω καλουμένης τῆς Παμφυλίας· ἀφ' ἧς καὶ ἡ λίθος οὐδὲν ἂν ἧττον Λευκόλλειος λέγοιτο. Ἴσως δ' οὐδεμία τῶν γραφῶν ἠδιορθώσειον ἔρρωται, ἀλλ' ἐγέγραπτο πάλαι, Καρυσίας, τῆς καὶ Λευκολίθου.—Στ. 21, Καὶ γὰρ τὰ παρατείνοντα τῇ Φθιώτιδι.] Ἐκ ΔΓ προσείληφα τὰς ἐξ ταύτας λέξεις.—Στ. 23, Μέχρι τῆς κάτω Θετταλίας διέξεισιν.] Καὶ ταῦθ' ὡσαύτως ἐκ τῶν αὐτῶν.—Στ. 24, Οἱ δ' εἶχον.] Ἐκ τῆς Ἰλιάδος, β, 729.—Στ. 25, Ἰσιαιώτιδος.] Ἐκ ΔΓ, ΑΤ, Ἑσιαιώτιδος.

ΣΕΛΙΔ. 220, στ. 1, Καλοῦσι δὲ καὶ... τὴν Δολοπίαν, τὴν ἄνω Θετταλίαν, ἐπ' εὐθείας οὖσαν [τῇ ἄνω] Μακεδονίᾳ, καθάπερ καὶ τὴν κάτω τῇ κάτω.] Ἐξ ἀντιγράφων ταῦτα, λείποντα ἐν ταῖς πρὸ

ἡμῶν ἐκδόσεσιν. Ἔπειθι τὰς Γαλλικὰς σημειώσεις.—Στ. 3, Τρίκκη.] Ἡ νῦν Τρίκκαλα, ἴσως ἐκ συνθέσεως δύο λέξεων καὶ συγκοπῆς, τῶν Τρίκκη καλή.—Στ. 11, Γόμφων.] Τῶν νῦν Σταγῶν λεγομένων. Καὶ εἰσὶν ἴσως οἱ Σταγοὶ, τὸ νέον ὄνομα, συνώνυμον τοῦ πάλαι Γόμφοι, τοῦ σημαίνοντος Ἥλους, τὸ πλέον μὲν ξύλου, ἔσθ' ὅτε δὲ καὶ σιδήρου πεποιημένους. Λέγει δὲ καὶ ὁ Ἡσύχιος, « Σταγὼν, ἐν » τοῖς μεταλλικοῖς, τὸ καθαρὸν σιδήριον κ. τ. λ. » Ἡ δὲ συνήθεια καὶ, Στακέταν ὀνομάζει τοὺς ξυλίνους ἥλους ἢ *passalískous*, ἐκ τῆς τῶν Ἰταλῶν φωνῆς Stecchetto, ἢ μᾶλλον ἐκ τῆς τῶν Γερμανῶν, Stecken.—Στ. 12, Πολιχνίων.] Ἰσ.γρ. Πολιχνῶν, διὰ τὸ ἑπόμενον, Πλείους.—Στ. 16-17, Τῷ φρονεῖν πάσας.] Οὕτως ἔγραψα, ἀρχὴν τρίτου στίχου ποιήσας τὸ Πάσας, ΑΤ, Πάσας τῷ φρονεῖν, ὅπερ ἔγραψεν ὁ Γερμανὸς ἐκδότης, ἐν ἑνὶ στίχῳ τῷ δευτέρῳ.—Στ. 22, Ταύτῃ δὲ μίαν.] Ἐκ ΔΓ, ΑΤ, Ταύτῃ οὐδεμιᾷ.—Στ. 29, Ἄτρακα.] Τὴν νῦν καλουμένην Βοϊδανάρι, κατὰ τὸν Μελέτιον· κατὰ δὲ τὸν Δαμβίλλην, Τούρναβον.—Πελασγιώτιδι.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος, ΑΤ, Θετταλιώτιδι.

ΣΕΛΙΔ. 221, στ. 1, Καὶ ἐν Ἀρκαδίᾳ.] Διώρθου τὸ ἡμαρτημένον, γράφων, Καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Ἀρκαδίᾳ.—Ἄλλοι ἄλλως, ὡς καὶ ἐν τοῖς Πελοποννησιακοῖς εἴρηται.] ΗΔ, ΑΤ, Ἄλλως, ὃ καὶ εἴρηται ἐν τοῖς Πελοποννησιακοῖς. ΔΓ, Ἄλλως, καὶ ἐν τοῖς Πελοποννησιακοῖς εἴρηται.—Στ. 7, Οἱ δ' ἔχον.] Ἐκ τῆς Ἰλιάδος, β', 734.—Στ. 24, Οἰκείας.] Ἐκ ΔΓ, ΑΤ, Οἰκίας.—Στ. 25, Οἷον ὅτε.] Ἐκ τῆς Ἰλιάδος, ι', 447.

ΣΕΛΙΔ. 222, στ. 1, Μέγητος.] Μηριόνου μὲν οὖν, ἢ ὄθλον ἐκ τῆς Ἰλιάδος, κ', 260-267.—Νυκτεγερσίαν.] Οὕτως ὠνόμαζον τὴν Κ Ῥαψῳδίαν τῆς Ἰλιάδος, ἔτι δὲ καὶ Δολωνείαν.—Στ. 3, Ἐξ Ἐλεῶνος.] Ἐκ τῆς Ἰλιάδος, κ', 266.—Στ. 11 καὶ 12, Ταύτην... γίνεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Αὐτὴν... γενέσθαι.—Στ. 14, Ἐλέγχει ἀτόπως ἂν λεγόμενον.] Ἐκ ΔΓ, ΑΤ, Ἐλέγχοι ἀτόπως ἂν τὸ λεγόμενον.—Στ. 16, Φεῦγον.] Ἐκ τῆς Ἰλιάδος, ι', 474.—Στ. 18, Μεταλαιούσῃ.] ΔΓ Μελαιούσῃ. Ἴδε τὰς διαφόρους οὐ πεθανὰς εἰκασίας τῶν κριτικῶν ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. III, *Éclaircissem.* pag. 255), αἷς προσίθημι καὶ αὐτὸς ἄλλην (ἀπιθανωτέραν ἴσως), Ἔτι μενούσῃ, ἢ Ἔτι συμμενούσῃ.—Στ. 20, Καὶ... τῶν.] Ἐκ ΔΓ προσέθηκα μετὰ τοῦ κενοῦ διαστήματος.—Στ. 22, Συνεχεῖς δέ.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 23, Οἱ δ' Ἄργισσαν.] Ἐκ τῆς Ἰλιάδος,

β', 738.—Στ. 27, Γυρτῶνος.] Ταχιβολικάτι, κατὰ τὸν Μελίτιον, καλεῖται νῦν ἡ Γυρτών.—Ἀπώσαντες.] ΗΔ, ΑΤ, Ταπεινώσαντες. Ὁ Γεμίστος, Ὠσάμενοι.—Στ. 28, Λαπίθαι κατέσχον ΑΥΤΑ.] ΔΓ ἀμεινων, ΑΥΤΟΙ· ἀντιδιίσταλται γὰρ πρὸς τὸ Ἐκείνους.

ΣΕΛΙΔ. 223, στ. 3, Ἐκ Πηλίου.] Ἐκ τῆς Ἰλιάδος, β', 744.—Στ. 7, Ἄργουρα.] Ἡ μᾶλλον, Ἄργουσα, ὡς φέρουσι πολλὰ τῶν ἀντιγράφων.—Στ. 8, Αὕτη.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Αὐτή.—Στ. 18, Νισσωνίδι.] Τῇ νῦν λεγομένῃ Κάρλα.—Στ. 30, Συρίᾳ.] ΗΔ, ΑΤ (ἀδιανοήτου), Σίνᾳ. ΔΓ, Σύνᾳ : Σήνᾳ. Ὅτι δ' ἐςὶ καὶ ἐν Συρίᾳ Λάρισσα, ἐρεῖ Στράβων ἐν τοῖς ἑξῆς (Μίρ. Γ, σελ. 181), ἐπιμαρτυρούντων τοῦ τε Πτολεμαίου (ε', 15) καὶ τοῦ Βυζαντίου Στεφάνου (λέξ. Λάρισσα).

ΣΕΛΙΔ. 224, στ. 1, Τῆς δὲ Μιτυλήνης.] ΗΔ ἡ προσθήκη τοῦ συνθέσμου, καὶ ἡ διάκρισις τῆς ὅλης περιόδου ἀπὸ τῶν προηγουμένων. Οἱ πρὸ ἡμῶν (διὰ τὴν κακὴν γραφὴν τοῦ Σίνᾳ, ΑΤ Συρίᾳ) ἔγραψαν, Ἐν Σίνᾳ τῆς Μιτυλήνης.—Στ. 4, Μεσσωγίδος.] Ἐκ ΔΓ καὶ ΕΔ, ΑΤ, Μεσογαίας. ΔΓ, Μεσογίδος.—Στ. 9, Μεταξὺ Αὐλο...] Ἐξ ἀντιγράφων προσείληφα τὰ κολοβὰ ταῦτα, ἅπερ οἱ μὲν διὰ τοῦ, Μεταξὺ Ναυλόχου, οὗ Στράβων ἀνωτέρω (σελ. 43) ἐμνημόνευσεν, οἱ δὲ διὰ τοῦ, Αὐλαίου τείχους, οὗ Ἀρριανὸς ἐν τῷ Περίπλῳ μνημονεύει, καὶ ἄλλοι ἄλλως ἀναπληροῦν ἐπεβάλοντο.—Στ. 10, Ὁλοοσσών.] Ἡ νῦν Ἐλασσών.—Στ. 11, Καὶ Ηλώνη.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Καὶ ἡ Ηλώνη.—Γόννος.] Ἡ νῦν Γονίγα, Γόνος, Γονοῦσσα, ἡ Γονοκόνδειλος, κατὰ τὸν Μελέτιον.—Στ. 14, Εὐρώτα.] Γράφε, Εὐρώτου, καθὰ φέρουσι τινὰ τῶν ἀντιγράφων. Ἔπιθι τὰ ἀνωτέρω (σελ. 128) σημειωθέντα μοι.—Ὃν ὁ Ποιητὴς Τιταρήσιον καλεῖ.] Τανῦν δὲ Σαραντάπορον αὐτὸν καλεῖσθαί φησιν ὁ Μελέτιος.—Στ. 17, Γουνεύς.] Ἐκ τῆς Ἰλιάδος, β', 748.—Στ. 26, Ὀλύμπῳ.] Τὸν Ὄλυμπον οἱ μὲν Λάχα (Lacha), οἱ δὲ, Ἔλβορ (Elbor), οἱ δὲ, Κιρσισδαγὶ, Kirschische-Dagui (ὃ σημαίνει τῇ Τούρκων φωνῇ, Μοναχῶν ὄρος), καλεῖσθαι νῦν λέγουσι.

ΣΕΛΙΔ. 225, στ. 5, Ἀλλά τέ μιν.] Ἐκ τῆς Ἰλιάδος, β', 794.—Στ. 6, Διὰ δὲ τὸ ἀναμὶξ... ΤΟΥΣ Πελασγιώτας κ. τ. λ.] Ἐν μόνῳ τῷ ἐμῷ ἀντιγράφῳ λείπει τὸ πληθυντικὸν ἄρθρον. Εἰ μὲν οὖν ὀρθῶς ἔχει ἡ μετὰ τοῦ ἄρθρου γραφὴ, ὁ νοῦς ἐςὶν, Τοὺς Πελασγιώτας καλεῖ ὁ Σιμωνίδης Περραιβοὺς καὶ Λαπίθας, διὰ τὸ ἀναμὶξ οἰκεῖν αὐτούς. Εἰ

δὲ προέχει ἡ ὄιχα τοῦ ἄρθρου γραφὴ, ἔσαι τὸ σημαινόμενον, Τοὺς Περῤῥαιβοὺς καὶ Λαπίθας, διὰ τὸ ἀναμὶξ οἰκεῖν, Πελασγιώτας καλεῖ ὁ Σιμωνίδης, καθάπερ ἡρμήνευσαν ὅ τε Ξύλανδρος (Quia vero promiscue habitabant Perrhæbi et Lapithæ, uno nomine eos Pelasgiotas vocat Simonides, etc.) καὶ ὁ πρὸ αὐτοῦ ἐκλατινίσας τὸν Στράβωνα, καὶ ὁ Ἰταλὸς μεταφραστής.—Στ. 8, Ὅσσαν.] Τὴν νῦν, Κίσσαβο, κατὰ τὸν Μελέτιον, ἡ Κόσσαβο, κατὰ τὸν Σοφιανόν.—Στ. 10, Κραννῶνα.] Τὴν νῦν Κρανίαν, ἡ Τζέρες.—Στ. 12, Πω τἄλλα.] Ἐκ ΔΓ, ΑΤ, Ποτ' αὐτά.—Στ. 18, Τῶν ἐν.] ΔΓ, Τοῦ ἐν.—Στ. 27, Οἱ περί.] Ἐκ τῆς Ἰλιάδος, β', 757.

ΣΕΛΙΔ. 226, στ. 7, Παρέχειν.] ΗΔ, ΑΤ, Παρεῖχε.—Στ. 12, Τὼ μὲν ἄρ'.] Ἐκ τῆς Ἰλιάδος, ν', 301.—Στ. 15 καὶ 18, Αἰνιάνων.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος, ΑΤ, Ἀθαμάνων.—Στ. 20, Βοιβηΐδος.] Ἐκ ΔΓ, ΑΤ, Βοιβηΐτιδος.—Στ. 23, Ἡ οἴη δωδύμους κ. τ. λ.] Μνημονεύσει τῶν ἐπῶν τούτων καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 23)· εἰσὶ δὲ ἐκ τῶν μηκέτι σωζομένων Ἡσιόδου Ἠοιῶν.—Στ. 26, Αἰνιᾶνες.] Ἐκ τοῦ Γεμίσου καὶ τοῦτο, ΑΤ, Ἀθαμᾶνες.

ΣΕΛΙΔ. 227, στ. 3, Κατέμειναν.] Ἐκ τοῦ Γεμίσου Πλήθωνος, ΑΤ, Κατέμενον.—Στ. 4, Τὴν Ἀθαμανίαν.] Ἐκ ΔΓ, προσειληφα τὸ ἄρθρον.—Στ. 13, Τὴν ἀρχὴν τοῦ Πηνειοῦ διὰ τῆς τῶν.] Γράφε μετατιθεὶς τὸ παρατελευταῖον ἄρθρον, ὡς φέρεται παρὰ τῷ Γεμίσῳ, Τὴν ἀρχὴν τῆς τοῦ Πηνειοῦ διὰ τῶν. Ἔπιθι τὰ ἐν ἀρχῇ τοῦδε τοῦ Μέρους (Πρὸς τὸν ἀναγνώς. σελ. δ') σημειωθέντα μοι.—Στ. 16, Καὶ τῇ ὑπό.] Ὁ Γεμίσος, Καὶ τὰ ὑπό.—Στ. 19, Σκπιὰς ἀκτή.] Ἄκραν ὠνόμασεν ἐν τοῖς πρόσθεν (σελ. 61) τὴν Σκπιάδα· ἔσι δ' ἡ νῦν, κατὰ τὸν Μελέτιον, καλουμένη Κάβο Μοναςῆρι. Ἦν δὲ καὶ πόλις ἐπὶ ταύτῃ ὁμώνυμος, ἧς Στράβων ἐμνημόνευσεν ἀνωτέρω (σελ. 218).—Στ. 20, Τετραγώδηται μετὰ ταῦτα καὶ ἐξύμνηται.] ΗΔ, ΑΤ, Καὶ τετραγώδηται, καὶ μετὰ ταῦτα ἐξύμνηται.—Στ. 22, Κασθαναίας.] Διὰ τοῦ Θ, ὥσπερ καὶ ὁ Ἡρόδοτος· ἕτεροι δὲ ψιλῶς, Κασαναίαν, καλοῦσι τὴν ἔτι καὶ νῦν Κασανέαν λεγομένην κώμην· ὅθεν οἴονταί τινες καὶ τὰ πολυώνυμα Κάσανα τὴν κλῆσιν σχεῖν. Ἐκαλοῦντο γὰρ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ Κάρυα Σαρδιανά, Εὐβοϊκά, Πλατέα, καὶ Διὸς βάλανοι (ὅθεν τὸ τῶν Ῥωμαίων, Juglandes, ὃ ἐςι Jovis glandes) καὶ ἄλλα πολλὰ ὀνόματα.—Στ. 23, Ὁ Ξέρξου.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 25, Ἰπνοῦντα τόπον τραχύν.] Ἡρόδοτος δὲ (ἡ, 188) ἰσοσυλλάβως καὶ πληθυντικῶς, Ἴπνους

ὀνομάζει τὸν τόπον, τὸν νῦν καλούμενον, ὡς φησιν ὁ ἡμέτερος Μελίτιος (σελ. 387), ΠΟΝΤΡΑΧΥΝ, εἴτε τῆς χυδαίας φωνῆς οὕτως ἀλλοκότως πλασάσης τοὔνομα, παρὰ τὸ ΤΟΠΟΝ ΤΡΑΧΥΝ, εἴτ' αὐτοῦ Μελιτίου, ῥεμβασμῷ διανοίας, συγχέαντος ἅπερ ὤφειλε διαστεῖλαι.

ΣΕΛΙΔ. 228, στ. 2, Ἱερώνυμος.] Ὁ ἐπικληθεὶς Καρδιανὸς ἔοικεν εἶναι, ἀπὸ Καρδίας, πόλεως τῆς Θρακικῆς χερσονήσου.—Στ. 16, Δευκαλίωνα.] ΗΔ, ΑΤ, Δευκαλίωνι. Πιςοῦται δὲ τὴν διόρθωσιν ἡ ἑξῆς γραφή.—Στ. 17, Αἵμονα.] Ἐκ ΔΓ, ΑΤ, Αἵμονι. Εἰ δὲ τὸ Αἵμονα, ὀρθὸν, τοιοῦτον ἄρα καὶ ὅπερ ἔφθην διορθώσας Δευκαλίωνα.

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 229, στ. 7, Κηναίου.] Ἄκρας, τῆς νῦν καλουμένης Κάβο Αιθάρι, κατὰ τὸν Μελίτιον.—Γεραιςόν.] Ἑτέραν ἄκραν τὴν ἐν τοῖς νεωτάτοις πίναξι γραφομένην, Cap Mantello.

ΣΕΛΙΔ. 230, στ. 1, Ἀνώμαλος.] Ἐκ ΔΓ, ΑΤ, Ἀνώμαλον.—Στ. 3, Πεταλία.] Νῆσος, ἢ νῆσοι πρὸς τῷ Γεραιςῷ, καλούμεναι νῦν Πεταλιοὺς (ἴσ. γρ. Πεταλοῦσσαι).—Στ. 14, Χαλκίδος.] Ἐξ ΕΔ, ΑΤ, Αὐλίδος.—Στ. 20, Οἱ δ' Εὔβοιαν.] Ἐκ τῆς Ἰλιάδος, β', 536.—Στ. 25, Βοὸς αὐλή.] Ἴσως τὸ νῦν ἐν τοῖς πίναξι γραφόμενον *Bufalo*· ῥάξη γὰρ ἡ ἔκπτωσις τοῖς χυδαίζουσιν ἀπὸ τοῦ Βοὸς αὐλῆς εἰς τὸ Βούφαλον.

ΣΕΛΙΔ. 231, στ. 7, Ἐς (γρ. Εἰς) τὴν Ἰςίαιαν.] Προσέθηκα τὴν πρόθεσιν, ἀκολουθήσας τοῖς ἀρχαίοις τε καὶ νέοις μεταφραςαῖς.—Στ. 21, Ἐτέθη τοῦτο.] Τὸ ὄνομα δηλονότι, Ὠρεὸς, ὃς νῦν Ὠριὸς λέγεται.

ΣΕΛΙΔ. 232, στ. 10, Τῷ Ὄρει τῇ Ὄχῃ.] Ὄρος τοῦ ἁγίου Ἠλιοῦ (Mont Saint-Elie) γράφεται ἡ Ὄχη ἐν τοῖς νεωτέροις πίναξι.—Στύρα.] Τὰ νῦν Στοῦρα.—Στ. 15, Ἀποκαθαίρεσθαι τὸν πῖνον τῇ πλύσει παραπλησίως.] Ἐκ ΔΓ, ΑΤ, Ἀποκαθαίρεσθαι τῇ πλύσει τὸν πῖνον παραπλησίως. Ἔπειθι τὰ ἀλλαχοῦ (Μέρ. Γ, Πρὸς τὸν ἀναγνώς. σελ. ή) σεσημειωμένα.—Στ. 18, Μαλιακῷ.] Ἀμαλιακῷ, τινὲς γραπτέον εἶναι ὑπετόπασαν.—Στ. 24, Ἐς δὲ Γεραιςόν.] Ἐκ τῆς Ὀδυσσείας, γ', 177.

ΣΕΛΙΔ. 233, στ. 5, Ἐρέτρια.] Τὸ νῦν ὄνομα τῆς Ἐρετρίας La Roche τῇ Γάλλων φωνῇ γεγραμμένον εὑρίσκω ἐν τῷ Πίνακι τοῦ Πατρικίου (Ἴδε καὶ τὰς Γαλλικὰς σημειώσεις, Strab. tom. IV, pag. 17, not. 1).—Στ. 6,

— Στ. 6, Χαλκίς.] Τὴν δὲ Χαλκίδα καὶ αὐτὸς, καὶ πρὸ αὐτοῦ ὁ Σοφιανὸς (παρὰ τῷ Ὀρτελ.) Νεγρεπόντε (Négrepont) καλοῦσι, τῷ αὐτῷ δηλονότι ὀνόματι, ᾧ καὶ τὴν ὅλην νῆσον τῆς Εὐβοίας.

ΣΕΛΙΔ. 234, στ. 13, Χαλκίδα.] Ἐκ τῆς Ἰλιάδος, β', 640. — Στ. 15, Βὰν δὲ... ΠΕΤΡΗΕΣΣΑΝ.] Ἐκ τῆς Ὀδυσσείας, ὁ, 295, ὅπου μέντοι φέρεται, ΚΑΛΛΙΡΕΕΘΡΟΝ. — Στ. 16, Οἰκείαν.] Ἐκ ΔΓ, ΑΤ, Οἰκίαν. — Στ. 22, Μελανηΐς... ἡ Ἐρέτρια.] Ἴσως καὶ ἡ ὅλη Εὔβοια Μελανηΐς ἐκαλεῖτο, ὅθεν ἔπειτα τὸ νέον ὄνομα τῆς νήσου, Négrepont, ὃ ἐστι Μέλαινα γέφυρα. — Στ. 25, Σαγηνεύσαντες, ὥς φησιν Ἡρόδοτος, τοὺς ἀνθρώπους.] Περὶ πολλῶν ἄλλων ἰσορρόπως πόλεων Ἡρόδοτος τὸ Περσικὸν ἔθος τοῦτο, τὸ σαγηνεύειν λέγω τοὺς κατοίκους, περὶ Ἐρετρίας, οὐ σαγηνεύσαντες, ἀλλὰ χειρωσάμενοι μόνον εἴρηκεν (ζ', 102). Εἰκὸς οὖν (καθὰ ἐσημειώσατο ὁ Οὐαλκενῆρος εἰς τὸν Ἡρόδοτον, γ', 149) τὸν Στράβωνα, μνήμης ἁμαρτίᾳ, τῷ Ἡροδότῳ ἀναθεῖναι, ὅπερ Πλάτων λέγει περὶ τῶν Ἐρετριέων.

ΣΕΛΙΔ. 235, στ. 1, Πρότερον.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ μεταφραστῇ) ΑΤ, Ποτέ. — Ἀνέσησαν.] Ἐκ ΔΓ, ΑΤ, Ἀνέθεσαν. — Στ. 20, Ὅπου καί.] Ἐκ ΔΓ, ΑΤ, Οὗ γε καί.

ΣΕΛΙΔ. 236, στ. 1, Καθεξῆς.] Ὅτι ὤφειλον προσθεῖναι τὴν οὐδαμοῦ τῶν ἀντιγράφων φερομένην λέξιν ταύτην, ὁμολογήσουσιν, οἶμαι, οἱ τῆς Ἑλλήνων φωνῆς ἔμπειροι. — Στ. 2, Οἱ ἀκοντισταί.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον. — Στ. 6, Συσάδην, καὶ κοντοβολούντων.] Ἐκ ΔΓ, ΑΤ, Συσάδην χρώμεθα, καὶ κοντοβολοῦντες. — Στ. 11, Αἰχμηταί.] Ἐκ τῆς Ἰλιάδος, β', 543. — Στ. 15, Οἷος.] Ἐκ τῆς αὐτῆς, π', 142. — Στ. 17, Δουρί.] Ἐκ τῆς Ὀδυσσείας, θ', 229. — Στ. 22, Οὔτησε.] Ἐκ τῆς Ἰλιάδος, δ', 469. — Στ. 25, Οὐ γάρ σφιν.] Ἐκ τῆς Ἰλιάδος, ν', 713, καὶ 714-715· ὅπου μέντοι ὁ πρῶτος στίχος γράφεται, Οὐ γάρ σφι σαθὶη ὑσμίνη μίμνε φίλον κῆρ.

ΣΕΛΙΔ. 237, στ. 1, Περιφέρεται.] ΗΔ, ΑΤ, Παραφέρεται. — Στ. 2, Θεσσαλικήν.] Ἐκ ΔΓ, ΑΤ, Θεσσαλικόν. — Στ. 5, Κιρεύς.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Κηρεύς. — Νηλεύς.] ΔΓ, Νιλεύς. — Στ. 6, Ἀφ' οὗ μὲν τά.] Ἐκ ΔΓ, ΑΤ, Ἀφ' οὗ τὰ μέν. Ἀναφέρεται δὲ εἰς τὸ Κιρέως. — Ἀφ' οὗ δέ.] Ἀπὸ τοῦ Νηλέως, ἢ Νιλέως· ἔστι γὰρ οὐ κατὰ χιασμὸν, ἀλλὰ καθάπερ συνέταξε καὶ ἐν ἄλλοις (ἀνωτέρ σελ. 154), ἀποδιδοὺς τὸ πρῶτον τῷ πρώτῳ, καὶ τὸ

δεύτερον τῷ δευτέρῳ. Καὶ μαρτυρεῖ μὲν τῷ λεγομένῳ ὁ συγγραφεὺς τοῦ Περὶ θαυμασίων ἀκουσμάτων (κεφ. 184), ἐν ᾧ φέρεται κακῶς Κέρδης, ἀντὶ τοῦ Κιρεύς. Ἀντιμαρτυροῦσι δὲ Ἀντίγονος ὁ Καρύστιος (κεφ. 84), καὶ ὁ Πλίνιος (xxxi, 2), τῷ Κιρεῖ τὸ μελλῖνειν ἀνατιθέντες.—Στ. 9, Μεταβαίνοντες.] ΗΔ (τουτέστιν, ἐξ Ἰλλυριῶν εἰς Εὔβοιαν τὴν πατρίδα μετερχόμενοι), ΑΤ, Ἄβαντες, ὅπερ ὁ Ξύλανδρος εἰς τὸ Ἀναβάντες τρεπτέον εἶναι ὑπετόπαζε.—Στ. 10, Συμπολεμήσοντες.] ΗΔ, ΑΤ, Συμπολεμήσαντες· λέγει γὰρ τὴν αἰτίαν, δι' ἣν ἔμειναν περὶ Ἔδεσσαν. Καταλαβόντες γὰρ τοὺς Ἐδεσσαίους πολεμοῦντας, ἐπεκούρησαν αὐτοῖς, καὶ πλησιόχωρον αὐτοῖς πόλιν ἔκτισαν τὴν Εὔβοιαν.—Στ. 15, Θετταλοῖς.] Ἐκ ΔΓ, ΑΤ, Θετταλικοῖς. — ΤΑ πρὸς... Ἀκαρνᾶνές ΕΙΣΙ.] Διαγραπτέον τὸ ἄρθρον, ἢ τὸ ῥῆμα τρεπτέον εἰς τὸ, ΕΧΟΥΣΙ, ὅπερ ἐξέφρασε (tenent) καὶ ὁ ἀρχαῖος μεταφραστής.

ΣΕΛΙΔ. 238, στ. 2, Τὸν Ἀχελῷον ποταμόν.] Τὸν νῦν Ἀσπροπόταμον καλούμενον.—Στ. 3, Ἀγραίων.] Ὧν τὴν χώραν Ἀγραΐδα Θουκυδίδης (γ', 111) καλεῖ· τῆς δὲ πόλεως αὐτῶν τὰ ἐρείπια δείκνυται νῦν, ὡς φησιν ὁ Μελέτιος, πρὸς χωρίῳ τινὶ καλουμένῳ Ἀριάδα, εἴτε τυπογράφων ἀβλεψίᾳ οὕτω γεγραμμένου παρὰ τῷ Μελετίῳ τοῦ ὀνόματος, ἀντὶ τοῦ Ἀγριάδα, εἴτε διὰ χυδαϊσμὸν ἀποβαλόντος τὸ γ'.—Στ. 19, Ἀνακτόριον.] Ἡ νῦν Βονίτσα καλουμένη.—Στ. 20, Ἀκτίου.] Τοῦ νῦν Ἄτσιο λεγομένου.—Στ. 21, Νικοπόλεως.] Ἔξιν ἡ νῦν Παλαιοπρέβεζα, κατὰ τὸν Μελέτιον.—Στράτος.] Σεροβίγλι νῦν κατὰ τὸν αὐτόν.

ΣΕΛΙΔ. 239, στ. 3, Πάλαιρος.] Κατὰ τὸ νῦν καλούμενον Porto figo (ὃ ἐστι Συκῆς λιμήν), καθὰ οἴεται ὁ Δαμβίλλης. Ἴδ. τὰς Γαλλ. σημειώσεις.—Ἀλυζία.] Ἀλιὰς, κατὰ τὸν Μελέτιον· κατ' ἄλλους δ' ἄλλως.—Λευκάς.] Ἡ νῦν Ἁγία Μαύρα.—Ἄργος Ἀμφιλοχικόν.] Τὸ ἐπώνυμον μόνον κολοβώσαντες Φιλόκιαν νῦν καλοῦσιν· ἕτεροι δὲ ὀρθώτερον Ἀμφιλόχαν, εἰ χρὴ πιστεύειν τῷ Πατρικίῳ· ὁ δὲ Μελέτιος τὴν νῦν Ἄρταν αὐτό φησιν εἶναι.—Στ. 4, Ἀμβρακία.] Ὁ Νίγρος (παρὰ τῷ Ὀρτελ.) τοῦτο βούλεται τὴν Ἄρταν εἶναι. Ὁ δ' οὖν πάλαι καλούμενος Ἀμβρακικὸς κόλπος, νυνὶ Κόλπος τῆς Ἄρτης ὀνομάζεται.—Στ. 6, Ἀνακτόριον.] Ἀντίῤῥιον, γραπτέον εἶναί τινες ὑπέλαβον, ἀντὶ τοῦ Ἀνακτόριον.—Στ. 7, Καλυδῶν.] Ἴσως ὁ νῦν Γαλατᾶς. Ἴδ. τὰς Γαλλ. σημ.—Στ. 13, Τριχώνιον.] Ἐξ ΕΔ, ΑΤ, Τραχίνιον.—Ἔχον.] Οὐκ ἀπιθάνως εἴκασεν ὁ Δουθείλης

γραπτέον εἶναι Ἔχουσαν, ἵν' ἀναφέρηται πρὸς τὸ Ἀρχαίαν.—Στ. 15, Εὐπάλιον.] Οὗ ἐν τοῖς πρόσθεν (σελ. 204) ἐμνημόνευσεν.—Στ. 16, Καὶ Ἀθαμάνων.] Γράφε, Καὶ τῆς Ἀθαμάνων, καθὰ φέρεται ἐν ἁπάσαις ταῖς ἐκδόσεσι.—Στ. 18, Τὸν Κόρακα.] Τὸν ὀνομαζόμενον ἐν τῷ Γεωγραφικῷ τῆς Πελοποννήσου πίνακι Βιδρινίτζα (Mont Vedrinitza), κατὰ δὲ τὸν Πατρίκιον, Κοραξᾶν.—Στ. 19, Μᾶλλον τὸν Ἀράκυνθον.] Ἐξ ΕΔ, ΑΤ, Μάλα ὄντων τὸν Ἀράκυνθον· ἣν ἀπεδέξατο ὁ Γερμανὸς ἐκδότης, ἀντὶ τοῦ ἐν ταῖς προτέραις ἐκδόσεσι φερομένου, Μαρλαὸν τὸν Ἀράκυνθον, ὑφ' ὧν παραχθεὶς ὁ ἡμέτερος Μελέτιος (σελ. 329) Μαρλαὸν, οὐδαμοῦ γῆς ὂν ὄρος ἔπλασε.—Στ. 23, Ταφιασσὸν καὶ Χαλκίδα.] Χαλκὶς ἐστὶν ἡ νῦν Βαρασσόβα, κατὰ τὸν Μελέτιον. Ἐν τῷ ἐμῷ ἀντιγράφῳ προσγέγραπται τῷ χωρίῳ σχόλιον τόδε· « Οἶμαι τὸν μὲν Ταφιασσὸν, τὸν νῦν » λεγόμενον Ὄζον ὄρος· Χαλκίδα δὲ, τὴν ἀρτίως Βαράσαβαν· » ὑφ' ἣν καὶ πολίχνιόν ἐστιν Ἀντίπατραι καλούμενον, καθότι καὶ » τὰς Πάτρας ἔχει ἀπεναντίον. » —Στ. 25, Μακυνίαν.] Γραπτέον εἶναι Μακρύνειαν, διατείνονται τινὲς, ἐκ τῆς παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ γραφῆς ὁρμώμενοι. Ἕτεροι δὲ, τοὐναντίον, τὸν Στέφανον διορθωτέον εἶναι ἐκ τοῦ Στράβωνος, οὗ τοῦτον ἐξ ἐκείνου, ὑπειλήφασι, διὰ τὸ καὶ παρὰ Πλουτάρχῳ καὶ παρὰ Πλινίῳ σώζεσθαι τὸ τῆς Μακυνίας ὄνομα. Ἐμοὶ δὲ δοκεῖ λογομαχίαν ἄντικρυς εἶναι τὴν περὶ τοῦ ὀνόματος ἀμφισβήτησιν· πιθανὸν γὰρ, ὅτι ἀμφοτέρως ἔλεγον καὶ Μακυνίαν, καὶ Μακρύνειαν (ἢ Μακρυνίαν), καθὰ μαρτυρεῖ καὶ τὸ νέον ὄνομα τοῦ χωρίου ἡ Μακρυνοῦ (Μελέτ. σελ. 329)· τὸ μὲν παρὰ τὸ Μῆκος (δωριστὶ, Μᾶκος), τὸ δὲ παρὰ τὸ συνώνυμον Μάκρος, ὅπερ μήπω κατακεχωρίσθαι ἐν τοῖς Λεξικοῖς, ἐν ἄλλοις (Ἡλιοδώρ. Μέρ. Β, σελ. 132) ἐδήλωσα.

ΣΕΛΙΔ. 240, στ. 3, Εὔηνος.] Ὁ νῦν Φιδάρι καλούμενος, παρὰ τὸ Ὀφιδάριον, ὑποκοριστικὸν τοῦ Ὄφις, διὰ τὸ δρακοντοειδὲς τοῦ ῥεύματος καὶ τὰς καμπάς, δηλονότι, ἃς ἐν τοῖς ἑξῆς ἐμφαίνει ὁ Στράβων, καὶ ἐκδηλότερον ὁ Σοφοκλῆς (Τραχιν. 12), Ἑλικτὸν δράκοντα ὀνομάζων τὸν τῆς Δηϊανείρας μνηστῆρα ποταμὸν, καίπερ ἐκείνος οὐ τὸν Εὔηνον, ἀλλὰ τὸν πρὸς δυσμὰς αὐτοῦ Ἀχελῷον ἀντερίσαι τῷ Ἡρακλεῖ περὶ τοῦ γάμου λέγει, ὡς ἱστορήσει παρακατιὼν (σελ. 251) καὶ ὁ Στράβων.—Στ. 21, Μολύκρειαν.] Διὰ διφθόγγου ἔγραψα ἐνθάδε τε καὶ ἐν τοῖς ἑξῆς (σελ. 253), ὡς φέρεται ἀνωτέρω (204 καὶ 239), ΑΤ, Μολυκρίαν.

ΣΕΛΙΔ. 241, στ. 3, Τοῦ Ἀμβρακικοῦ.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τοῦ Ἀμβρακικοῦ.—Στ. 6, Ἐκτός.] Ἰσ.γρ. Ἐντὸς, καθάπερ μετέφρασε Γαλλιζὶ καὶ ὁ Δευδεῖλης, μηδὲν δηλώσας περὶ τῆς γραφῆς· τὰ γὰρ ὑπὸ τῶν πρὸ ἐμοῦ ἐκδοτῶν παραβληθέντα ἀντίγραφα (συμφώνως τῷ ἐμῷ ἀντιγράφῳ καὶ τοῖς λοιποῖς μεταφράσαις ἅπασι) φέρουσιν, Ἐκτός. —Στ. 15, Οἷος κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, ὠ, 376.—Στ. 18, Καὶ Κροκύλει'.] Ἐκ τῆς Ἰλιάδος, β', 633.—Στ. 19, Γαργάσου.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 125) σημειωθέντα μοι.

ΣΕΛΙΔ. 242, στ. 4-8, Τὸν ὑπέρκομπον... ἀκτῆς.] Ἐξ ΕΔ διέταξα καὶ ἀνεπλήρωσα τοὺς στίχους· ἀνθ' ὧν οἱ πρὸ ἐμοῦ τὰ ἑξῆς μόνα ἀπεδέξαντο οὕτωσὶ τεταγμένα,

Τὸν ὑπέρκομπον θηρῶσα Φάων',
Οἰστρῶντι πόθῳ ῥίψαι πέτρας ἀπὸ τηλεφανοῦς·
Ἀλλὰ κατ' εὐχὴν σὴν, θέσπι' ἄναξ.

—Στ. 14, Πτερῶν.] ΔΓ, Πετρῶν. Ἰσ.γρ. Πτηνῶν.—Στ. 25, Λύτάρ κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β', 631.

ΣΕΛΙΔ. 243, στ. 2, Οἱ δ' ἐκ Δουλιχίοιο.] Ἐκ τῆς Ἰλιάδος, β', 625.—Στ. 4, Οἱ δ' ἄρα.] Ἐκ τῆς αὐτῆς, β', 615.—Στ 6, Οἱ δ' Εὐβοίαν.] Ἐκ τῆς αὐτῆς, β', 536-537.—Στ. 8, Τρῶες.] Ἐκ τῆς αὐτῆς, Θ', 173.—Στ. 13, Μὲν οὖν τὰ ἀντίπερα.] Ἐκ ΔΓ, ΑΤ, Μὲν οὖν καὶ τὰ ἀντιπέραν.—Στ. 16, Δώδεκ' ἐν.] Ἐκ τῆς Ὀδυσσείας, ξ', 100.—Στ. 20, Ἐν πορθμῷ.] Ἐκ τῆς αὐτῆς, δ', 671.—Στ. 23, Σάμος καὶ Σάμη καλουμένη.] Σῴζει νῦν τὸ πρῶτον τῶν ὀνομάτων.—Στ. 26, Ὅσσοι.] Ἐκ τῆς Ὀδυσσείας, ά, 245.

ΣΕΛΙΔ. 244, στ. 4, Σάμοιό τε.] Ἐκ τῆς Ὀδυσσείας, δ', 671.—Στ. 13, Ἐκ δὲ Σάμης.] Ἐκ τῆς αὐτῆς, π', 249.—Στ. 15, Τὴν μέν.] Ἐκ τῆς αὐτῆς, ὁ, 366.—Στ. 18, Πλησίον.] Ἐκ ΔΓ, ΑΤ, Πλησίων.—Στ. 24, Ναιετάω.] Ἐκ τῆς Ὀδυσσείας, ί, 21.

ΣΕΛΙΔ. 245, στ. 9, Ἡμεῖς.] Ἐκ τῆς Ὀδυσσείας, γ', 81.—Στ. 10, Εἶθ' ἕτερον.] Ἐκ ΔΓ, ΑΤ, Εἴτε δ' ἕτερον.—Στ. 16, Αὐτὴ δέ.] Ἐκ τῆς Ὀδυσσ. ί, 25.—Στ. 17, Χαμηλή.] Ἐκ ΔΓ (συναδούσης τῇ παρ' ἡμῖν συνηθείᾳ), ΑΤ, Χαμαλή.—Στ. 18, Κραναὴν καλῶν.] Ἐν τῇ Ὀδυσσείᾳ, ά, 247.—Στ. 20, Τρηχεῖαν.] Ἐκ τῆς Ὀδυσσείας, ξ', 1.—Στ. 23, Οὐ γάρ τις νῆσος εὐδείελος.] Ἐκ τῆς αὐτῆς, δ', 607. ἐξ ἧς καὶ διορθωτέον τὸ κακῶς παρ' ἅπασι γραφόμενον χωρίον τόδε, γράφοντας, Οὐ γάρ τις νήσων ἐππήλατος.

ΣΕΛΙΔ. 246, στ. 3, Αἱ δέ τ'.] Ἐκ τῆς Ὀδυσσείας, ι, 26. — Στ. 8, Εἶτ' ἐπί.] Ἐκ τῆς Ἰλιάδος, μ, 239. — Στ. 11, Ὦ φίλοι.] Ἐκ τῆς Ὀδυσσείας, κ 190. — Στ. 15, Ἔχει δέ τινα καὶ τούτου ἔμφασιν.] Ἀναγκαία μοι ἔδοξεν ἡ τοῦ δευτέρου συνδέσμου προσθήκη, ὃν καὶ ὁ ἀρχαῖος μεταφραζής πως ἐξέφρασεν· ὁ δὲ πρῶτος ἰσοδυναμεῖ τῷ Γὰρ συνδέσμῳ. Ὁ νοῦς, Ὑπονοεῖν γὰρ παρέχει καὶ τοῦθ' ὁ Ποιητής, τὰ τέσσαρα κλίματα βούλεσθαι λέγειν δηλονότι. — Στ. 16, Ἀντιτεθέμενον.] Ἐκ ΔΓ, ΑΤ, Ἀντιθέμενον. — Στ. 28, Οὐδ' εἰ ἀρχήν ἐστιν.] Ἐξ ΕΔ, ΑΤ, Οὐδὲ ἀρχή ἐστιν.

ΣΕΛΙΔ. 247, στ. 5, Μικραὶ, Παλεῖς τινες.] ΗΔ, ΑΤ, Μικραὶ πόλεις τινές. Ὁ Κασωβὼν ὑπενόει γραπτέον εἶναι, Μικραὶ πόλεις τινὲς, Πάλη. Οἱ δὲ Παλεῖς (οὓς ὁ Πολύβιος Παλαιεῖς καλεῖ) νῦν Παλίκι καλοῦνται, κατὰ τὸν Σοφιανὸν, κατ' ἄλλους δὲ Παλαιόκαστρον, ὅπερ ἔοικε ταὐτὸν εἶναι τῷ ἐν τῷ νεωτάτῳ τῆς Πελοποννήσου πίνακι πλησίον τῆς Σάμης κειμένῳ καὶ καλουμένῳ Παλαιοχῶρι. Εἰ δὲ χρὴ τῷ Μελετίῳ πιστεύειν, τὸ πολὺ τούτων ἀπέχον πρὸς δύσιν τε καὶ νότον Λιξοῦρι ἐστίν. — Στ. 6, Πρώνησος.] Ἧς τὰ ἐρείπια δείκνυνται νῦν ἐπ' ἄκρας καλουμένης Βισκάρδο (Cap Viscardo). Ὁ Τίτος Λιούϊος (XXXVIII, 28) Νησιώτας ὀνομάζει τοὺς κατοίκους τῆς Προννήσου· χερρόνησίζει γὰρ τῷ ὄντι ἡ ἄκρα. — Κράνιοι.] Ἡ νῦν Κρανιὰ, ἢ κατ' ἄλλους, Κράννη, τριμιλλίου ἀπέχουσα τῆς θαλάσσης, περὶ τὸ νῦν Ἀργοσόλι καλούμενον κειμένη. — Στ. 14, Οἱ δὲ, τῇ Τάφῳ, καὶ Ταφίους τοὺς Κεφαλληνίους.] Οἱ τὴν αὐτὴν νομίσαντες εἶναι τῇ Τάφῳ τὴν Κεφαλληνίαν, εἴ γε ὅλως τοῦ ἀληθοῦς ἥμαρτον, ὥσπερ διατείνεται Στράβων, δι' ὁμωνυμίαν ἴσως ἥμαρτον· ἦν γὰρ καὶ ἐν τῇ Κεφαλληνίᾳ πόλις καλουμένη Τάφος, εἰ χρὴ πιστεῦσαι τῷ Βυζαντίῳ Στεφάνῳ· ὁ γοῦν Σαλμάσιος (*Plinian. exercitatt. pag.* 503), ἠπατῆσθαί φησι τὸν Στέφανον. Σώζεται δ' οὖν ἐν τῇ Κεφαλληνίᾳ, κατὰ τὸν νεώτατον τῆς Πελοποννήσου πίνακα, χωρίον καλούμενον Τάφιο (Tafio), πρὸς τῇ λεγομένῃ Σιδηρᾷ ἄκρᾳ (Cap Sidero) κείμενον. — Στ. 22, Μέντης.] Ἐκ τῆς Ὀδυσσείας, α, 180. — Στ. 24, Ταφιοῦς ἡ Τάφος.] Ἡ νῆσος δηλονότι περὶ ἧς ἐν τοῖς ἑξῆς (σελ. 252) ἐρεῖ πλατύτερον. Ταύτην εἶναί τινες οἴονται τὸ νῦν καλούμενον, Μεγαλοννῆσι (Ἰδ. τὰς Γαλλικ. σημειώσ.). Ταὐτὸν ἴσως καὶ τὸ ἐν τῷ τῆς Πελοποννήσου πίνακι τῷ νεωτάτῳ καλούμενον Μακροννῆσι, τὸ πρὸς ἄρκτον κείμενον τῆς ἐκβολῆς τοῦ Ἀχελῴου.

ΣΕΛΙΔ. 248, στ. 2, Φυλείδεω ἕταρον.] Ἐξ ΕΔ καὶ ΔΓ (συμφώνως ταῖς Ὁμηρικαῖς ἐκδόσεσιν, Ἰλιάδ. ὁ, 519) ΑΤ, Φυλέως ἑταῖρον. — Στ. 4, Αὐτάρ.] Ἐκ τῆς Ἰλιάδος β, 631.—Στ. 8, Οὐδ' οἱ Παλεῖς.] Οὕτω διώρθου ὁ μεταφράσας τόδε τὸ βιβλίον Δουθείλης, ΑΤ, Οἱ δὲ Παλεῖς.—Στ. 16, Δουλίχιον.] Ἐκ τῆς Ὀδυσσείας ά, 246, ὅπου μέντοι φέρεται κατὰ δοτικὴν, Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ, καθάπερ καὶ ἀνωτέρω (σελ. 243) Στράβων ἐχρήσατο τῷ μαρτυρίῳ.—Στ. 19, Αὐτή.] ΗΔ, ΑΤ, Αὖτη.—Στ. 21, Αἶνος.] Ὑπελάμβανέ τις τῶν περιοδευτῶν, ἀμφιβάλλων ὅμως, τὸ ὄρος τοῦτο Γάργασον νῦν καλεῖσθαι, ἐν τῷ βορείῳ τῆς νήσου μέρει κείμενον (Ἰδ. τὰς Γαλλ. σημ.). Ὁ δὲ νεώτατος τῆς Πελοποννήσου πίναξ ἓν μόνον ὄρος, καὶ τοῦτο νοτιώτατον, ἐγκεχαραγμένον ἔχει, καλούμενον Montagne noire, ὃ σημαίνει Μέλαν ὄρος.—Στ. 26, Ἀσερία.] Ἡ νῦν Δασκαλειὸ, ἡ Διδασκαλειό. «Πειριεῖς, νῆσος » καὶ (γρ. νῆσος, ἡ καὶ) Ἀσερία», φησὶν Ἡσύχιος· ἴσως δὲ γραπτέον καὶ, Πειραιεῖς, ἢ γοῦν Πειρηεῖς, ὡς πρὸς τὴν Κεφαλληνίαν οὕτω κληθείσης τῆς νήσου, διὰ τὸ πέραν αὐτῆς κεῖσθαι, ὥσπερ καὶ ὁ ἐν τῇ Ἀττικῇ Πειραιεὺς, καὶ οἱ Πειραιεῖς. Ἔχει δὲ καὶ ἐν τῇ Κεφαλληνίᾳ τόπος, πρὸς ᾧ ἔφθημεν εἰπόντες Μέλανι ὄρει, γραφόμενος νῦν ἐν τῷ γεωγραφικῷ τῆς Πελοποννήσου πίνακι Pirie, ὁμωνυμῶν ἴσως πάλαι τῇ τῶν Πειριέων νήσῳ.

ΣΕΛΙΔ. 249, στ. 3, Λιμένες.] Ἐκ τῆς Ὀδυσσείας, δ', 846.— Στ. 6, Ἁλαλκομενάς.] Ἀλκομενὰς ταύτας καλεῖ ὁ Βυζάντιος Στέφανος.—Στ. 8, Οἴδε.] Ἐκ ΔΓ, ΑΤ, Εἴδε.—Στ. 9, Οὐ γὰρ ἂν ἀντιδιέρειλε τήν.] ΗΔ, ΑΤ, Οὐκ ἀντιδιέρειλε δὲ τήν. Νῦν δὲ ἀρέσκει μοι μᾶλλον γράφειν, Οὐ γὰρ ἂν διέρειλε τὴν, περιελόντι τὴν οὐκ ἀναγκαίαν τοῦ ῥήματος πρόθεσιν. Ὁ Δουθείλης διώρθου Οὐκ ἂν ἀντιδιέρειλε δὲ τήν. Ἐμνημόνευσε δὲ καὶ ἀνωτέρω (σελ. 75) ταύτης τῆς διαιρέσεως ὁ Στράβων.—Στ. 11, Ὑψοῦ.] Ἐκ τῆς Ἰλιάδος, ν', 12.—Στ. 14, Ἐς Σάμον.] Ἐκ τῆς αὐτῆς, ὠ, 753.— Στ. 16, Μεσσηγύς.] Ἐκ τῆς αὐτῆς, ν', 33.—Στ. 18, Μελάμφυλος.] Γράφε, Μελάμφυλλος. Ἐπῶδε τὰ σημειωθέντα μοι ἀλλαχοῦ (Στράβ. Μέρ. Γ, Πρὸς τὸν ἀναγνώσ. σελ. ϑ').—Στ. 23, Ἡ δ' Ἰωνική.] Ἐξ ΕΔ, ΑΤ (ἀνάρθρου τε καὶ ἀσυνδέτου) Ἰωνική. ΔΓ, Ἡ Ἰωνική. —Ἐπώκισο.] ΗΔ, ΑΤ, Ἀπώκισο.—Δῆλον ὅτι.] Ἐκ ΔΓ, ΑΤ, Δῆλον δ' ὅτι.

ΣΕΛΙΔ. 250, στ. 1, ΣΆΜΟΥΣ καλεῖσθαι τὰ ὕψη.] ΔΓ, ΣΑΜΑΙΟΥΣ,

ἀκριβολογοῦσα ἅπερ ἐν τοῖς πρόσθεν (σελ. 138) ἐσημειωσάμην. — Εὑρέσθαι.] Ἐκ ΔΓ, ΑΤ, Εὑρῆσθαι. — Στ. 3, Ἐφαίνετο.] Ἐκ τῆς Ἰλιάδος, ν, 13. — Στ. 10, Ἀσπίδι.] Μνημονεύσει καὶ ἐν τοῖς ἑξῆς (σελ. 389) τοῦ Ἀρχιλοχείου ἔπους τούτου. — Στ. 13, Ζάκυνθος.] Ἡ ἀκέραιον σώζουσα μέχρι καὶ δεῦρο τοὔνομα, ἐπὶ τοσοῦτον δ' αὐξηθεῖσα πάλαι, ὥςε καὶ εἰς Ἰσπανίαν ἀποίκους ςεῖλαι, οἵπερ ἔκτισαν ἐκεῖ πόλιν, τὴν ὑπὸ τοῦ Πολυβίου καλουμένην Ζάκανθαν, ὑπὸ δὲ Ῥωμαίων, οἷς ἠκολούθησε Στράβων (Μέρ. Α, σελ. 207) Saguntum, Σαγοῦντον· ἧς τὴν χώραν κατέχει νῦν ἡ καλουμένη Murviedro πόλις. — Πρὸς Ἑσπερίδας.] ΗΔ, ΑΤ, Πρὸς ἑσπέραν. — Στ. 14, Καὶ τῆς Πελοποννήσου.] Ἐκ ΔΓ καὶ τῶν προτέρων ἐκδόσεων προσείληφα τὸν σύνδεσμον. — Συνάπτουσα δ' αὐτῇ. Πλείων δ' ἐςὶν ὁ κύκλος κ. τ. λ.] Τὸ μὲν ἐξ ἡμετέρας, τὸ δ' ἐξ ΕΔ, ΑΤ, Συνάπτουσα δ' αὐτὴν πλέον. Ἔστιν ὁ κύκλος κ. τ. Ὥρα δὲ καὶ τὸν ἐκ τῆς διορθώσεως νοῦν δηλῶσαι τοῦ πολλὰ τοῖς κριτικοῖς πράγματα παρασχόντος χωρίου τοῦδε, ἄνωθεν ἀρξαμένοις· τοῦτο λέγειν οἶμαι τὸν Γεωγράφον, ὅτι ἡ Ζάκυνθος κέκλιται πρὸς τὰς κατὰ Λιβύην Ἑσπερίδας μικρῷ πλέον, ἢ ἡ Κεφαλληνία καὶ ἡ Πελοπόννησος, συνάπτει δὲ τῇ Πελοποννήσῳ· ὁ δὲ κύκλος αὐτῆς πλείων ἐςὶ τῶν ἑκατὸν ἑξήκοντα ςαδίων. Ὅτι δὲ εἰκότως ἔτρεψα τὸ Ἑσπέραν εἰς τὸ Ἑσπερίδας, δηλοῖ μὲν καὶ τὸ τέλος τοῦ παραγράφου, δηλοῖ δὲ καὶ παράλληλον ἕτερον τοῦ Στράβωνος χωρίον (Μέρ. Γ, σελ. 302), ἐν ᾧ καὶ αὖθις περὶ τῆς πρὸς τὰς Ἑσπερίδας γεωγραφικῆς σχίσεως τῆς Ζακύνθου ὁ λόγος ἐςὶν αὐτῷ· « Ἔςι δὲ καὶ λιμὴν Ἑσπερίδων... κεῖται δὲ ἡ Βερενίκη κατὰ τὰ ἄκρα » τῆς Πελοποννήσου, κατὰ τὸν καλούμενον Ἰχθύν· καὶ ἔτι κατὰ τὴν » Ζάκυνθον, ἐν διάρματι ςαδίων τρισχιλίων ἑξακοσίων. » Αἱ δὲ Ἑσπερίδες εἰσὶ, κατὰ τὸν Δαμβίλλην, αἱ αὐταὶ τῇ Βερενίκῃ, τῇ νῦν Bernic, ἢ Bengasi λεγομένῃ. — Στ. 18, Στάδιοι τρισχίλιοι τριακόσιοι.] Ἐν ᾧ δ' ἔφθην παραθέμενος παραλλήλῳ χωρίῳ τρισχιλίους ἑξακοσίους φησὶ ςαδίους εἶναι τὸ ἀφ' Ἑσπερίδων διάςημα· ἔςι μέντοι φάναι, ὅτι ἐκεῖ ὁλοσχερέςερον εἴρηκε, καὶ τὸν Ἰχθῦν, τὴν ἄκραν τῆς Πελοποννήσου, συμπεριλαμβάνων. — Στ. 19, Τὰς Ἐχινάδας.] Τὰς νῦν καλουμένας κατὰ τὸν Μελέτιον Σκρόφας, παρὰ τὸ τῶν Ῥωμαίων Scrofa, οὗ τὸ ὑποκοριςικὸν Scrofulæ, σημαίνει τὰς Χοιράδας, νόσον τὴν ἰδιωτικῶς καλουμένην Χελώνια· παρὰ ταύτην δὲ ἐσήμαινον οἱ Ἕλληνες τῷ τῶν Χοιράδων ὀνόματι καὶ τοὺς ἐν

θαλάσσῃ σκοπέλους· καὶ νῆσοι δέ τινες Χοιράδες κυριωνυμικῶς ἐκαλοῦντο, οἷον αἱ πρὸ τῆς Ἰαπυγίας (Θουκυδίδ. ζ', 33).—Στ. 20, Δουλίχιον.] Ἴσως τὸ νῦν Ἀνατολικὸν, ἢ μᾶλλον Αἰτωλικόν· ἔχει γὰρ ἐν τῇ κατ' Αἰτωλίαν πλησίον τοῦ Ἀχελῴου λιμνοθαλάττῃ (Ἴδε Chandler, *Voyag. dans l'As. min., et en Grèce, tom. III, pag.* 491).—Στ. 21, Ὀξεῖαι.] Αὗται δέ, ἃς Στράβων συγκαταλέγει ταῖς Ἐχινάσι, δυσμικώτεραί εἰσιν ὧν ἔφημεν Σκροφῶν· καὶ καλοῦνται τῷ αὐτῷ ὀνόματι Ὀξειαῖς, ὡς φησιν ὁ Μελέτιος, ἔτι δὲ καὶ Κουρτσολάραι (Curzolaires).—Στ. 22, Οἰνιάδας.] Τὰς καλουμένας Δραγαμέσῃ κατὰ τὸν σχολιαστὴν τοῦ Θουκυδίδου, κατὰ δὲ τὸν Μελέτιον, Τρίγαρδον.—Στ. 24, Ἑκατόν· αἱ λοιπαὶ δ' Ἐχινάδες (πλείους δ' εἰσὶ, πᾶσαι λυπραὶ καὶ τραχεῖαι) πρὸ τῆς ἐκβολῆς κ. τ. λ.] ΗΔ (πλὴν τοῦ δευτέρου Δὲ [πλείους δ' εἰσὶ] ἐξ ΕΔ παρειλημμένου), ΑΤ, Ἑκατόν· ΚΑΙ αἱ λοιπαὶ δ' Ἐχινάδες πλείους εἰσὶ, πᾶσαι λυπραὶ καὶ τραχεῖαι, ΚΑΙ πρὸ τῆς ἐκβολῆς. Οὔσπερ διέγραψα δύο ΚΑΙ συνδέσμους οὐκ ἐξέφρασαν οὔθ' ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς, οὔθ' ὁ Ἰταλὸς, Ὁ νοῦς, Αἱ λοιπαὶ δ' Ἐχινάδες, πολλαὶ τὸν ἀριθμὸν, καὶ πᾶσαι τραχεῖαι, κεῖνται πρὸ τῆς ἐκβολῆς τοῦ Ἀχελῴου. Εἰσὶ δ' αὗται, ἃς ἰδιωτικῶς Σκρόφας ἔφαμεν καλεῖσθαι, πρὸς ἀντιδιαστολὴν τῶν Ὀξειῶν, τῶν οὐ πρὸς τῇ ἐκβολῇ, ἀλλ' ἀπωτέρω κειμένων.

ΣΕΛΙΔ. 251, στ. 3, Ἐχὶ προσχοῦσα.] Ἐκ ΔΓ προσείληφα τὰς δύο ταύτας λέξεις, αἱ διάλυσίς ἐχι τοῦ ῥήματος, Προσχοῖ, ἢ Προσχώννυσι.—Στ. 4, Περιμάχητον δ' ἐποίει.] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον.—Στ. 11, Μνησὴρ κ. τ. λ.] Ἐκ τῶν Σοφοκλέους Τραχινιῶν (στ. 9-15).—Στ. 29, Ὃν τίκτε.] Ἐκ τῆς Ἰλιάδ. β', 628.

ΣΕΛΙΔ. 252, στ. 11, Ἅπαντας.] Ἰσ.γρ. Ἄπαντες, ὡς ὑπενόησεν ὁ Γερμανὸς ἐκδότης.—Στ. 14, Μυρτούντιον.] Μυρτάρι νῦν αὐτὴν καλεῖσθαί φησιν ὁ Μελέτιος.—Στ. 17, Ἐξ οὗ τοὺς Ἡρακλείους.] Ἐκ ΔΓ καὶ ΕΔ, ΑΤ, Ἐξ αὐτοῦ Ἡρακλείους.—Στ. 19, Παρατόπως.] Ἐκ ΔΓ, ΑΤ, Παρὰ τόπον. Δύναται δὲ ταὐτὸν τῷ Ἐκτόπως, τουτέστιν ἔξω τοῦ οἰκείου τόπου. Καὶ καταχωριζέσθω τὸ ἐπίῤῥημα ἐν τοῖς Λεξικοῖς· ἐπικυρούσθω δὲ καὶ τὸ παρὰ τῷ Σουΐδᾳ Παράτοπον, ἐπιῤῥηματικῶς κακεῖνο τεθειμένον.—Στ. 20, Ἀσκός.] Τὸ νῦν Κάσρον τῆς Μάνης, κατὰ τὸν Μελέτιον.—Στ. 21, Ἑνικῶς.] Ἰσ.γρ. Θηλυκῶς.

ΣΕΛΙΔ. 255, στ. 4, Χαλκίκην.] Οὕτως ἔγραψα μονοφθόγγως, ὡς

ἐν τοῖς ἑξῆς γράφει καὶ ὁ Γερμανὸς ἐκδότης, ΑΤ, Χάλκειαν.—Στ. 5, Λίκυρνα.] Ἰσ.γρ. Ἁλίκυρνα, καθὰ φέρεται παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ καὶ παρὰ τῷ Πλινίῳ Halicyrna.—Στ. 8, Μολύκρεια.] Ἐκ ΔΓ (ὥσπερ ἐγράφετο καὶ ἀνωτέρω, σελ. 240) ΑΤ, Μολυκρία.—Στ. 11, Χαλκείας.] Ὤφειλον κἀνταῦθα Χαλκίας γράψαι, καθὰ φέρει τὰ πλείω τῶν ἀντιγράφων.—Στ. 12, Ἀχελῴου.] Εὐήνου, γραπτέον εἶναί φασιν οὐκ ἀπιθάνως τινες.—Στ. 16, Χαλκίαν.] Ὡσαύτως ἐνθάδε καὶ ὁ Γερμανός.—Στ. 17, Μολυκρείᾳ.] ΗΔ, ΑΤ, Μολυκρίαν. ΔΓ, Μολυκρίᾳ.—Ἔζι δέ τις καὶ πρὸς τῇ Καλυδῶνι λίμνη.] Τῶν κριτικῶν τις ἐξερύηκέναι τοῦ χωρίου τὸ τῆς λίμνης ὄνομα ὑπέλαβεν· εἶναι δὲ ταύτην τὴν Ὄνθιον ἢ Ὄνθιδα. Σκοπητέον μέντοι ἐκ τῶν προσεχῶς εἰρημένων τῷ Στράβωνι, μήποτε οὗτός ἐστιν ὁ νοῦς τοῦ χωρίου, Ἔζι δὲ καὶ πλησίον τῆς Καλυδῶνος λίμνη ὁμώνυμος, τουτέστι Χαλκίς, ἡ Χαλκὶα καλουμένη· ὁ γοῦν Ὅμηρος (Ἰλιάδ. β', 640) τοὺς Αἰτωλοὺς λέγων νέμεσθαι

Χαλκίδα τ' ἀγχίαλον, Καλυδῶνά τε πετρήεσσαν,

δῆλός ἐστι πλησίον τῆς Καλυδῶνος τιθεὶς τὴν Χαλκίδα, ἣπερ οὐκ ἀπεικὸς καὶ λίμνην ὁμώνυμον παρακεῖσθαι, ὥσπερ καὶ τῇ Βοίβῃ τὴν Βοιβηίδα (Ἰλιάδ. β', 712). Ἱστορήσει δὲ καὶ Στράβων, μικρὸν ὑποβάς, Λυσιμαχίαν πόλιν καὶ λίμνην.—Στ. 24, Ἧς ἐν τῷ.] ΗΔ, ΑΤ, Οὗ ἐν τῷ. ΔΓ, Ὡς ἐν τῷ.

ΣΕΛΙΔ. 254, στ. 2, Κωνώπα.] Ἡ νῦν Κωνωπίνα, κατὰ τὸν Μιλήτιον.—Στ. 6, Ἐπὶ τῆς.] Ἐκ ΔΓ, ΑΤ, Ἀπὸ τῆς.—Στ. 17, Ἀποδείκνυται.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιδείκνυται.

ΣΕΛΙΔ. 255, στ. 2, Νομιζόμενον.] Τῶν τις κριτικῶν ᾤετο δεῖν γράφειν, Ὀνομαζόμενον.—Στ. 12, Οἱ πατρός.] Ἐκ τῆς Ὀδυσσείας, β', 52.—Στ. 15, Ἤδη γάρ.] Ἐκ τῆς αὐτῆς, ὁ, 16.—Στ. 17, Οὔτε γάρ.] Ἐκ ΔΓ προσειλκυσα τὸν σύνδεσμον.—Στ. 24, Ὑπομεῖναι,] ΗΔ, ΑΤ, Ἐπιμεῖναι.—Στ. 26, Αὐγαίου.] Διώρθου τὸ τυπογραφικὸν ἁμάρτημα, γράφων, Λυγαίου.—Στ. 29, Οἵ τε τὴν Ἀκτήν.] Ἔπιθι τὰς Γαλλικὰς σημειώσεις.—Στ. 31, Οἵ τ' Ἤπειρον (γρ. ἤπειρον).] Ἐκ τῆς Ἰλιάδος, β', 635.

ΣΕΛΙΔ. 256, στ. 13, Περὶ αὐτόν.] Ἐκ ΔΓ, ΑΤ, Περὶ αὐτοῦ.—Στ. 26, Οὐδὲ γάρ.] Ἰσ.γρ. Οὐδέ γε.

ΣΕΛΙΔ. 257, στ. 5, Ὥσε ἐκπίπτει... λεγόμενα Θουκυδίδης τε καὶ ἄλλοι, οἱ τὸν Ἀμφίλοχον κ. τ. λ.] Ἐξ ΕΔ, ΑΤ, Ὥσε ἐκπίπτει...

λεγόμενα. Θουκυδίδης δὲ καὶ ἄλλοι τὸν Ἀμφίλοχον. Ὁ νοῦς, Εἰ ἀληθὲς τὸ ὑπὸ τοῦ Ἐφόρου λεγόμενον, ὅτι πρὸ τῶν Τρωϊκῶν ἐκτίσθη τὸ Ἀμφιλοχικὸν Ἄργος, ἐκπίπτουσιν εἰς τὰ μὴ ἱστορούμενα ὑφ' Ὁμήρου, τουτέστιν ἀποπλανῶνται τῆς Ὁμηρικῆς ἱστορίας, ὅ τε Θουκυδίδης (β', 68) καὶ ἄλλοι, οἱ φασὶ τὸν Ἀμφίλοχον μετὰ τὴν ἀπὸ Τροίας ἐπάνοδον, καταλιπόντα τὸ ἐν Πελοποννήσῳ Ἄργος, εἰς Ἀκαρνανίαν ἀπελθεῖν, καὶ οἰκίσαι τὸ ἀπ' αὐτοῦ κληθὲν Ἀμφιλοχικὸν Ἄργος· οὐ γὰρ ἂν παρέλιπεν Ὅμηρος ἐν τῷ Καταλόγῳ τὸ Ἀμφιλόχου ὄνομα, εἴ γε συνεστράτευσε τοῖς Ἕλλησιν ἐπὶ Τροίαν Ἀμφίλοχος. Ἐμνημόνευσε ταύτης τοῦ Θουκυδίδου τῆς δόξης καὶ ἐν τοῖς πρόσθεν (σελ. 53) ὁ Στράβων.—Στ. 8, Φασι.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ ἐμῷ ἀντιγράφῳ), ΑΤ, Φησι.—Στ. 20, Ἄγριος.] Ἐκ τῆς Ἰλιάδος, ξ, 117.—Στ. 23, Ἐπεὶ τήν.] Ἐκ ΔΓ, ΑΤ, Ἐπεὶ οἱ τήν.—Στ. 24, Καὶ κατ' αὐτόν.] Ἐκ ΔΓ, προσείληφα τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 258, στ. 2, Κουρῆτές τ'.] Ἐκ τῆς Ἰλιάδος, ι, 529. —Στ. 11, Τοὺς Αἰτωλοὺς εἰπών.] Ἐκ ΔΓ, ΑΤ, Εἰπὼν τοὺς Αἰτωλούς.—Μηδεπώποτε.] Ἰσ.γρ. Μηδέποτε.—Στ. 13, Δυσχωρίας.] Ἴσ.γρ. Δυσχερείας.—Στ. 19, Πόλεων· δεκάτῃ δ' ὕστερον γενεᾷ.] Ἐξ ΕΔ, ΑΤ, Πόλεων δέκα· τῇ δ' ὕστερον γενεᾷ. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Πόλεων δέκα· τῇ δ' ὕστερον δεκάτῃ γενεᾷ.—Στ. 21, Παρατίθησι δὲ τούτων.] Ἐκ ΔΓ, ΑΤ, Παρατίθησι δὲ καὶ τὰ τούτων.—Στ. 26, Θρεφθέντα.] Ἐξ ΕΔ, ΑΤ, Τρεφθέντα.

ΣΕΛΙΔ. 259, στ. 4, Γενεᾶς.] Ἄμεινον γράφεται, Γενεῆς, ἐν ταῖς Χρησομαθείαις (Στράβ. Μέρ. Γ, σελ. 397).—Στ. 16, Ὤφειλε μὲν τοῖς.] ΗΔ, ΑΤ, Ὤφειλε μέντοι γε τοῖς. ΔΓ (σίχα τῶν συνδέσμων), Ὤφειλε τοῖς.—Στ. 19, Ὑπ' ἄλλοις.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ' ἄλλοις.—Στ. 24, ΤΟΥΤΟ δὲ καὶ τό.] Ἐκ ΔΓ προσείληφα τὸν δεύτερον τῶν συνδέσμων. Ἴσ.γρ. ΤΟΥΤΩ.

ΣΕΛΙΔ. 260, στ. 1, Ἴσως δή.] Ἐκ ΔΓ, ΑΤ, Ἴσως δέ.—Στ. 4, Διαμεί̈ναντος.] ΗΔ, ΑΤ, Διαμένοντος.—Στ. 5, Τὸ τῶν Ἐπειῶν ἢ Ἠλείων.] ΗΔ, ΑΤ, Τὸ τῶν Ἐπειῶν λέγων. Προηγησαμένου γὰρ πρασεχῶς τοῦ Φήσας, οὐκέτι χώρα καταλείπεται τῷ Λέγων. Συνῆκε τὸν πλεονασμὸν καὶ ὁ Κασωβών· ἀλλὰ διώρθου οὐ πιθανῶς, ἐμοὶ δοκεῖν, Τὸν τῶν Ἐπειῶν λεών.—Στ. 9, Ἢ τοῦτο.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ΑΤ, Ἢ τοῦτο.—Στ. 10, Κρατουμένους.] ΗΔ, ΑΤ, Κρατουμένοις.—Ἐπ' ἴσοις.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ'

ἴσης.—Στ. 12, Ἐπελθόντας.] Ἐκ ΔΓ, ΑΤ, Ἀπελθόντας.—Στ. 25, Ἐν τοῖς Ἑλληνικοῖς, νὴ Δία, διδοὺς εὐθύνας.] Ἐξ ΕΔ, ΑΤ, Ἐν τοῖς Ἑλληνικοῖς, καὶ διαδοὺς εὐθύνας.

ΣΕΛΙΔ. 261, στ. 13, Ἀρχέμαχος.] Ὁ τὰ Εὐβοϊκὰ συγγράψας (ἴδ. Ἀθήν. σελ. 264), ὃς παρὰ τοῖς ὑπὸ τοῦ Βιλλοισῶνος ἐκδοθεῖσιν ἐξηγηταῖς τοῦ Ὁμήρου (σελ. 76) Ἀγχίμαχος οὐκ ὀρθῶς γράφεται. —Στ. 23, Κουρίου.] Σκεπτέον μὴ τοῦτο, ἡ πλησίον τούτου ἐστί, τὸ νῦν καλούμενον Ἀποκοῦρι, ὥσπερ ἔμαθον ἔκ τινος τῶν ὁμογενῶν ἐμοί, τοιοῦτον ἐκεῖ σώζεσθαι τανῦν τόπου τινὸς ἰδιωτικὸν ὄνομα, φήσαντος.—Στ. 25, Ἀφραίους.] Διόρθου τὸ τυπογραφικὸν ἁμάρτημα, γράφων, Ἀγραίους.—Στ. 27, Φασί.] Γραπτέον εἶναί μοι δοκεῖ, Φησί, ὁ Ὅμηρος δηλονότι, οὗ καὶ τὸ ἑξῆς ἔπος.

ΣΕΛΙΔ. 262, στ. 2, Ὤκεον.] Ἐκ τῆς Ἰλιάδος, ξ, 116.—Στ. 7, Περὶ μίρους.] Ἐκ ΔΓ, ΑΤ, Περὶ μέρος.—Στ. 9, Κουρῆτες.] Ἐκ τῆς Ἰλιάδος, ι, 529.—Στ. 16, Τοιούτους.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ (τυπογραφικῶς ἴσως ἡμαρτημένου), Τούτους. —Στ. 18, Ἐμπεπλεγμένα.] Αἱ πρότεραι ἐκδόσεις, Ἐμπεπλεγμένοι. Ὁ Δουθείλης διώρθου, Ἐμπεπλεγμένους (πρὸς τὸ Κουρῆτας).—Στ. 19, Ἄλλως.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Ἄλλαις.—Στ. 25, Κατὰ μικράς.] ΗΔ, ΑΤ, Καὶ μικράς.—Στ. 28, ἰὶς δὲ τύπῳ.] Ἐκ ΔΓ, ΑΤ, ὥςε, ὡς τύπῳ.

ΣΕΛΙΔ. 263, στ. 2, Διακόνων· ὥςε καὶ τά.] ΗΔ, ΑΤ, Διακόνων τε, καὶ τά.—Στ. 3, Καὶ τῶν Σαμοθρᾳκῶν.] Ἴσ.γρ. Καὶ τὰ Σαμοθρᾳκῶν.—Στ. 6, Τρόπος.] Ἴσ.γρ. Τόπος.—Στ. 8, Ἐπεὶ δὲ δι' ὁμωνυμίαν.] ΗΔ, ΑΤ, Ἐπειδὴ δὲ ὁμωνυμία. ΔΓ, Ἐπεὶ δὲ ὁμωνυμία· Ἐπεὶ δ' ἡ ὁμωνυμία.—Στ. 10, Παρεκβάσει.] Ἐκ ΔΓ, ΑΤ, Παραβάσει.—Στ. 14, Εἶναι γὰρ καὶ τινα τοιοῦτον ζῆλον... καταφρονηθῆναι λέγουσιν ὑπὸ τῶν Περσῶν.] Τοῦτο παρατιθέμενος Στράβωνος τὸ χωρίον ὁ Βυζάντιος Στέφανος, οὕτως ἐκφέρει (κατὰ τὰς ὑπὸ τῶν κριτικῶν διορθώσεις), « Εἶναι δὲ καὶ τοιοῦτόν » τινα ζῆλον ἐν τοῖς Ἕλλησιν, ὡς καὶ Ἰάονας ἑλκεχίτωνας εἰρῆσθαι, » ΚΑΙ ΚΡΩΒΥΛΩΝ ΚΑΙ ΤΕΤΤΙΓΑ ΕΜΠΛΕΚΕΣΘΑΙ, καὶ τοὺς περὶ » Λεωνίδαν κτενιζομένους τὴν κόμην, ὅτ' ἐξέπεσαν εἰς τὴν μάχην, κατε» φρονήθησαν (ἴσ.γρ. καταφρονηθῆναί φασιν) ὑπὸ Περσῶν ». Ἔξιν οὖν ὑπονοεῖν, κατὰ τοὺς κριτικοὺς, ὅτι τὰ κεφαλαίοις στοιχείοις γεγραμμένα ἐξερρύησαν τοῦ Στραβωνείου χωρίου, δι' ἀβλεψίαν τῶν ἀντιγράφων. Καὶ τὸ μὲν Ἰάονας ἑλκεχίτωνας ἐξ Ὁμήρου (Ἰλιάδ. ν, 685)

εἴληπται, τὸ δὲ περὶ Κρωβύλου λεγόμενον, ἐκ τοῦ Θουκυδίδου (ά, 6), τὸ δὲ περὶ Λεωνίδου, ἐκ τοῦ Ἡροδότου (ή, 208).—Στ. 20, Πλεοναχῶς τὸ ἐτυμολογεῖν.] Ἢ περικειρετέον τὸ ἄρθρον, ἢ μεταθετέον, γράφοντας, Τὸ πλεοναχῶς ἐτυμολογεῖν.—Στ. 22, Πρῶτον.] Ἱσ.γρ. Πρώτων.—Στ. 28, Κρινάμενος.] Ἐκ τῆς Ἰλιάδος, τ', 193.

ΣΕΛΙΔ. 264, στ. 4, Δῶρα.] Ἐκ τῆς αὐτῆς, τ', 248.—Στ. 5, Ὅτι δ' ἡ ἐνόπλιος ὄρχησις ςρατιωτική, καὶ ἡ πυρρίχη δηλοῖ καὶ ὁ.] ΗΔ, ΑΤ, Ἡ δὲ ἐνόπλιος (ΔΓ, ἐν ὅπλοις) ὄρχησις, ἡ ςρατιωτική, καὶ ἡ πυρρίχη· δηλοῖ δὲ καὶ ὁ (ΔΓ, δηλοῖ καὶ ὁ).—Στ. 8, Ἐπὶ τὰ ςρατιωτικά.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Καὶ τὰ ςρατιωτικά.—Στ. 9, Τοσαῦτα.] Ἐκ ΔΓ, ΑΤ, Τοιαῦτα.—Στ. 12, Ποιεῖσθαι, τὰς μὲν, μετὰ μουσικῆς.] Ἀναπλήρου τὸ ἀδιάφορον τυπογράφων κολοβωθὲν χωρίον, γράφων, Τὰς μὲν οὖν ἐνθουσιασμῷ, τὰς δὲ, χωρὶς, καὶ τὰς μὲν, μετὰ μουσικῆς.—Στ. 15, Ἀσχολημάτων, καὶ ὁπωσοῦν τρίπει.] ΗΔ, ΑΤ, Ἀσχολημάτων, τὸν δὲ ὄντως (ἄλλ. οὕτως) νοῦν τρέπει.—Στ. 24, Ἀμεινον δ' ἂν λέγοι τις, Ὅταν εὐδαιμονῶσιν.] Φιλοσοφωτάτως τοὐντεῦθεν ὁ Στράβων, εἴπερ οὐκ ἔςιν εὐδαιμονεῖν ἀρετῆς δίχα.—Στ. 27, Γεγένηται.] ΗΔ, ΑΤ, Γένηται.

ΣΕΛΙΔ. 265, στ. 3, Μουσικὴν ἐκάλεσεν ὁ Πλάτων... τὴν φιλοσοφίαν.] Ἐν τῷ Φαίδωνι (σελ. 61) τὸν Σωκράτην παράγει τοῦτο λέγοντα.—Στ. 12, Καὶ Διί.] Λείπουσιν ὅλως ταῦτα ἐν ταῖς Χρησομαθείαις (σελ. 398). Ἐν δὲ τῷ προκειμένῳ χωρίῳ, αἱ μὲν πρότερον ἐκδόσεις ἔφερον, Νὴ Δία, ὅπερ ὤφειλον ἴσως κατὰ χώραν ἐᾶσαι, μηδὲ τῷ Γερμανῷ ἀκολουθῆσαι ἐκδότῃ γράψαντι (ἐκ ΔΓ), Καὶ Διΐ· ὅπερ καὶ ἕτερός τις τῶν ἐπισήμων κριτικῶν (Ἰδ. Σχαιφέρ. σημ. εἰς τὸ Διονυσ. Περὶ συνθ. ὀνομ. σελ. 298) ἐσημειώσατο.—Στ. 13, Ἰακχόν τε... δαίμονα.] Ἡ συνάρτησις καὶ ὁ νοῦς, Ἰακχόν τε καλοῦσι καὶ τὸν Διόνυσον, καὶ τὸν δαίμονα τὸν ἀρχηγέτην τῶν μυςηρίων τῆς Δήμητρος, καὶ οὐχ ὡς ἐξεδίξαντό τινες τῶν κριτικῶν, πρὸς τὸ Δήμητρος συνάψαντες ἀμέσως τὸ Δαίμονα (Ἰδ. Sainte-Croix, *Recherch. sur les myster. du paganism. tom. I, pag.* 203, *edit.* 1817).

ΣΕΛΙΔ. 266, στ. 5, Ἐκ ποδῶν.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Ἐκποδών.—Στ. 20, Καὶ Σιπυλήνην.] Ὁ δὲ τὰς Χρησομαθείας γράψας (Στράβ. Μέρ. Γ, σελ. 398) ἔφερε, Καὶ Σιπυλήνην καὶ ΚΥΜΗΝΗΝ, ὅπερ ἡμεῖς ἐτρέψαμεν εἰς τὸ ΚΥΒΗΒΗΝ. Καὶ Κυβήβη γὰρ

καὶ Κυβέλη ἐκαλεῖτο ἡ τῶν θεῶν μήτηρ.—Στ. 23, Ἑτέρους.] Ἰσ.γρ. Ἑτέρως.—Στ. 25, Ὑπονοιῶν.] Τουτέστιν, ἀλληγοριῶν, ὥσπερ ἐξηγεῖται ὁ Πλούταρχος (Πῶς δεῖ τὸν νέον ποιημ. ἀκούειν, § 4), « Ταῖς πάλαι μὲν ὑπονοίαις, ἀλληγορίαις δὲ νῦν λεγομέναις », αἷς ἐχαιρον μάλιστα οἱ Στωϊκοί.

ΣΕΛΙΔ. 267, στ. 7, Ἀποδειχθέντων.] Ἐκ ΔΓ, ΑΤ, Ἀποδεχθέντων.—Στ. 9, Τῶν θεῶν... συνοικειῶν.] Τρισὶ σιγμαῖς διέστιξα τὰς λέξεις, ἐξερρυηκέναι τι τοῦ χωρίου ὑπονοῶν.—Στ. 11, Οὐ κατὰ τὸν Ὅμηρον.] ΗΔ ἡ προσθήκη τῆς ἀρνήσεως. Ψευδὲς γὰρ τὸ τὸν Ὅμηρον συγχέειν τοὺς Φρύγας τοῖς Λυδοῖς· ἄλλως τε καὶ πολλαχοῦ τῆς Γεωγραφίας (Μέρ. Α, σελ. 34, καὶ Μέρ. Γ, σελ. 50 καὶ 65) τοῦ Στράβωνος ἐπιτιμῶντος τοῖς Τραγικοῖς, ὡς μὴ κατὰ πάντα συμφωνοῦσιν Ὁμήρῳ.—Στ. 12, Ἀλλ' ὦ λιποῦσαι.] Ἐκ τῶν Εὐριπίδου Βακχῶν ταῦτά τε καὶ τὰ ἑξῆς (Βάκχ. 55, 73-87, καὶ 120-134).—Στ. 19, Κυβέλης.] Ὤφειλον ἐᾶσαι τὸ ὡρικὸν Κυβέλας κατὰ χώραν, καίπερ ἰωνικῶς, Κυβέλης, γραφόμενον ἐν ταῖς ἐκδόσεσιν Εὐριπίδου.

ΣΕΛΙΔ. 268, στ. 1, Ἀνὰ δὲ Βακχείαν σύντονον.] Ἐξ ΕΔ, ΑΤ, Ἀνὰ δὲ βακχεῖα συντόνῳ.—Στ. 2, Ἀδυδοᾶν.] ΗΔ, ΑΤ, Ἀδυβόα. Ἡ συνάρτησις ἀπὸ τῶν ἄνωθεν, Ἀνεκίρασαν δὲ βακχείαν σύντονον πνεύματι αὐλῶν ἀδυδοᾶν Φρυγίων, τουτέστι, συνέμιξαν τὴν βακχικὴν μανίαν τῷ φυσήματι τῶν ἡδείαν φωνὴν ἱέντων Φρυγίων αὐλῶν.—Στ. 10, Καὶ ἐν Παλαμήδῃ.] Μηκέτι σωζομένῳ δράματι.—Στ. 18, Τέτταρες Ὄλυμποι καλούμενοι... [καὶ ὁ] τῆς κ. τ. λ.] Ἔσιξα τρὶς μετὰ τὸ Καλούμενοι, προσθεὶς καὶ τὸν ἑξῆς σύνδεσμον μετὰ τοῦ ἄρθρου, διὰ τὸ προφανῶς κεκολοβωμένον τοῦ χωρίου· λείπουσι γὰρ ἐκ τῶν τεσσάρων δύο Ολυμποι. Αἱ χρησομάθειαι (Μέρ. Γ, σελ. 398) φέρουσι πληρέστερον, « Ὅτι Ὄλυμπος ὄρος ἐστὶ καὶ περὶ τὴν Τρωϊκὴν Ἴδην, καὶ » ὁ Μύσιος, καὶ ὁ Μακεδονικὸς, καὶ ὁ παρ' Ὁμήρῳ ὑπερουράνιος. » Καὶ ὁ μὲν Μακεδονικὸς, ἡ Θετταλικὸς (λέγεται γὰρ ἀμφοτέρως), οὗ καὶ Στράβων (σελ. 59, 100, καὶ 477) μνημονεύει, καλῶς ἔχει· περὶ δὲ τοῦ Ὑπερουρανίου διςάζειν ἔξεστιν. Ἴσως ἀντ' αὐτοῦ τὸν ἐν τῇ Ἠλείᾳ τῆς Πελοποννήσου Ὄλυμπον, τὸν ἀνωτέρω (σελ. 100) μνημονευθέντα, Θετέον, ἢ τὸν ἐν τῇ νήσῳ Κύπρῳ (Μέρ. Γ, σελ. 76).—Στ. 19, Ἔτι δέ.] ΗΔ, ΑΤ, Ἔστι δέ.—Μυσός.] Ἰσ.γρ. Μύσιος, ὡς φέρεται ἐν ταῖς Χρησομαθείαις, καὶ παρὰ τῷ Στράβωνι κατωτέρω (σελ. 410, καὶ 426).—Στ. 25, Μίμνων περι κατ'.] Ἐξ ΕΔ, ΑΤ, Μίμνων τὴν κατ'. ΔΓ, Μίμνων τοῦ κατ'.

ΣΕΛΙΔ. 269, στ. 6, Τῆς μητρὸς τὸ παιδίον.] Ὅτι παρῳδεῖ ἐν Ἅιδῃ Στράβων τὴν γνωριμωτάτην παροιμίαν, Τοῦ πατρὸς τὸ παιδίον, τὴν ἐπὶ τῶν ἐξωμοιωμένων προσώπων ἢ πραγμάτων ἐκείνοις, ὑφ' ὧν ἐγεννήθησαν, ἢ ἐδιδάχθησαν, ἢ ἄλλως πως κατεσάθησαν, λεγομένην, οὐδείς γ' ἐνόησε πλὴν τοῦ Οὐαλεσίου (ἐν ταῖς εἰς τὸν Ἁρποκρατίων. σημ. σελ. 131). Τῷ δὲ Πατρὸς ἀνθυπέβαλε παίζων τὸ Μητρὸς, διὰ τὴν Ῥέαν, μητέρα θεῶν καλουμένην. Ὁ νοῦς, Καὶ ὁ Σαβάζιος δὲ ὁ κατὰ τὴν Φρυγίαν οὕτως ἐξωμοίωται τοῖς τελουμένοις τῷ Διονύσῳ ὑπὸ τῶν Θρᾳκῶν, ὥστε φαίης ἂν ἀπὸ τούτων ἐκεῖνα γενέσθαι. Ἦν δὲ Διονύσου ἐπώνυμον ὁ Σαβάζιος, καὶ ὁ Σαβός· οὕτω δ' ἐκαλοῦντο καὶ οἱ βακχεύοντες περὶ αὐτὸν καὶ μαινόμενοι· ὅθεν καὶ ἡ παρ' ἡμῖν συνήθεια Ζαβοὺς ἔτι νῦν λέγει τοὺς παράφρονας. — Στ. 7, Παράδων τὰ τοῦ Διονύσου.] Ἐκ ΔΓ, ΑΤ, Παραδιδόμενος τοῖς Διονύσου. Ἑτέρα ΔΓ, Παραδόντα τοὺς Διονύσου. — Στ. 15, Βόμβυκας.] Ἰσ.γρ. Βέμβικας. — Δακτυλόθικτον.] Ἐξ ΕΔ (συναδύσης τῷ ἀρχαίῳ Λατίνῳ μεταφραστῇ, ἑρμηνεύσαντι, digitis tactilem), ΑΤ, Δακτυλόδεικτον. Ὁ δὲ Ἰταλὸς μεταφραστὴς, φήσας, fatto colle dita, δῆλός ἐστιν ἀναγνούς, ἢ διορθοῦν βουληθείς, Δακτυλότυκτον, ἢ Δακτυλότευκτον. — Στ. 24, Οἱ Φρύγες Θρᾳκῶν ἄποικοί εἰσιν.] Ἴδε ἀνωτέρω (σελ. 10) καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 73). — Στ. 26, Συνάγοντες.] Ἐκ ΔΓ, ΑΤ, Συνάπτοντες.

ΣΕΛΙΔ. 270, στ. 13, Βερεκυντίους.] Ἐκ ΔΓ, ΑΤ, Βρεκυντίους. — Στ. 14, Νάβλας.] Ἀρσενικῶς, ὁ Νάβλας, καὶ θηλυκῶς, ἡ Νάβλα, ὥσπερ ὁ Νάφθας καὶ ἡ Νάφθα, καὶ ἕτερα τῶν ξενικῶν ὀνομάτων. Εὕρηται δὲ καὶ οὐδετέρως παρ' Ἡσυχίῳ τὸ Νάβλον.

ΣΕΛΙΔ. 271, στ. 4, Οὔρειαι... ἐξεγένοντο.] Ἐξ ΕΔ, ΑΤ, Ὄρειαι... ἐγένοντο. Τὰ δὲ ἔπη ἐκ μὴ σωζομένου ποιήματος Ἡσιόδου. — Στ. 7, Γράψας.] Ἐκ ΔΓ, ΑΤ, Στέψας. — Στ. 8, Οἱ δ' οὐ τούς.] Ἐκ ΔΓ, ΑΤ, Ὁ δ' οὐ τούς. — Στ. 10, Πρώτους ἐν.] Ἰσ.γρ. Πρώτους τοὺς ἐν. — Στ. 17, Κορύβαντα.] ΔΓ, Κύρβαντα, ὀρθωτέρα ἴσως, διά γε ἣν ἔκτισε πάλιν τὴν Ἱεράπυτναν, Κύρβαν τὸ πάλαι καλουμένην, κατὰ τὸν Βυζάντιον Στέφανον. Καὶ Καλλίμαχος δὲ (Ὕμν. εἰς Δία, 46) Κύρβαντας καλεῖ τοὺς Κορύβαντας. « Κύρβαντες, Κορύβαντες » φησὶν Ἡσύχιος. Λέγει δὲ ὁ αὐτὸς καὶ, « Κυρβάσια, ἐπίπλεων κροῦσιν »· ἀνθ' οὗ γραπτέον ἴσως, Κυρβασίαν, ἐπὶ ποδῶν κρούσιν. — Στ. 27, Ὁμως.] Ἐξ ΕΔ, ΑΤ, Ὁμοίως.

ΣΕΛΙΔ. 272, στ. 20, Ἐν Λήμνῳ... τοὺς Καβείρους τιμᾶσθαι.] « Κάβειροι, καρκῖνοι· Πάνυ δὲ τιμῶνται οὗτοι ἐν Λήμνῳ, ὡς θεοί· » λέγονται δὲ εἶναι Ἡφαίστου παῖδες » φησὶν Ἡσύχιος, εἴτε τοὺς Καβείρους καὶ Καρκίνους συνωνύμως λέγεσθαι, εἴτε τὸ θαλάσσιον ζῶον, τὸν πᾶσι γνώριμον Καρκῖνον, καὶ Κάβειρον ὀνομάζεσθαι ἐμφαίνων. Οἱ δ' οὖν ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ τοὺς θαλασσίους καρκίνους θηλοῦντες Κάβουροι παρὰ τὸ Κάβειροι μᾶλλον ἐοίκασι πεφθάρθαι, ἢ, ὥσπερ ὑπενόει ὁ Εὐσάθιος (σελ. 1389), παρὰ τὸ Κάμμαροι, ἢ Κάμμοροι (Ῥωμ. Cammarus).

ΣΕΛΙΔ. 273, στ. 6, Δεῦτ' ἄγε.] Ἐκ τῆς Ὀδυσσείας, Ψ', 250 καὶ 383.—Στ. 8, Κορυβαντιᾶν.] Οὗ συνώνυμον τὸ Σαβάζειν, ὅπερ Ἡσύχιος ἐξηγεῖται διὰ τοῦ, εὐάζειν, βακχεύειν. Λέγει δὲ καὶ ὁ Φώτιος, « Παραισαβάζειν, παραμαίνεσθαι, ἀπὸ τοῦ Σαβοῦ· τοὺς γὰρ » παρὰ τῷ Σαβαζίῳ βακχεύοντας, καλοῦσι Σαβούς, καὶ τὸ βακχεύειν, » σαβάζειν. » Κἀντεῦθεν, ὥσπερ ἐσημειωσάμην μικρὸν ἀνωτέρω (σελ. 222), ὁ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Ζαβός.—Στ. 12, Ἐσχατιαὶ (πᾶσαι τῆς Μητρὸς τῶν θεῶν ἴσραι) ΠΕΡΙ τὴν Ἴδην δάκτυλοι. Σοφοκλῆς.] Ἐκ ΔΓ, ΑΤ, Ἐσχατιαὶ καὶ πᾶσαι τῆς Μητρὸς τῶν θεῶν ἴσραι περὶ τὴν Ἴδην. Σοφοκλῆς. Ἴσως δὲ γραπτέον, ΑΙ ΠΕΡΙ, πρὸς μείζω σαφήνειαν, ἧς χάριν καὶ τῷ τῆς παρενθέσεως σημείῳ διέιρηκα τὰ πρὸ τῆς προθέσεως.—Στ. 21, Πρώτων.] ΗΔ, ΑΤ, Πρῶτον.

ΣΕΛΙΔ. 274, στ. 2, Τεκνῶσαι, καὶ τούτους Ἰδαίους.] ΗΔ, ΑΤ, Τεκνῶσαι τοὺς Ἰδαίους.—Στ. 6, Ἃς εἶχον ἐννοίας φυσικὰς περὶ τῶν πραγμάτων.] Τοὺς Στωϊκοὺς λέγει ὁ Στωϊκὸς Στράβων, οἳ τὸ τῆς πολυθείας αἶσχος παραιτούμενοι, ἢ γοῦν ἐπικρύψαι σπεύδοντες, τοὺς ὑπὸ τῶν πολλῶν πιστευομένους θεοὺς, ἀλληγορικῶς ἐξηγοῦντο, Ἥραν μὲν λέγοντες τὸν ἀέρα, Ποσειδῶνα δὲ τὴν τῶν ὑδάτων φύσιν, καὶ τοὺς ἄλλους ἀνάλογον.

ΣΕΛΙΔ. 275, στ. 1, Περὶ τῆς Κρήτης.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Περὶ καὶ τῆς Κρήτης.—Καὶ γὰρ αὐτὴ πρὸ τῆς.] Ἐξ ΕΔ, ΑΤ, Καὶ γὰρ αὐτῆς τῆς. Ἡ συνάρτησις, Καὶ αὐτὴ (ἴσ.γρ. αὕτη) γὰρ πρὸ τῆς Πελοποννήσου ἐστί.—Στ. 2, Εἴ τις περὶ τὴν Κρήτην.] Ἐκ ΔΓ, ΑΤ, Εἴτις τῶν πρὸς ἑω νῆσον τῶν περὶ Κρήτην.—Στ. 9, Ἑσπέρας.] Ἐκ ΔΓ, ΑΤ, Ἑσπερίας.—Στ. 12, Φαλάσαρνα.] Ἐξ ΕΔ (γραπτέον μέντοι Φαλάσαρναν διὰ τὴν ἑξῆς, σελ. 282, γενικὴν Φαλασάρνης), ΑΤ, Φάλαρνα. Εἶναι δὲ φησιν ὁ

Ὀρτέλιος τὴν νῦν Κονταρίνι καλουμένην· καὶ ἔοικεν οὕτω κληθῆναι (Contarini) ἀπό τινος Ἐνετοῦ εὐπατρίδου (ἡνίκα τὴν Κρήτην κατεῖχον οἱ Ἐνετοί). Ὁ Δαμβίλλης δὲ Σφηνάριον (Sfinari) αὐτὴν ὀνομάζεσθαι βούλεται.—Στ. 14, Κριοῦ μέτωπον.] Τανῦν, Κριός.—Στ. 15, Κίμαρος.] Ἰσ.γρ. Κώρυκος (ὁ ἰδιωτικῶς νῦν καλούμενος Κόρνικο), καθὰ φέρεται παρὰ τῷ Γεμίζῳ (Ἰδ. τὰς Γαλλικ. σημειώσ.). Τοῦ μὲν γὰρ Κωρύκου ἀκρωτηρίου Στράβων καὶ ἀνωτέρω (σελ. 110) ἐμνημόνευσε, καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 304) μνημονεύσει· τὸν δὲ Κίμαρον, πλὴν Στράβωνος, οὐδεὶς ἱστόρηκεν. Ὁ δὲ Σοφιανὸς (παρὰ τῷ Ὀρτελ.) ταὐτὸν οἴεται τὸν Κίμαρον εἶναι καὶ τὸ παρὰ τῷ Πτολεμαίῳ Κύαμον ἄκρον, καὶ καλεῖσθαι νῦν φησὶ Σπάθην (Capo di Spada).—Σαμώνιον.] Γραπτίου Σαλμώνιον, ὡς φέρεται κατωτέρω τε (σελ. 297) καὶ ἐν τοῖς πρότσθεν (Μέρ. Α, σελ. 156). Ἐν δὲ ταῖς Πράξεσι τῶν Ἀποστόλων (κζ', 7) Σαλμώνη, ἠλωκῶς, γράφεται· νῦν δὲ ἰδιωτικῶς καλεῖται Σαλαμῶνι.—Στ. 20, Πλείων.] ΗΔ, ΑΤ, Πλέον. Τὸ ἐμὸν ἀντίγραφον, Πλεῖον.—Στ. 23, Ὅσων.] ΗΔ, ΑΤ, Ὅσον.—Κατὰ δὲ τό.] Ἔσχε πρὸ τούτων, καθὰ καὶ ἑτέροις σκεπτέον εἶναι ἔδοξε· προσέθηκα δὲ καὶ τὸν Δὲ σύνδεσμον, ἐκείνων τὸν Τε προελομένων.—Στ. 24, Μήκους.] Λείπειν τι ἐνθάδε, καὶ ἕτεροι πρὸ ἡμῶν συνεωράκασι.—Στ. 26, Ἀμφίμαλλαν.] Τὴν νῦν Σούδαν.—Φοίνικα τῶν Λαμπίων.] Οὕτω διορθῶν ἔγραψεν ὁ Γερμανὸς ἐκδότης, ΑΤ (ἐν ταῖς προτέραις ἐκδόσεσι) ΦΟΙΝΙΚΑ ΤΟΝ ΛΑΜΠΕΩ· ἀπὸ τῆς πόλεως Λάμπης, τῆς καὶ διὰ δύο π' Λάππης καλουμένης, κατὰ τὸν Βυζάντιον Στέφανον. Ἀλλὰ ταύτην ὁ Πτολεμαῖος ἐν ταῖς μεσογείοις τάττει τῆς Κρήτης πόλεσιν· πρὸς δὲ καὶ ὁ πολίτης αὐτῆς οὐ Λαμπεύς, ἀλλὰ Λαμπαῖος καλεῖται. Ὁ δὲ Φοῖνιξ ἐπιθαλάττιος, καὶ λιμένα εἶχε Φοινικοῦντα λεγόμενον, κατὰ τὸν Πτολεμαῖον. Ἴσως ἔγραψεν ὁ Στράβων, ΦΟΙΝΙΚΟΥΝΤΑ ΛΙΜΕΝΑ, ἢ ΦΟΙΝΙΚΑ ΚΑΙ ΦΟΙΝΙΚΟΥΝΤΑ ΛΙΜΕΝΑ· ὥσπερ γὰρ τὴν Ἀμφίμαλλαν (ἣν ὁ Πτολεμαῖος Ἀμφιμαλὴ κόλπον ὀνομάζει) ἐν τῷ βορείῳ τοῦ ἰσθμοῦ μέρει ἔταξεν, ὡσαύτως ἐν τῷ νοτίῳ οὐ μεσόγειον, ἀλλ' ἐπιθαλάττιον τόπον εἰκὸς αὐτὸν τεταχέναι· οὗ μνημονεύει καὶ ὁ τὰς τῶν Ἀποστόλων πράξεις (κζ', 12) συγγράψας, λέγων, « Εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης, » βλέποντα κατὰ Λίβα καὶ Χῶρον. » Τὸν Φοίνικα φασί τινες τῶν νεωτέρων Γεωγράφων Pénice (ἡμαρτημένον ἴσως ἀντὶ τοῦ Phénice, ὃ

ἐστι

ἐςὶ Φοίνικα) λέγεσθαι σήμερον· ἕτεροι δὲ Νικέτα (Niqueta), καὶ τοῦτο πιθανῶς παρὰ τὸ Φοινικέτα.

ΣΕΛΙΔ. 276, στ. 1, Εἰς ςενώτερον τοῦ προτέρου.] ΗΔ, ΑΤ, Εἰς τὸν ἀντίον τοῦ προτέρου· ὅπερ ἐςὶ τοῦ Γερμανοῦ ἐκδότου διόρθωσις, ἀνθυποβληθεῖσα τῇ τῶν προτέρων ἐκδόσεων γραφῇ, Εἰς τὸ νότιον τοῦ προτέρου. Ὁ δὲ ςενώτερος οὗτος ἰσθμὸς κατὰ τὴν νῦν Σετίαν ἢ Σιτίαν (Setia) ἐςὶ, τὴν σημειουμένην ἐν τῷ πίνακι τοῦ Δαμβίλλου.—Στ. 3, ΤΟΝ ἀπὸ Μινώας.] ΗΔ, ΑΤ, ΤΩΝ. Τὴν δὲ Μινώαν εἶναί φασι τὴν νῦν καλουμένην Castel Mirabello, ἕτεροι δὲ (παρὰ τῷ Ὀρτελ.) τὸ Παλαιόκαςρον, καὶ ἄλλοι τὴν Ἀλτεμούραν. —Ἱεράπυτναν.] Οὕτως ἅπαντες· εἰσὶ δ' οἱ καὶ διὰ τοῦ δ, Ἱεράπυδναν, πλὴν τοῦ Πτολεμαίου, ὃς αὐτὴν Ἱερὰν πέτραν καλεῖ, καθὰ καὶ νῦν ἔτι καλεῖται (Gierapetra).—Στ. 5, Σαμώνιον.] Ὀρθοτέρως ὧδε τινὰ τῶν ἀντιγράφων φέρουσι, Σαλμώνιον.—Στ. 8, Λευκά.] Τὰ νῦν Σφακία.—Στ. 9, Κατὰ τὸ ὕψος.] Ἐκ ΔΓ, προσειλῆφα τὸ ἄρθρον.—Στ. 12, Τὸ Ἰδαῖον ὄρος, ὑψηλότατον.] Τὴν Ἴδην ἁπλουςέρως λεγομένην, ἣν ὁ μὲν τῶν Χρηςομαθειῶν συγγραφεὺς (Στράβ. Μέρ. Γ, σελ. 399) Χρυσόμαλλον ἐφ' ἑαυτοῦ κεκλῆσθαί φησιν, ὁ δὲ Βελλώνιος (παρὰ τῷ Ὀρτελ.) Ψιλορίτι (Psiloriti), ὅπερ ἔοικε πεπλοφθάρθαι ἀπὸ τοῦ, Ὑψηλὸν ὄρος.—Στ. 17, Κιμάρου ΕΠΙ ΜΑΛΕΑΝ.] Τὰς τελευταίας λέξεις δύο προσέθηκεν ὁ Γερμανὸς ἐκδότης ἐξ ΕΔ. Εἰ μέντοι ἀντὶ τῆς προτέρας γράφοις Ταινάρου, καθὰ φέρουσιν ἔνια τῶν ἀντιγράφων, τηνικαῦτα οὐδεμία χρεία προσθήκης. Ἰδ. τὰς Γαλλικ. σημειώσ.—Στ. 18, Κύθηρα.] Ἡ νῦν καλουμένη Τσερίγο, ἢ Κερίγο (Cerigo) νῆσος.—Στ. 23, Χιλίων.] Ἐξ ΕΔ προσέθηκα τὴν λέξιν. Ἰδ. τὰς Γαλλικ. σημειώσ.

ΣΕΛΙΔ. 277, στ. 1, Ἄλλη κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας, τ', 175. —Στ. 6, Κατέχειν, τὸ δὲ νότιον.] Γράφε, Κατέχειν, ΤΟ ΔΕ ΔΥΣΜΙΚΟΝ ΚΥΔΩΝΑΣ, τὸ δὲ νότιον, προσιθεὶς τὰς ἐξερρυηκυίας τῶν τύπων ἐν μέσῳ λέξεις.—Στ. 12, Ἰςιαιώτιδος.] Ἐκ ΔΓ, ΑΤ, Ἐςιαιώτιδος.—Στ. 14, Βοῖον.] Ἐκ ΔΓ, ΑΤ, Βόϊον.—Στ. 16, Τετράπολιν.] Περὶ ἧς ἐν τοῖς πρόσθεν (σελ. 204) εἴρηκεν.—Στ. 17, Θετταλῶν.] Γράφε δυσὶ λέξεσιν, Ἄποικον Θετταλῶν, ὡς φέρεται παρ' ἅπασι.—Στ. 21, Κνωσσός.] Ἡ νῦν Κνωσσοῦ· ἕτεροι δ' ἄλλως ὀνομάζουσιν αὐτήν.—Γόρτυνα.] Σώζει τοὔνομα μικρὸν παρεφθαρμένον, Γουρτίνια, κατὰ τὸν Σοφιανόν· ὁ δὲ Βελλώνιος Μεταρίαν αὐτὴν καλεῖ.—Κυδωνία.] Τὰ νῦν πληθυντικῶς καὶ ὀυθετέρως λε-

γόμενα Χανιά, ἢ γοῦν τινὰ τῶν πλησιοχώρων αὐτοῖς τόπων.

ΣΕΛΙΔ. 278, στ. 3, Τῆς μὲν Γορτύνης... διέχουσα.] Ἐξ ΕΔ προσέθηκα τὰς τέσσαρας ταύτας λέξεις.—Δύκτου, ἣν ὁ Ποιητὴς Λύττον.] Ἴσως γρ. ὥς τινες ἐνόμισαν, Λύττου, ἣν ὁ Ποιητὴς Λύκτον (Ἰδ. τὰς τοῦ Γερμαν. ἐκδότ. σημειώσ.). Ὁμήρου γάρ ἐστιν ἡ διὰ τοῦ κτ γραφή· ἡ δὲ διὰ δύο τ μετὰ τὸν Ὅμηρον ἐπικρατῆσαι δοκεῖ, καθὰ μαρτυρεῖ καὶ τὰ νομίσματα, φέροντα ΛΥΤΤΙΩΝ. Πιθανὸν δὲ ὅτι καὶ, Λύσσον ἦσαν τινὲς οἱ καλοῦντες τὴν πόλιν, διὰ τὴν συνήθη τῶν στοιχείων εἰς ἄλληλα τροπήν, εἴ γε τὸ νῦν ὄνομα αὐτῆς ἐρρωμένως γράφεται Δασσέτε (Lassiti), ὡς φησιν ὁ Δαμβλλης.—Στ. 8, Ἀμνισῷ.] Ἄνιεμον φασί τινες καλεῖσθαι νῦν (Ἰδ. τὰς Γαλλ. σημειώσ.). Ὁ δὲ Νίγρος (παρ' Ὀρτελ.) Πικόρναν αὐτὸν καλεῖ.—Στ. 9, Καίρατος... ὁμώνυμος τῷ παραῤῥέοντι ποταμῷ. Μνημονεύει καὶ Καλλίμαχος (Ὕμν. Ἄρτ. 44) τοῦ Καιράτου ποταμοῦ· ἴσως ἐστὶν ὁ κατά τινας Καρτέρο καλούμενος (Ἰδ. τὰς Γαλλ. σημ.)—Στ. 12, Τὴν μὲν Φαιστὸν ἐπὶ θαλάττης... ἐν τῷ καταντικρὺ κ. τ. λ.] Ὅτι μέν ἔλειπέ τινα ἐν ταῖς προτέραις ἐκδόσεσι καὶ τοῖς ἀντιγράφοις, συνῆκαν καὶ οἱ πρὸ ἡμῶν ἐξηγησάμενοι τὸν Στράβωνα· εἰ δέ γε ὀρθῶς ταῦτα ἀνεπλήρωσα, κριτεῖς παρατεθεὶς τοῖς εἰρημένοις τῷ Σικελιώτῃ Διοδώρῳ (ε, 78, τόμ. Α, σελ. 294), ᾧ ἐχρησάμην ἐπικούρῳ εἰς τὴν ἀπάρτισιν τοῦ χωρίου.—Στ. 15, Δῦτη.] ΗΔ, ΑΤ, Αὐτή.—Στ. 17, Τῷ ἀδελφῷ.] ΗΔ, ΑΤ, Τοῦ ἀδελφοῦ.—στ. 25, Ἐνθάδε.] Ἐκ τῆς Ὀδυσσείας, τ, 178, ὅπου γράφεται, Ἔνθα τε.

ΣΕΛΙΔ. 279, στ. 3, Χαλεπὸν εἰπεῖν.] Ἐκ ΔΓ, ΑΤ, Χαλεπόν ἐσιν εἰπεῖν.—Στ. 8, Πρῶτον.] Ἐκ τῆς Ἰλιάδος, ν, 450.—Στ. 11, Ἐν δὲ τοῖς πρώτοις.] Ἄμεινον ἂν γράφοις, Ἐν δὲ τοῖς πρώτοις, ἵνα σημαίνῃ, Ἐν δὲ τούτοις πρώτοις.—Στ. 12, Δηλοῖ καὶ ἐν τῇ Πολιτείᾳ, καὶ Ἔφορος ἐν τῇ Εὐρώπῃ ἀναγέγραφεν.] ΗΔ, ΑΤ, Δηλοῖ, καὶ Ἔφορος ἐν τῇ Εὐρώπης πολιτείᾳ ἀναγέγραφεν. ΔΓ, Δηλοῖ, καὶ Ἔφορος ἐν τῇ Εὐρώπῃ τῇ πολιτείᾳ ἀναγέγραφεν: Δηλοῖ, καὶ Ἔφορος ἐν τῇ πολιτείᾳ ἀναγέγραφεν. Ἴσ.γρ. Δηλοῖ, καὶ Ἔφορος ἐν τῇ Εὐρώπῃ ἀναγέγραφεν, ἢ Δηλοῖ, καὶ Ἔφορος ἐν τῇ τῆς Κρήτης πολιτείᾳ ἀναγέγραφεν. Τῆς τοῦ Ἐφόρου Εὐρώπης (τουτέστι τῆς περιοδείας, ἢ ἱστορίας τῆς Εὐρώπης) καὶ ἀλλαχοῦ μέμνηται· μνημονεύσει δ' ἐν τοῖς ἑξῆς (σελ. 284) καὶ Πολιτείας Κρήτης, τοῦ αὐτοῦ Ἐφόρου.—

Στ. 22, Τῶν συμβολαίων τῶν ὑπαρξάντων.] Ἐκ ΔΓ, ΔΤ, Συμβολαίων καὶ τῶν ὑπαρξάντων.

ΣΕΔΙΔ. 280, στ. 1, Ἰοῦσιν, οὕπω τήν.] Ἰσ.γρ. Συνιοῦσιν, οὕπω μὲν τήν.—Στ. 4, Κατὰ τύχην.] Ἐκ ΔΓ, ΔΤ, Κατὰ τὴν τύχην.—Στ. 8, Καὶ παιδία.] Ἐκ ΔΓ, ΔΤ, Καὶ τὰ παιδία.—Στ. 25, Καταςῆναι.] Ἐξ ΕΔ, ΔΤ, Καταςήσεται· ὃ προείλετο ὁ Γερμανὸς ἐκδότης ἐκ ΔΓ, ἀντὶ τοῦ ἐν ταῖς προτέραις ἐκδόσεσι, Καταςῆσαι.

ΣΕΔΙΔ. 281, στ. 3, Διίςησαν.] Ἰσ.γρ. Διίςασαν (παρατατικῶς)· ὁ γοῦν Εὐςάθιος (σελ. 312), τοῦτο παρεχόμενος μαρτύριον τὸ χωρίον, Διίςων γράφει, καθ' ἕτερον παρατατικοῦ τύπον.—Στ. 5, Ἐν πεδίῳ.] Εἶναί φασι τὸ πεδίον τοῦτο, τὴν νῦν καλουμένην Μεσαρίαν ἢ Μεσαρίαν.—Στ. 8, Γόρτυνά τε.] Ἐκ τῆς Ἰλιάδος, β', 646.—Στ. 11, Προῆλθε.] ΗΔ, ΔΤ, Παρῆλθε.—Στ. 15, Μίταλλον.] Ματάλα νῦν καλούμενον κατὰ συγκοπὴν τοῦ Ματαλίαν, ὅπερ ὁ Πτολεμαῖος αὐτὸ ὀνομάζει.—Στ. 16, Ληθαῖος.] Οἱ μὲν τὸν νῦν Ξεροπόταμον, Seropotamos (γρ. Xeropotamos), οἱ δὲ τὸν Μετροπολιάναν καλούμενον εἶναι λέγουσι.—Στ. 17, Λεβῆνος.] Ἰσοσυλλάβως παρὰ τῷ Πτολεμαίῳ, Λεβήνα (ἡ). Φασὶ δέ τινες εἶναι τὴν νῦν καλουμένην Λεόνδαν.—Εὐξύνθετος.] Οὐκ ἀπήλλακται ὑποψίας τοὔνομα. Ἐκ τῶν ΔΓ, Εὐξύνθεος : Εὐξύνθιος : Εὐξιώνθεος, ἔςιν εἰκάσαι, μήποτε ἦν, Εὐξίνθεος.—Στ. 18, Εἶναι δὲ τῶν ἄθλων.] ΗΔ, ΔΤ (διὰ μιᾶς λέξεως), Ἄθλων. ΔΓ, Εἶναι ἄθλων.—Στ. 20, Ἕνα φησὶ τοῦτον.] Ἐκ ΔΓ, ΔΤ, Ἕνα φησὶν εἶναι τοῦτον.—Ἀναγαγεῖν.] ΔΓ, Ἀναγαγόντα. Καὶ αὕτη μὲν προδήλως νόθος· ἴσως γε μὴν ἀντὶ τῆς προτέρας γραπτέον, Ἀγαγεῖν.—Στ. 24, Δίκτη.] Λάςι (Lasti) νῦν καλεῖσθαι τὴν Δίκτην τὸ ὄρος φησὶν ὁ Βελώνιος· ὁ δὲ Σοφιανὸς Λαβύρινθον, διὰ τὸ ἐκεῖ ἴσως εἶναι, ἢ νενομίσθαι τὸν περιβόητον Λαβύρινθον. Κατὰ γὰρ τὸν Βελώνιον, ἔςι καὶ ψευδολαβύρινθος ἐν ταῖς ὑπωρείαις τῆς Ἴδης δεικνύμενος νῦν, ὃν οἴεται λατομιῶν χρείαν τὸ πάλαι παρέχεσθαι.—Στ. 25, Σχεδὸν ὄρεος ἰδαίου.] ΔΓ, Ὄρεος σχεδὸν Ἰδαίου· ἢ μᾶλλον συνάδει τῷ Ἀρατείῳ (Φαινομ. 33) εἴχῳ,

Δίκτῳ ἐν Εὐώδει, ὄρεος σχεδὸν ἰδαίοιο·

ὅπου τὸ Δίκτον, οὐκ ὄρος, ἀλλὰ τὸ ἐν τῷ ὄρει φυόμενον Δίκταμον ἐξιδίξαντό τινες. Τῶν δὲ νεωτέρων κριτικῶν, οἱ μὲν Δίκτῳ (ἐν ᾧ

κοπάζονται τὰ βρέφη), γραπτέον εἶναί φασιν· οἱ δὲ, Λύκτῳ, ἵν' ᾖ ἡ πόλις Λύκτος, καὶ μὴ τὸ ὄρος ἡ Δίκτη, καθάπερ ὑπέλαβε Στράβων.

ΣΕΛΙΔ. 282, στ. 2, Χερρονήσου.] Ταύτην οἴεται ὁ Δαμβέλλης εἶναι τὴν νῦν καλουμένην Spina longa (ὃ ἐστι Μακράκανθαν), καὶ οὐχ ὡς ἕτεροι, τὸν λιμένα Τηγάνι (Porto tigani).—φΣτ. 3, Σταδίους.] Ἐκ ΔΓ, ΑΤ, Σταδίοις.—Στ. 14, Γορτύνης.] Ἐκ ΔΓ, ΑΤ, Γόρτυνος.—Στ. 16, Κίσαμος.] Καθὰ καὶ μέχρι νῦν ὀνομάζεται.—Στ. 19, Συνῴκησαν.] Ἱσ.γρ. Συνῴκισαν.—Στ. 23, Μετάλλου.] Ἐνθάδε τινὰ τῶν ἀντιγράφων, Μιτάλου, ὀρθώτερον ἴσως, διὰ τὰ σημειωθέντα μοι ἀνωτέρω (σελ. 227).—Στ. 26, Φαιζόν.] Ἐκ τῆς Ἰλιάδος, β', 648.

ΣΕΛΙΔ. 283, στ. 2, Ὁ Λισσήν.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, πλὴν τοῦ τόνου (φέρει γὰρ, Ὁ Λίσσην), ΑΤ, Ὀλύσσην. Ἔσχε δ' ἀφορμὴν τοὔνομα, ἐκ τοῦ παρ' Ὁμήρῳ (Ὀδυσσ. γ', 293),

> Ἔξι δέ τις ΑΙΣΣΗ αἰπεῖά τε εἰς ἅλα πέτρη,
> Ἐσχατιῇ Γόρτυνος·

περὶ οὗ φησὶν Εὐσάθιος (σελ. 1468), ὅτι Βλισσὴ σὺν τῷ ϛ καὶ κυριωνυμικῶς ἐκαλεῖτο παρὰ Κρησί· Κράτης δὲ καὶ τὸ ν προσετίθει, Βλισσήν, κατὰ τὸ Σωλήν, Σωλῆνος.—Στ. 5, Συγκαταλεχθεῖσαι.] Ὑφ' Ὁμήρου (Ἰλιάδ. β', 647).—Στ. 10, Τῶν Ἀλθαιμένει.] Ἐκ ΔΓ, ΑΤ, Τῶν τῷ Ἀλθαιμένει.—Στ. 11, Τὸν μὲν οὖν.] Ἱσ.γρ. Τὸν γοῦν.—Στ. 23, Πάντας.] Ἐκ τῆς Ὀδυσσείας, γ', 191. Λέγει δὲ ταῦτα ὁ Νέσωρ.—Στ. 27, Συμμείνας.] ΗΔ (ἴσως οὐκ ἀναγκαίᾳ), ΑΤ, Συμμείξας.

ΣΕΛΙΔ. 284, στ. 5, Αὐτόν.] ΗΔ, ΑΤ, Αὐτῶν.—Στ. 13, Λιρομένης.] Ἐκ ΔΓ, ΑΤ, Αἰρουμένης.

ΣΕΛΙΔ. 285, στ. 8, Τῶν πολλῶν.] ΗΔ, ΑΤ, Τῶν πολεμικῶν.—Μεῖναι.] Ἐξ ΕΔ, ΑΤ, Εἶναι.—Στ. 16, Δεῖν.] ΗΔ (προσυπακουομένου τοῦ, Φησὶν Ἔφορος) ΑΤ, Δεῖ.—Στ. 19, Ἀποβεβλῆκέναι τὸ ναυτικόν.] Εἰ ἐγέγραπτο, Ἀποβεβηκέναι τοὐναντίον, οὐδ' ἂν αὐτὸς ὁ μάντις Ἀπόλλων ἠμφισβήτησε περὶ τῆς γραφῆς.

ΣΕΛΙΔ. 286, στ. 8, Ἀρχῶν.] Ἐξ ΕΔ, ΑΤ, Ἀρχαίων.—Στ. 12, Τεκμαίρονται.] Ἐκ ΔΓ, ΑΤ, Τεκμαίρεται.—Στ. 15, Ἀνδρεῖα.] ΗΔ, ΑΤ, Ἀνδρείαν.—Στ. 17, Καλούμενα.] Ἐκ ΔΓ, ΑΤ, Καλουμένην.—Στ. 19, Θοίνιος.] Ἐκ ΔΓ (συναδούσης τῇ τοῦ Κασω-

βῶνος διορθώσει), ΑΤ, Φοίναις. Ἐνδέχεται μέντοι καὶ Αἰολικῶς εἰρῆσθαι τὸ Φοίναις, καθὰ λέγουσι καὶ Φηρίου τὸ Θηρίον.—Στ. 28, Διαβάλλοιτο.] Ἐκ ΔΓ, ΑΤ, Διαβάλοιτο.

ΣΕΛΙΔ. 287, στ. 6, Ὡς παρὰ Διὸς, τοὺς νόμους ἐκφέροι εἰς ἀνθρώπους.] Ἐκ ΔΓ, ΑΤ, Ὡς παρὰ τοῦ Διὸς τοὺς νόμους ἐκφέρει εἰς τοὺς ἀνθρώπους.—Στ. 11, Διαθεῖναι.] Ἰσ.γρ. Θεῖναι.—Στ. 16, Ἅμα πάντες.] ΔΓ (πιθανωτέρα), Ἅπαντες. Ἑτέρα ΔΓ, Ἅπαντα πάντες (ἴσ.γρ. Ἁπαξάπαντες).—Στ. 20, Φιρνὴ... μερίδος.] Τοῖς Λακεδαιμονίοις ἀνέθηκε τοῦτο ἁμαρτήσας ὁ Μοντεσκιεῦος (*Esprit des lois*, liv. V, ch. 5)· ὅπερ ἐσημειώσατο καὶ ὁ Βολταῖρος (*Dictionnair. Philosophiq. au mot* Loi).—Στ. 21, Τοὺς παῖδας.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 288, στ. 3, Ἑκάσης δ' Ἀγέλης.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Ἑκάσης δὲ τῆς ἀγέλης.—Στ. 5, Δημοσίᾳ.] Τυπογραφικῶς ἡμαρτῆσθαι ἔοικε τὸ τοῦ Γερμανοῦ ἐκδότου, Δημοσίῳ.—Στ. 8, Δὲ τάς.] Ἐκ ΔΓ, ΑΤ, Δὲ καὶ τάς.—Στ. 9, Ἀσιδήρων.] Ἐξ ΕΔ, ΑΤ, Σιδηρῶν.—Στ. 20, Ἐπιδιώξεως.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιδείξεως.

ΣΕΛΙΔ. 289, στ. 5, Ἐπιτρέψαντος, ἵν', εἴ τις.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Ἐπιτρέψαντος ἄν, εἴ τις.—Στ. 6, Προσινήνεκται.] Ἐκ ΔΓ, ΑΤ, Προσήνεκται.—Παρὴ τιμωρεῖν.] Ἐξ ΕΔ, ΑΤ, Παρατιμωρεῖν.—Στ. 8, Αἰσχρόν.] Ἐξ ΕΔ προσέθηκα τὴν λίξιν.—Στ. 10, Τοῖς θρόνοις.] Ταῖς θοίναις γραπτέον εἶναι ἐσημειώσατο ὁ Δουθείλης, οὐκ οἶδ' ὅθεν λαβών.—Στ. 12, Τῶν ἄλλων ἐφίεται.] Ἐκ ΔΓ, ΑΤ, Ἐφίεται τῶν ἄλλων.

ΣΕΛΙΔ. 290, στ. 5, Θήρη.] ΗΔ, ΑΤ, Θήρα. Ὡσαύτως γὰρ ἰσχημάτισε τοὔνομα καὶ ἐν τῷ πρώτῳ βιβλίῳ (Μέρ. Α, σελ. 59). Καὶ ἡ μὲν Θήρα, Σαντορίνη νῦν καλεῖται· ἡ δ' Ἀνάφη, Νάμφιο, κατὰ τὸν Σοφιανόν· ὃς τῆς Σαντορίνης τοὔνομα, οὐ τῇ Θήρᾳ, ἀλλὰ τῇ Θηρασίᾳ προσνέμει.—Στ. 8, Μακρά.] Ἰσ.γρ. Μικρά.—Στ. 9, Δίαν.] Τὴν πρὸς τῇ Κρήτῃ, ἣν Στανδίαν καλοῦσι νῦν, βαρβάρῳ συναιρέσει τριῶν λίξεων, Εἰς τὴν Δίαν, καθὰ καὶ ἀλλαχοῦ περὶ τοιούτων ἄλλων ἐσημειωσάμην.—Στ. 11, Θηρασίᾳ.] Ἀσπρονήσι νῦν, κατὰ τὸν Μελέτιον.—Στ. 12, Ἴος.] Νίο, βαρβάρως.—Στ. 13, Σίκινος.] Ἐφύλαξε τοὔνομα.—Λαγοῦσσα.] ΗΔ, ΑΤ, Λάγουσα. Ἐγὼ δὲ κατὰ μὲν τὴν προσγραφεῖσαν τῇ Γαλλικῇ μεταφράσει νεωτέραν κλῆσιν, Καρδιόκισσα· κατὰ δὲ τὸν Ἄγγλου τοῦ Στράβωνος

ἐκδότην, Καρδιότισσα· ὁ δὲ Νῖγρος Χρισιάναν αὐτὴν καλεῖ.—Στ. 14, Φολέγανδρος.] Ἡ νῦν Πολίκανδρο.—Στ. 15, Κίμωλες.] Νῦν, Κίμωλο· οἱ δὲ ναυτιλλόμενοι τῶν Γάλλων Ἀργεντιέραν (Argentière), ὡς ἂν εἴποις Ἀργυρίαν, ἢ διὰ τὸ ἀργύρου μέταλλα γεγονέναι ποτὲ ἐν τῇ νήσῳ, ἢ διὰ τὸ ἀργιλλώδες καὶ λευκόγειων αὐτῆς. —Στ. 16, Σίφνος.] Καὶ τοῦτο, καὶ Σίφανο, νῦν, κατὰ τὸν Μελίτιον.—Στ. 21, Στρατιάν.] Ἐξ ΕΔ, ΑΤ, Στρατείαν.

ΣΕΛΙΔ. 291, στ. 1, Δῆλος.] Νῦν Δῆλι, καὶ βαρβαροτέρως, Σδῆλι, ἢ Σδῆλε, ἐκ δύο λέξεων εἰς μίαν συγκραθεισῶν, τῶν Εἰς Δῆλον.—Στ. 12-19, Ἀλλὰ Κοίου γένος... ἐπόψατο γίνναν.] Οὕτω διώρθου ὁ Πόρσων τὸ ἐντεῦθεν μέχρι τέλους τῆς Πινδαρείου ῥήσεως· Ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θοαῖς ἀγχιτόκοις ἐπέβανεν, δὴ τότε τέσσαρες ὀρθαὶ πρέμνων ἀπώρουσαν χθονίων, ἀν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι κίονες, ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γέννναν. Ἔπιθι τὰς εἰς τὴν Εὐριπίδου Ἑκάβην σημειώσεις τοῦ Πόρσωνος (ἐκδ. Σχεφήρ. σελ. 63). Ὁ νοῦς τῆς ὅλης ῥήσεως, Ἐφέρετο πρότερον ἡ Δῆλος ὑπὸ κυμάτων καὶ παντοδαπῶν ἀνέμων· ἀλλ' ὅτε ἡ τοῦ Κοίου θυγάτηρ Λητὼ, ταῖς ἐγγὺς τοῦ τεκεῖν ἀξείαις ὠδῖσιν ἐπειγομένη, ἐπέβη τῆς νήσου, τότε δὴ τέσσαρες ὀρθοὶ καὶ γερέμνιοι κίονες ἀνεφύησαν ἐξ ὑπερχθονίων ῥιζῶν, καὶ ἀνέσχον τοῖς αὐτῶν ἐπακρώνοις τὴν πέτραν (τουτέστι τὴν πρότερον φερομένην νῆσον), ἔνθα τεκοῦσα ἡ Λητὼ, ἔτεκε γόνον εὐδαίμονα τὸν Ἀπόλλωνα.

ΣΕΛΙΔ. 292, στ. 2, Κέω.] Τὴν ὑπὸ τοῦ Πτολεμαίου Κίαν προσηγορευμένην, νῦν Τσίαν.—Στ. 3, Κύθνον.] Θερμία, νῦν κατὰ τὸν Δαμβίλλην.—Στ. 4, Ὠλίαρον.] Τὴν νῦν Ἀντίπαρον βούλονταί τινες εἶναι.—Στ. 6, Γύαρον.] Πληθυντικῶς καὶ οὐδετέρως νῦν Γυοῦρα. Ἔπιθι τὰ περὶ τῆς Γυάρου εἰρημένα μοι ἐν ταῖς εἰς τὸν Ἰσοκράτην σημειώσεσι, σελ. 276-277.—Στ. 14, Ἐν τοῖς κατὰ λεπτόν.] Τὸ ἀσαφὲς τόδε οὕτως ἐξηγήσαντό τινες, ὥσπερ ἂν εἰ καὶ ἐλέγετο, ἐν τοῖς Λεπτοῖς ποιήμασιν, καθὰ καὶ Καλλιμάχου ἐφέρετο ποίημα, Λεπταὶ ῥήσεις προσαγορευόμενον.—Στ. 16, Σὺ μὲν εἰς γε σιδηρείην Φολέγανδρον.] ΗΔ, ΑΤ, Σὺ μένεις με (ΔΓ, Σὺ μένεις μὲν : Σὺ μὲν ἤμε : Σὺ μέννμε : συμμένεις με : Σὺ μὲν οἶμαι) σιδηρείῃ Φολεγάνδρῳ. Ὁ νοῦς τῆς διορθώσεως, Σὺ μὲν, ὦ θειλὴ Λητοῖ, παρελεύσῃ αὐτίκα εἰς τὴν σιδηρᾶν Φολέγαν-

θρον, ἡ τὴν ὁμοίαν αὐτῇ Γύαρον.—Στ. 27, Καὶ ὁ ἀποξήσας.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 293, στ. 6, Δὲ Ὀρτυγία.] ΗΔ, ΑΤ, Δὲ καὶ Ὀρτυγία. —Στ. 7, Ἥ τε Ἰουλὶς καὶ ἡ Καρθαία.] Τὴν μὲν Καρθαίαν Πόλες (Poles) νῦν καλεῖσθαι φησὶν ὁ κατὰ τοὺς τόπους γενόμενος πολυμαθέστατος Βιλλοισὼν (Villoison)· τὴν Ἰουλίδα δέ, ὁμωνύμως τῇ νήσῳ Τσέαν, ἢ ὡς ἐκεῖνος γράφει, Ζέαν (Zea) λέγεσθαι. Ἰδ. τὰς Γαλλ. σημ.—Στ. 18, Κωνειάζεσθαι.] Κώνειον προσφέρεσθαι τοῦ θανεῖν ἕνεκα. Ἦν δὲ καὶ τὸ ἐν τῇ Κέῳ φυόμενον κώνειον τῶν ἐν ὀνόματι· Θεόφραστος δὲ (Περὶ φυτ. θ', 17) καὶ τὸν τρόπον ἱστόρηκε καθ' ὃν ἐχρῶντο τῷ φαρμάκῳ οἱ κωνειαζόμενοι ἐν Κέῳ· ἐκ τούτου γὰρ τοῦ Στραβωνείου χωρίου διορθοῦν ἔστι τὰ παρὰ τῷ Θεοφράστῳ. Λέγει δέ, « Καὶ Χίους (γρ. Κείους) φασὶ τῷ κωνείῳ πρότερον οὐχ οὕτω· ἀλλὰ » τρίβοντας, καθάπερ οἱ ἄλλοι, χρῆσθαι. Νῦν δὲ οὐδ' ἂν εἷς τρί- » ψειεν, ἀλλὰ περιττήσαντες (γρ. περιπτίσαντες) καὶ ἀφελόντες τὸ » κέλυφος (τοῦτο γὰρ τὸ τὴν δυσχέρειαν παρέχον, δυσκατέργαστον » ὄν), μετὰ ταῦτα κόπτουσιν ἐν τῷ ὅλμῳ· καὶ διεκπτήσαντες (γρ. » διαττήσαντες) λεπτὰ, ἐπιπάττουσιν ΕΦ' ΥΔΩΡ πίνουσιν, ὥστε τα- » χεῖαν καὶ ἱλαρὰν γίνεσθαι τὴν ἀπαλλαγήν ». Ἐάσας νῦν τὸ ἐξετάζειν, εἰ γραπτέον ἐστὶν, ΕΦ' ΥΔΩΡ, ἢ, ὡς ἕτεροι οὐκ ἀπιθάνως διατείνονται, ΕΠ' ΟΙΝΟΝ, ἐπὶ τὸν Διοσκορίδην (δ', 79) τρέψομαι, κἀκεῖνον διορθώσεως δεόμενον· « Ἐνεργέστατον δέ ἐστι τὸ Κρητικὸν » [κώνειον], καὶ τὸ Μεγαρικὸν, καὶ τὸ Ἀττικὸν, καὶ τὸ ἐν τῇ Χίῳ » (γρ. Κέῳ) καὶ Κιλικίᾳ γεννώμενον. » Ὅτι δ' οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ἐξ οὐκ ὀρθῆς γραφῆς συνεχύθησαν ἥ τε Κέως καὶ Χίος, καὶ οἱ Κεῖοι καὶ Χῖοι, δῆλον τοῖς καὶ ὀπωσοῦν πεπειραμένοις τῶν τε ἀντιγράφων καὶ τῶν τύποις ἐκδεδομένων βιβλίων. Ἀπὸ τοιαύτης γραφῆς ὁρμηθείς ποτε κἀγὼ, τὸ περὶ Κείων ἴσως ἱστορούμενον τοῖς Χίοις ἀπένειμα (Ἰδ. *Mémoir. sur l'etat act. de la civilisat. en Grèce*, pag. 57).—Στ. 21, Τοὺς δὲ παύσασθαι πολιορκοῦντας.] Δείσαντας, μὴ κωνειασθῶσι πολλοὶ τῶν Κείων. Μακρῷ τοῦτο διεκόνοχεν οὗπερ ἀνωτέρω (σελ. 290) ἱστόρηκε περὶ τῆς ὑπ' Ἀθηναίων σφαγῆς τῶν Μηλίων. Ἐκεῖνο μὲν γὰρ Σκυθικὸν καὶ θηριῶδες· τὸ δὲ φείσασθαι τῆς ζωῆς τῶν πολιορκουμένων, τῆς θρυλλουμένης Ἀττικῆς φιλανθρωπίας ἀναμφιλέκτου ἐστὶ τεκμήριον.

ΣΕΛΙΔ. 294, στ. 5, Πάριον.] Τὸ νῦν Καμανάρ, κατὰ τὸν Δαμβίλλην· ὁ δὲ Πατρίκιος τῷ παλαιῷ ὀνόματι (Pario) προσαγορεύει

αὐτὸ, ὥσπερ καὶ ὁ Σοφιανός.—Στ. 9, Σύρος δ' ἐςὶ, μὴ μηκύνουσι κ. τ. λ.] Τὸ πολλὰ τοῖς κριτικοῖς παρασχὸν πράγματα χωρίον τόδε, σαφηνίσαι δοκῶ μοι τῇ προσθήκῃ τῆς ἀπαγορεύσεως. Βραχύνεσθαι φησὶν ὁ Στράβων τὴν πρώτην τῆς Σύρου, καθάπερ καὶ τὴν παρὰ τῷ Ποιητῇ Συρίην, οὐχ ἑτέραν οὖσαν ἐκείνης. Ἡ δὲ νῆσος νῦν Σύρα καλεῖται, οὐ νεωςὶ ἀπὸ τῆς δευτέρας ἐπὶ τὴν πρώτην μεταβάντος κλίσιν τοῦ ὀνόματος· Σύρα γὰρ καὶ παρὰ τῷ Σουΐδᾳ (λέξ. Φερεκύδης) καὶ παρὰ Διογένει τῷ Λαερτίῳ (ά, 119).—Στ. 12, Νῆσος.] Ἐκ τῆς Ὀδυσσείας, ὁ, 403.

ΣΕΛΙΔ. 295, στ. 13, Δέβινθος.] Ἡ νῦν Δεβίτα, κατὰ τὸν Μελέτιον.—Καὶ Λερία.] Λείπουσιν αἱ δύο λέξεις ἐν τῷ ἐμῷ ἀντιγράφῳ. Ἔςι δ' ἡ πάλαι τε καὶ νῦν καλουμένη Λέρος· τὸ γὰρ Λερία τοῦ Στράβωνος ὕποπτον, ἄλλως τε καὶ διότι κατωτέρω Λέρον αὐτὴν ὀνομάζει, πρὸς δὲ, καὶ ὅτι κεκολοβῶσθαι τὸ χωρίον ἐνθάδε ἔοικεν. —Στ. 15, Εἰ Προκλῆς Λέριος.] ΗΔ, ΑΤ, ΚΑΙ Προκλῆς Λέριος. ΔΓ, Καὶ γὰρ Προκλῆς Λέριος: Καὶ Προκλῆς δὲ Λέριος. Οὐδεμία τούτων ἐμφαίνει τὸ μετὰ δριμύτητος ἀςεῖον, οἷον ἔχειν ὀφείλουσι τὰ σκωπτικὰ ἐπιγράμματα· ἡ δὲ ἡμετέρα διόρθωσις οὕτως ἂν ἑρμηνευθείη εἰς τὴν καθ' ἡμᾶς φωνὴν,

> Κακοὶ ἄνθρωποι οἱ Λέριοι, ὅλοι των, πλὴν ὁ Προκλῆς·
> Ἐὰν ὅμως, καθὼς λέγουν, ἦναι Λέριος ἀληθής.

Τὸ γὰρ ἀμφισβητεῖν περὶ τῆς ἐν Λέρῳ τοῦ Προκλέους γεννήσεως, ἀφανίζειν ἐςὶ τὴν ἐξαίρεσιν, καὶ κακοὺς ἀποφαίνειν ἁπαξάπαντας τοὺς οἰκοῦντας τὴν νῆσον.—Στ. 17, Κορασσίαι.] Κρουσσίας (Crussiæ) νῦν αὐτὰς καλεῖσθαι φησὶν ὁ Νῖγρος.—Στ. 18, Ἰκαρία.] Ἡ βαρβάρως νῦν Νικαρία.—Στ. 21, Ἐν ᾧ καὶ αὐτὴ καὶ Σάμος.] Ἐκ ΔΓ, ΑΤ, Ἐν' ᾧ καὶ Σάμος αὐτή.

ΣΕΛΙΔ. 296, στ. 4, Ἀςυπάλαια.] Ἀςυπαλία νῦν, κατὰ τὸν Μελέτιον, Σταμπαλία, κατὰ τὸν Σοφιανόν.—Στ. 5, Τῆλος.] Ἐπισκοπία, ἢ Ἐπισκοπὴ, κατὰ τὸν Μελέτιον.—Χαλκία.] Χάλκη νῦν, κατὰ τὸν αὐτόν.—Στ. 13, Ἐπήγετο.] ΗΔ (ἣν συνῆκε καὶ ὁ Γερμανὸς ἐκδότης· καὶ ὁ Ξύλανδρος διὰ τοῦ adduxit ἡρμήνευσε), ΑΤ, Ἐπείγεται.—Στ. 15, Προσπεριοδεύσωμεν.] Γράφε, ὡς φέρουσί τινα τῶν ἀντιγράφων, κατὰ μέλλοντα, Προσπεριοδεύσομεν.

ΣΕΛΙΔ. 297, στ. 1, Νίσυρος.] Νίσουρο καὶ Νίσαρι τανῦν.

—Στ. 3, Λίθου· τοῖς γοῦν.] Ἐκ ΔΓ, ΑΤ, Λίθου εὐπορουσα· τοῖς γοῦν. Παρὰ δὲ τοὺς εἰς χρῆσιν μύλων ἐπιτηδείους τούτους λίθους, εἶχε καὶ τοὺς κισσηρώδεις, οὓς ἐν τοῖς πρόσθεν (σελ. 116) ἐδήλωσα ἐκ τοῦ Θεοφράστου. — Στ. 13, Κάρπαθος.] Σκάρπαθος νῦν μετὰ τοῦ σ, καθὰ καὶ παρὰ τὸ Κύπτω τὸ Σκύπτω, καὶ παρὰ τὸν Κορυδαλὸν ὁ Σκορδαλός.—Στ. 14, Τετράπολις.] Ὁ δὲ Σκύλαξ Τρίπολιν αὐτὴν λέγει. Εἰκὸς μέντοι γραφικῶς ἡμαρτῆσθαι παρ' ἐκείνῳ τὸ Τρίπολις.—Στ. 17, Νεσυρίων.] ΗΔ, ΑΤ, Νεσύρων.—Στ. 18, Χιλίους.] Ἰσ.γρ. Διεσχιλίους. Ἰδ. τὰς Γαλλ. σημ.—Στ. 20, Κάτος.] Σώζει καὶ νῦν τοὔνομα.

ΣΕΛΙΔ. 298, στ. 5, Λέρον.] Ἴσως ἑτέραν τῆς ἀνωτέρω (σελ. 295) Λέρου· δύο γὰρ ὁ Πλίνιος (IV, 12, § 23, καὶ V, 31, § 36), ἔοικέ πως ἰσορρεῖν Λέρους.—Καλύμναν.] Καλόλυμνο νῦν, κατὰ τὸν Μελίτιον.—Στ. 10, Οἱ δ' ἄρα.] Ἐκ τῆς Ἰλιάδος, β', 676.

ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 299, Ἐν τῇ Περιοχῇ τῇσδε τῆς Βίβλου, στίχῳ 5, ἔγραψα ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, Τὰ τῷ Βιβλίῳ, μετὰ διπλοῦ ἄρθρου, ΔΤ, Τῷ βιβλίῳ.—στίχῳ 9, Σοάνας (τοὺς ἑξῆς, σελ. 313, τῷ Στράβωνι μνημονευθησομένους), αὐτὸς διορθώσας, ΑΤ, Χοάνους· ἔτι δὲ καὶ Ναβιανοὺς, (τοὺς ἑξῆς, σελ. 324 ῥηθησομένους), ΑΤ, Ἀβιανούς.

ΣΕΛΙΔ. 300, στ. 1, Ἐσπέρας.] Ἐκ ΔΓ, ΑΤ, Ἐσπερίας.—Στ. 18, Οὖσαι.] Ἰσ.γρ. Ἰοῦσαι.

ΣΕΛΙΔ. 301, στ. 11, Ἐκβάλλουσι ποταμοὶ, ῥέοντες.] Ἐκ ΔΓ, ΑΤ, Ἐκδίδωσι ποταμὸς, ῥέων.—Στ. 13, Τῇ ἀπὸ τῆς... οὔσῃ.] ΗΔ, ΑΤ, Ἡ ἀπὸ τῆς... οὖσα.

ΣΕΛΙΔ. 302, στ. 2, Αὔθις.] ΗΔ, ΑΤ, Εὐθύς. Ἰδ. τὰς Γαλλ. σημ.—Στ. 11, Καὶ ἀεὶ τά.] Ὡς κακῶς ἐνθάδε πλεονάζον, διέξειλα ἀζερίσκοις τὸ ἐπίῤῥημα. Ἰσ.γρ. Καὶ δὴ καὶ τά.—Στ. 16, Ἐκπίπτει.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Ἐμπίπτει.—Στ. 24, Ἀμάξοικοι.] ΗΔ, ΑΤ, Ἁμαξοικοί. Ἴδε τὰ ἀνωτέρω (σελ. 114) σημειωθέντα μοι.

ΣΕΛΙΔ. 303, στ. 1, Σιρακοί.] Σίρακες ἐν τοῖς ἑξῆς (σελ. 324) οὗτοι ὀνομάζονται τῷ Στράβωνι· ἄδηλον δ' ὁποτέραν τῶν γραφῶν ὡς γνησίαν ἀποδέχεσθαι χρή.—Στ. 2, Οἱ δέ.] Ἐκ ΔΓ, ΑΤ, Οἱ δὲ,

καί.—Στ. 4, Τῇ κατὰ τήν.] Ἐξ ΕΔ, ΑΤ, Τὰ κατὰ τήν· φέρεται γὰρ πρὸς τὸ Θαλάττῃ.—Στ. 5, Μακροπώγωνες.] Τοὺς αὐτοὺς οἶμαι, οὓς ἐν τοῖς ἑξῆς (σελ. 388) Μάκρωνας καλεῖ· οἱ αὐτοὶ δ' ἐοίκασιν εἶναι καὶ τοῖς παρ' Ἱπποκράτει Μακροκεφάλοις.—Στ. 18, Τοῦ δ' ὑπέρ.] ΗΔ, ΑΤ, Τὸ δ' ὑπέρ —Στ. 21, Ἄλλως τε.] ΗΔ, ΑΤ, Ἄλλως δέ.—Στ. 28, Φασί.] Ἐκ ΔΓ προσέθηκα τὴν λέξιν.

ΣΕΛΙΔ. 304, στ. 19, Ῥομβίτης.] Κατὰ τὸν Πάλλαν (Pallas, *Second voyag. tom. IV*, pag. 235, ἐκ τῆς Γαλλικ. μεταφρ.), ὁ μὲν μέγας Ῥομβίτης εἴη ἂν ὁ καλούμενος νῦν Jei, ὁ δὲ μικρὸς, ὁ Atschujef.

ΣΕΛΙΔ. 305, στ. 17, Ἔχον.] Οὕτως ἔγραψεν ὁ Γερμανὸς ἐκδότης ἐξ ΕΔ, ΑΤ, Ἔχων. Εἰ δὲ καλῶς ἔχει ἡ διόρθωσις, ὡς διὰ μέσου παριντεθέντα ἐκληπτέον τὰ προηγούμενα, Ἐνταῦθα... ἢ καὶ πλειόνων, ἵνα φέρηται πρὸς τὸ, Ἀχίλλειον, ἡ μετοχή. Ἀρσενικῶς μέντοι καὶ ἀνωτέρω (σελ. 31), Ἔχων, ἔγραψεν ὁ Στράβων, πλὴν εἰ μὴ κἀκεῖ γραπτέον Ἔχον, τῷ διὰ μέσου παρεμπεσούμενον τὸ δοκοῦν ἀσυνάρτητον.—Στ. 19, Σατύρου.] Ἴσως οὔπερ ἀνωτέρω (σελ. 30) ἐμνημόνευσεν, ἢ καὶ ὁμωνύμου τινὸς ἑτέρου τῶν Βοσποριανῶν δυνάστου.

ΣΕΛΙΔ. 306, στ. 2, Ὁ ἐπὶ τοῦ σώματος.] ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου· ἴσως δὲ καὶ τὴν πρόθεσιν εἰς τὴν Ἀπὸ (ἣν ἔνια τῶν ἀντιγράφων φέρει) τρέψαι ὤφειλον.—Στ. 6, Διειργομένῳ.] Ἐκ ΔΓ, ΑΤ, Διειργόμενον. Ἡ δὲ κατὰ δοτικὴν γραφὴ ἀπήτει πάντως καὶ ἣν ἀνωτέρω προσέθηκα ἀντωνυμίαν, ὯΙ.—Στ. 11, Κορκονδαμῖτιν.] Ἐκ ΔΓ (ὧδέ τε κἀν τοῖς ἑξῆς), ΑΤ, Κορκονδαμῆτιν.—Στ. 22, Γοργιππία ἐν τῇ Σινδικῇ, τὸ βασίλειον κ. τ. λ.] ΗΔ, ΑΤ, Γοργιππία· ἐν δὲ τῇ Σινδικῇ τὸ βασίλειον· Ἰδὲ τὰς Γαλλικ. σημειώσ. —Στ. 26, Τὸ Φαναγόριον.] ΗΔ, ΑΤ, Τὸ Φαναγόρου· ἐμφαίνει γὰρ ὁ Στράβων Φαναγορίαν, Ἑλληνικῶς, καὶ Φαναγόριον, οὐδετέρως καλεῖσθαι τὴν αὐτὴν πόλιν, καθὰ καὶ ἀνωτέρω Ἀκραιφίας (σελ. 180) Ἑλληνικῶς καὶ πληθυντικῶς, καὶ Ἀκραίφιον (σελ. 183), οὐδετέρως εἴρηκε.

ΣΕΛΙΔ. 307, στ. 2, Ἡ Φαναγορία.] Ἐκ ΔΓ, ΑΤ, Τὰ Φαναγόρεια (ἅπερ ὁ Βυζάντιος Στέφανος διὰ διφθόγγου γράφει, Τὰ Φαναγόρειαι).—Στ. 10, Δανδάριοι.] Ἔν τε τῶν ἀντιγράφων διὰ τοῦ Ρ, Δαρδάριοι, καθὰ γράφεται καὶ παρὰ τῷ Πλουτάρχῳ (Λουκούλ. § 16).—Στ. 12, Ἄλλοι.] Γραπτέον, ὡς ἔδοξέ τινι τῶν

κριτικῶν, Καὶ ἄλλοι.—Στ. 23, Καὶ καταχλύσαι.] Ἐκ ΔΓ προσέλιπε τὸν σύνδεσμον.—Στ. 24, Κατὰ τὴν Γοργιππίαν.] ΗΔ, ΑΤ, Καὶ τὴν Γοργιππίαν.

ΣΕΛΙΔ. 308, στ. 3, Καλοῦσι δ' αὐτὰ οἱ ΕΛΛΗΝΕΣ καμάρας.] Ἐπὶ Στράβωνος οὕτως· οἱ δὲ Βυζαντινοὶ συγγραφεῖς ἔπειτα, Κουμπάρας, καὶ Καραβοκουμπάρας, οὐκ ἐκ παραφθορᾶς τοῦ Κύμβη, ὡς ἂν πιθανῶς τις οἰήσαιτο, ἀλλὰ μᾶλλον ἐκ τοῦ Καμάρα, ᾧ καὶ νῦν, ὡς καὶ πάλαι, δηλοῦται ἡ ἀψὶς, τουτέστιν οἰκοδομὴ τοξοειδὴς, τῶν Σκυθῶν πειρατῶν καταστέγοις χρωμένων πλοίοις, καθὰ καὶ οἱ παρ' αὐτοῖς Νομάδες ταῖς ἁμάξαις, ταῖς καλουμέναις ὡσαύτως Καμάραις (Ἱδ. Λεξικ. Συνῳδ. λέξ. Καμάρα), κατὰ τὰ παρὰ τοῖς Λακεδαιμονίοις Ἅρματα καμαρωτὰ (Ἀθην. σελ. 139). Ἱστορεῖ δὲ Τάκιτος καὶ τὸν τρόπον, καθ' ὃν ἐστέγαζον τὰ πλοῖα, οὐκ ἀεὶ τοῦτο ποιοῦντες, ἀλλ' ἐν χειμῶνι καὶ τρικυμίᾳ, τοῖς ἄκροις αὐτῶν σανίδας ἑκατέρωθεν ἐπισυνάπτοντες καὶ εἰς ὀροφῆς ἀνειρόντες σχῆμα, Camaras vocant... et tumido mari, prout fluctus attollitur, summa navium tabulis augent, donec in modum tecti claudantur (*Tacit. Historiar. lib. III, cap. 47*). Τὴν δὲ λέξιν, ἣν αἱ πλεῖσται τῶν πάλαι καὶ νῦν γλωσσῶν ἰδιάσαντο, τοὺς μὲν παρὰ τὸ Κάμνειν τῷ βάρει ἐτυμολογοῦντας (Στέφαν. Θησαυρ. τόμ. Β, σελ. 51) παίζειν φήσομεν· ἀπιστέον δ' οὐχ ἧττον καὶ τοῖς ἐκ τῆς Καρῶν διαλέκτου παράγουσιν. Ἐν γοῦν τοῖς ἐκδοθεῖσιν ὑπὸ τοῦ Ἰταλοῦ Κοχχίου Ἕλλησι Χειρουργοῖς φέρεται (σελ. 106) σχόλιον τόδε, « Ἀπολλώνιος » ἐν τοῖς Καρικοῖς φησὶ, κατὰ Καρῶν διάλεκτον, ΚΑΜΑΡΑ λέγεσθαι » τὰ ἀσφαλῆ. Διὰ τοῦτο οὖν καὶ τὰς ὑπὸ τῶν Ἑλλήνων καλουμένας » ψαλίδας, ὡς ἀσφαλεῖς οὔσας οἰκοδομὰς, ΚΑΜΑΡΑΣ λέγομεν. » Πιθανώτερον ὁ Φῆστος παρὰ τὸ Κάμπτω παρήγαγε τὴν Καμάραν· ἁπάντων δ' ἴσως πιθανώτατοι οἱ τῆς Ἀσιανῶν φωνῆς αὐτὴν εἶναι βουλόμενοι. Κεμὲρ γὰρ τῇ Χαλδαίων φωνῇ λέγεται τὸ ζωννύειν, καὶ Καμοὺρ ἡ ζώνη, ὡς φησιν ὁ Μαρτίνιος. Καὶ νῦν δὲ οἱ Τοῦρκοι Κεμὲρ καλοῦσιν οὐ μόνον τὴν Καμάραν, τουτέστι τὸ καμπύλον καὶ τοξοειδὲς σέγασμα (παρ' ὃ καὶ τὸ τῶν Γάλλων Cambrer, τουτέστιν εἰς τόξου σχῆμα κυρτοῦν τι), ἀλλὰ καὶ τὴν ζώνην· λέγει δὲ καὶ ὁ Ἡσύχιος, « Καμάραι, ζῶναι στρατιωτικαί ». Διὸ καὶ ὁ Λίψιος διαγράφειν ἠβούλετο τοῦ Στραβωνείου χωρίου τὰς δύο λέξεις, οἱ ΕΛΛΗΝΕΣ, ἵν' εἴη ξενικὸν, καὶ οὐ τῶν Ἑλλήνων, τοῦνομα. Ἡμεῖς δ' οὖν ἐπὶ τοῦ παρόντος, ἐπὶ μὲν τοῦ τοξοειδοῦς σεγάσματος τῷ Καμάρα χρώ-

μεθα, ἐπὶ δὲ τῶν ἐν οἴκῳ κεχωρισμένων οἰκίσκων, ἀναβιβάζοντες τὸν τόνον, καὶ τῆς μέσης συλλαβῆς τὸ φωνῆεν τρέποντες, τῷ Κάμερα, κατὰ τὸ τῶν Ἰταλῶν Camera (Γαλλ. Chambre). Καὶ ῥῆμα δὲ ἀπὸ τοῦ πρώτου τύπου σύνηθες ἡμῖν ἐστι τὸ Καμαρόνω, ἐνεργητικῶς μὲν, ταυτόσημον τῷ παρὰ τοῖς παλαιοῖς Καμαρόω, ἢ Καμαρέυω, τουτέστιν εἰς σχῆμα καμάρας κυρτῶ, οὐδετέρως δὲ, τῷ παρ' ἐκείνοις Ἀβρύνομαι συνώνυμον, οἷ καὶ τὸ Καμαρόω ἐπὶ τῆς αὐτῆς ἔτασσον σημασίας, ἢ δῆλον ἐκ τοῦ παρ' Ἡσυχίῳ ἐνεργητικοῦ, « Κατε» καμάρωσεν, κατενήβρυνεν. » Ἡ δὲ ἐπὶ τοὺς ἁβρυνομένους μεταφορὰ τοῦ Καμαροῦν ἔχει τι παραπλήσιον τῷ κωμικῶς λεγομένῳ (Ἀριστοφ. Λυσιστρ. 8) Τοξοποιεῖν τὰς ὀφρῦς· οὐ γὰρ μόνον οἱ σκυθρωπάζοντες, ἀλλὰ καὶ οἱ ἁβρυνόμενοι τοῦτο ποιεῖν εἰώθασι. Καὶ ταῦτα μὲν ἐν παρεκβάσει, μακρῷ μὲν πλείω τοῦ δέοντος, καὶ οὐδὲν πρὸς τὸν Στράβωνα, χρήσιμα δ' ἴσως τοῖς ἡμετέροις, ὧν χάριν καὶ γράφω. —Στ. 19, Ἐπίλυτρα ποιοῦνται.] ΔΓ, Ἐπίλυτρα ποιοῦσι. Μοναδικὴ καὶ τῷ Στράβωνι ἰδία λέξις καὶ φράσις, ἔχουσά τι παραπλήσιον τῷ, Ἐπίτιμον ἐποίησαν, ἐπὶ πολίτου λεγομένῳ, ἡνίκα ἐξ ἀτιμωθέντος, καὶ τὰ πολίτου ἀπωλέσαντος δίκαια, εἰς πολίτην αὖθις μεταποιεῖται. Ἔστι γὰρ τὸ Ἐπίλυτρα οὐκ οὐσιαστικὸν, ἴσον τῷ Λύτρα, καθάπερ φέρεται ἐν τοῖς Λεξικοῖς, ἀλλ' ἐπίθετον· καὶ σημαίνει τὸ Ἐπίλυτρον ποιεῖσθαι, τὸν ἁλόντα πολέμῳ καὶ δεδεμένον οὕτω κατέχειν, ὥς' ἐθέλειν ἐπὶ λύτροις αὖθις ἀπολύειν.— Ἀνάπλους.] Κατάπλους ὤφειλε φάναι· ἴσως δὲ κατεχρήσατο τῇ λέξει.

ΣΕΛΙΔ. 309, στ. 2, Ζυγῶν.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ μεταφραστῇ, Zygorum εἰπόντι), ΑΤ, Ζυγίων.—Δυσχωρίας.] ΗΔ, ΑΤ, Δυσχερείας (ΔΓ Δυσχερίας). Καὶ οἱ μεταφραστὰὶ δὲ, locorum difficultates ἡρμήνευσαν.—Στ. 9, Βατά.] Ἐκ ΔΓ, ΑΤ, Βάτα. Δηλοῖ δὲ καὶ ἡ ἑξῆς γενικὴ τοῦ ὀνόματος, Βατῶν.

ΣΕΛΙΔ. 310, στ. 11, Κασπίων.] Ἔθνους οὕτω καλουμένου, ὡς ἐν τοῖς ἑξῆς (σελ. 318) δηλώσει.—Στ. 17, Προσπίπτοντα.] Ἱσ.γρ. Προπίπτοντα.

ΣΕΛΙΔ. 311, στ. 7, Οἷς οὐδὲν τῶν ὄντων ΜΕΛΕΙ.] Οἱ οὐδὲν φροντίζουσι τοῦ ἀληθοῦς, καθάπερ ἀλλαχοῦ (σελ. 302) ἔφρασε· καὶ φέρεται ἀμέσως οὐ πρὸς τὸ Ἔθνη, ἀλλὰ πρὸς τοὺς φήσαντας τριακόσια ἔθνη συνέρχεσθαι εἰς τὴν Διοσκουριάδα, ὡς ψευσαμένους. Οὐ τοίνυν μετακινητέον τὴν γραφὴν εἰς τὸ ΜΕΤΕΣΤΙ, καθὰ παρήνει τις τῶν κριτικῶν.—Στ. 13, Πλησίον.] ΗΔ, ΑΤ, Πλησίων.—Στ. 18,

Τὴν θάλατταν.] Ἐκ ΔΓ, προσείληφα τὸ ἄρθρον.—Στ. 19, Τριῶν ἡμερῶν, ἢ δύο.] Ἴδε τὰς Γαλλ. σημειώσ.—Στ. 20, ΚΑΙ τὰς τῶν ποταμῶν ἐκβολάς.] Γραπτέον, οἶμαι, ΚΑΤΑ τὰς τῶν κ. τ. λ. Ἔχει γὰρ ὁ νοῦς, Μαλακοὺς εἶναι τοὺς αἰγιαλοὺς καθ' οὓς τόπους ἐκβάλλουσιν οἱ ποταμοί. Μαλακοὺς δὲ λέγει τοὺς θινώδεις ἀποβαίνοντας, διὰ τὴν ἐκ τῶν ποταμῶν πρόσχωσιν, καὶ ἀπροσπέλαστον ποιοῦντας τὴν ἠϊόνα, καθὰ φήσει ἐν τοῖς ἑξῆς (σελ. 316)· ἐκ τούτου δὲ μακρὸν γίνεσθαι συνέβαινε τὸν πλοῦν, καὶ οὐ δύο ἢ τριῶν ἡμερῶν, τῶν ἀρχαίων ὡς ἐπὶ τὸ πολὺ παρὰ τὴν γῆν πλεόντων, μηδὲ μακρὰν ἀφίεσθαι τολμώντων τῆς ἠϊόνος.—Στ. 23, Πολλὴν ὕλην γὰρ καὶ φύει.] Τὴν μὲν δευτέραν λέξιν αὐτὸς προσέθηκα· τὰ λοιπὰ δὲ ἐκ ΔΓ ἀνελεξάμην, ΑΤ, Πολλήν τε γὰρ καὶ φύει. Εἴρηκε δὲ καὶ ἀλλαχοῦ (Μίρ. Α, σελ. 268) « Ἔχουσι δ' ὕλην ἐνταῦθα παμπόλλην ναυπηγήσιμον. » Εἰ δὲ πιστὸς ὁ ἀρχαῖος μεταφραστὴς, οὐθετέρως ἑρμηνεύσας multa, τηνικαῦτα γραπτέον, θὶξα προσθήκης, Πολλά τε γὰρ καὶ φύει, ἀναφέροντας πρὸς τὸ προηγούμενον, Πᾶσι.—Στ. 25, Ἀπικόμιζον.] ΗΔ, ΑΤ, Ἐπεκόμιζον.

ΣΕΛΙΔ. 312, στ. 5, Νοσεῖ.] Ἐκ τῶν Εὐριπίδου Τρωάδων (στίχ. 27).

ΣΕΛΙΔ. 313, στ. 7, Στρατιάν.] ΗΔ, ΑΤ, Στρατείαν.—Στ. 8, Οὐ συντεταγμένον.] Ἴσως πλεονάζει ἡ ἄρνησις.—Στ. 11, Ἡ δὴ καὶ κ. τ. λ.] ΗΔ, ΑΤ, Εἰ μὴ καί. Ἕτεροι δὲ ἅπαν τοῦτο τὸ χωρίον μέχρι τοῦ Χρυσείων, οὐ γνήσιον εἶναι Στράβωνος γράμμα ὑπέλαβον. Ὁ νοῦς, Καθ' ὃ δὴ καὶ τοὺς πρὸς ἕω τούτους, παρ' οἷς ὁ χρυσὸς, ἐκάλεσαν Ἴβηρας, ὁμωνύμως τοῖς πρὸς ἑσπέραν Ἴβηρσι (τουτέστι τοῖς Ἱσπανοῖς), χρυσοῦ κἀκείνοις εὐπορουμένοις οὐκ ὀλίγου.—Στ. 13, Θαυμαζῶς, ὥστε τοὺς φαρμακτοῖς τετρωμένους βέλεσι λυπεῖν καὶ τὴν ὀσμήν.] ΗΔ, ΑΤ, Θαυμαστῶς, ἃ καὶ τοὺς ἀφαρμάκτοις τετρωμένους βέλεσι λυπεῖ κατὰ τὴν ὀσμήν· ἣν ὁ Γερμανὸς ἐκδότης ἐκ διορθώσεως τοῦ Κασωβῶνος παρείληφε, τῶν προτέρων ἐκδόσεων φερουσῶν, Θαυμαζῶς, καὶ τοὺς ἀφαρμάκτοις κ. τ. λ. Παρῆνει δ' ὁ διωρθωκὼς καὶ τὸ Θαυμαζῶς τρέπειν εἰς τὸ Θαυμαστοῖς· ἕτεροι δὲ τὸ Ἀφαρμάκτοις εἰς τὸ Φαρμάκτοις (κακοτόνως), καὶ ἄλλοι εἰς τὸ Ἐνφαρμάκτοις (κακοσυνθέτως), μεταποιεῖν ἠβούλοντο. Ἡ δ' οὖν λέξις, Φαρμακτὸς, οὔπω κατακεχώρισται ἐν τοῖς Λεξικοῖς.—Στ. 18, Ἔχει σφόδρα, καλῶς.] ΗΔ, ΑΤ, Ἔχει καὶ σφόδρα καλῶς. Ἢ γὰρ οὕτω γραπτέον θὶξα συνδέσμου, ὥσπερ ἔγραψα, ἢ γοῦν μετατιθέντας τὸν σύνδεσμον, Ἔχει σφόδρα, καὶ

καλῶς.—Στ. 20, Πόλισί τε καὶ ἐποικίοις.] Ἐν τοῖς ἀμφιβαλλομένοις κατίταξι τὴν λίξιν, Ἐποίκιον, ὁ Σνειδίρος· σημαίνει μέντοι, ἀντιδιαξιλλόμενα πρὸς τὰς πόλεις, τὰ ἐποίκια ἐνθάδε, τὰς κώμας, ἢ μᾶλλον τὰς κωμῶν ἐλάττους οἰκήσεις, ἃς ἡ συνήθεια Χωρία (villages) καλεῖ, πρώτων ἐπὶ ταύτης τῆς σημασίας χρησαμένων τῶν Ἑβδομήκοντα (Παραλειπομ. Α, κζ', 25), « Ἐν ταῖς κώμαις καὶ ἐν τοῖς ἐποικίοις καὶ ἐν τοῖς πύργοις. » Ἔνθα σημείωσαι καὶ τοὺς Πύργους, οὕτω καλούσης μέχρι σεῦρο καὶ τῆς συνηθείας, παρὰ τοῖς Χίοις μάλιστα, τὰς ἐν τοῖς ἀγροῖς κατοικίας τῶν εὐδαιμόνων.—Στ. 21, Κεραμωτὰς εἶναι τὰς σίγας.] Τουτέστιν ἐκ κεράμου, οὐκ ἐκ καλάμου, πεποιημένας. Προσέθηκα δὲ καὶ τὸ ἄρθρον, ἐκ τοῦ ἐν τοῖς ἑξῆς (σελ. 456) παραλλήλου χωρίου ὁρμώμενος.

ΣΕΛΙΔ. 314, στ. 3, Τὴν Κολχίδα.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον. —Στ. 6, Ἐκ τοῦ Καυκάσου.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ μεταφραστῇ, a Caucaso), ΑΤ, Κάτω τοῦ Καυκάσου.—Στ. 18, Καὶ ἐξ ἑκατῶν.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 20, Σαραπανῶν.] Τῷ αὐτῷ, ὥπερ καὶ ἀνωτέρω (σελ. 311), τόνῳ· ἄμεινον ὅμως ἂν τείνοιτο κατὰ τὴν δευτέραν, Σαραπάνων, ἀπ' εὐθείας οὐδετέρας, Τὰ Σαράπανα.—Στ. 22, Γενόμενος.] Ἐκ ΔΓ, ΑΤ, Γενόμενος.

ΣΕΛΙΔ. 315, στ. 4, Εἰσβολή.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν (ἴδ. κατωτέρ. σελ. 318), ΑΤ, Ἐμβολή.—Στ. 10, Λατομητῆς.] Ἐκ ΔΓ, ΑΤ, Λατομητή.—Στ. 23, Λοιπῶν.] ΗΔ, ΑΤ, (ἀδιανοήτου) Λαῶν.

ΣΕΛΙΔ. 316, στ. 4, Οὐκ ΑΓΡΙΟΙ· ταύτῃ δὲ καὶ πολεμικοὶ μετρίως.] Καλῶς ποιῶν ὁ Γερμανὸς ἐκδότης, ΑΤ, ΑΛΛΟΤΡΙΟΙ, ἔγραψεν ΑΓΡΙΟΙ, ἐξ ἑνὸς ἀντιγράφου μόνου, ᾧ προσμαρτυρεῖ καὶ τὸ ἐμὸν, ἐν ᾧ φέρεται προσγεγραμμένον ἔξωθεν ὡς διόρθωσις τὸ Ἄγριοι. Τοῦτο γὰρ ἀπαιτεῖ καὶ ὁ νοῦς τοῦ χωρίου· ὅσῳ γὰρ μᾶλλον ἥμερα τὰ ἔθνη, τοσούτῳ μετριώτερον πολεμοῦσιν ἀλλήλοις· καὶ τοὔμπαλιν, ὅσῳ μᾶλλον ἄγρια, τοσούτῳ πλέον εἰς πολέμους ἐσὶν εὐεπίφορα, καθὰ καὶ Ἀριστοτέλης (Πολιτικ. ά, § 9) εἴρηκε περὶ τοῦ μήπω ἡμερωμένου ἀνθρώπου· « Ἅμα γὰρ φύσει τοιοῦτος καὶ πολέμου ἐπιθυμητής. » —Στ. 6, Πρὸς ἕω... πρὸς δύσιν.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Πρὸς ἕῳ... πρὸς δύσει.—Στ. 19, Στόματα... τὰ μὲν τυφλὰ, τὰ δὲ παντελῶς ΕΠΙΓΕΔΩΝΤΑ.] ΔΓ, ΕΠΙΓΕΓΕΔΩΝΤΑ. Ὁ ἀρχαῖος μεταφραστὴς ἡρμήνευσεν fallentia, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἐπιλανθάνοντα. Τῶν τις κριτικῶν καλῶς ἔχειν τὴν ἐκδεδομένην

γραφὴν ἰσχυρίσατο, μαρτύριον παραθέμενος τό τε ἐξ Αἰσχύλου (Προμηθ. δεσμ. 89),

Ποντίων τε κυμάτων
Ἀνήριθμον γέλασμα,

καὶ ἕτερα ἐξ ἑτέρων Ἑλλήνων τε καὶ Ῥωμαίων ποιητῶν, οἳ τῷ γελᾶν μεταφορικῶς ἐχρήσαντο ἐπὶ θαλάσσης. Ἕτερος δὲ κριτικὸς τῶν ἐν ὀνόματι, ὡς ἀλλοτρίαν τοῦ χωρίου τὴν λέξιν οὖσαν τρέπειν παρήνει εἰς τὸ ΕΠΙΓΕΙΑ ΟΝΤΑ, οὐ κακῶς τῷ νῷ. Ἴσως μέντοι γραπτέον, τὸν αὐτὸν φυλάσσοντας νοῦν, ΕΠΙΠΟΛΑΙΑ ΟΝΤΑ, τουτέστιν ὀλίγον καὶ ἐπιπόλαιον ἔχοντα τὸ ὕδωρ, καὶ διὰ τοῦτο μὴ συγχωροῦντα προσπελάσαι τῇ ἠϊόνι. α Ἐπιπολαιοτέρων, τῶν μὴ βαθέων » φησὶν Ἡσύχιος. — Στ. 20, Μηδὲν ὕφορμον.] Ἢ ἐπιθετικῶς καὶ οὐδετέρως ἐκληπτέον, προσυπακούοντας τὸ Μέρος, ἢ γραπτέον ἀρσενικῶς καὶ οὐσιαστικῶς μηδένα (ἢ μηδέν') ὕφορμον.

ΣΕΛΙΔ. 317, στ. 4, Οὐδὲν δεῖ.] Ἰσ.γρ. Οὐδὲ δεῖ. — Στ. 8, Ἄσπαρτα... Κυκλώπειόν τινα διαγούμενοι βίον.] Αἰνίττεται τὰ ἐν τῇ Ὀδυσσείᾳ (*ι*, 106-109) εἰρημένα. — Στ. 16, Ἐκείνων.] ΗΔ, ΑΤ, Ἐκείνῳ. Φέρεται γὰρ πρὸς τὸ, Τοῦ Βαβυλωνίου καὶ τοῦ Αἰγυπτίου. — Δ' αἱ Ἄμπελοι.] ΗΔ, ΑΤ, Δὲ ἄμπελοι. ΔΓ, Γὰρ αἱ ἄμπελοι.

ΣΕΛΙΔ. 318, στ. 5, Διακινδύνευσαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐκινδύνευσαν.

ΣΕΛΙΔ. 319, στ. 8, Μυρισθείς.] ΔΓ, Μερισθείς. — Στ. 11, Τούτου.] ΗΔ (συνάδουσα τῇ ἀρχαίᾳ μεταφράσει hujus), ΑΤ, Τοιούτου. — Στ. 12, Μαντείαν τινά.] ΗΔ (συνάδουσα οἷς ἀνωτέρω, σιλ. 8, ἔγραψεν ὁ Στράβων), ΑΤ, Μαντεῖά τινα. — Στ. 25, Οἰκίσαι.] Ἐκ ΔΓ, ΑΤ, Οἰκῆσαι.

ΣΕΛΙΔ. 320, στ. 17, Ἐπίκρανα.] Γράφε, Περίκρανα, καθὰ φέρουσι τὰντίγραφα, καὶ οὐκ, Ἐπίκρανα, ὁ πλανηθεὶς ὁ Γερμανὸς ἐκδότης, ὡς ἐν ἀντιγράφοις φερόμενον, ἀπεδέξατο, ΑΤ (ἔτι χείρονος γραφῆς τῶν προτέρων), Δορύκρανα. — Στ. 18, Δύο δὲ μῆνας κ. τ. λ.] Ἐπὶ τὰς περὶ τούτου εἰκασίας τοῦ Πάλλα (Pallas, *Second voyag. tom. II*, pag. 142, édit. de 1811), ὃς φησὶν ἔχειν τινὰ τοῦ παραδόξου τούτου ἔθους τῶν Ἀμαζόνων καὶ τῶν Γαργαρίων καταλελεῖφθαι ἴχνη παρὰ τοῖς καλουμένοις Τσερκέσοις Σκύθαις. Ἴδε καὶ τὰ ἐν τῇ Γαλλικῇ μεταφράσει σημειωθέντα.

ΣΕΛΙΔ. 321, στ. 3, Μερμάδας.] Ὃν μικρὸν ἀνατέρω (σελ. 310) Μερμάδαλιν ὠνόμασεν. Ὁ Πάλλας οἴεται τὸν αὐτὸν εἶναι τῷ νῦν καλουμένῳ ὑπὸ τῶν ἐκεῖ ἐγχωρίων Mermedik.—Στ. 22, Στρατιάν.] ΔΓ (ἀμείνων), Στρατείαν.—Στ. 25, Ταῦτά γε αὐτά.] Μακρῷ ἄμεινον ἂν ἐγράφετο, Ταὐτά γε ταῦτα.

ΣΕΛΙΔ. 322, στ. 2, Ταφαί.] ΗΔ, ΑΤ (πόλεως ὀνόματος), Πάρου. ΔΓ, Πάφαι : Πάφας.—Στ. 9, Δυναζεύουσαν.] Ἀποκατέζησα τὴν τῆς Κασωβωνείου ἐκδόσεως γραφὴν, ΑΤ, Δυναζεῦσαι.—Στ. 11, Οὐκ εἰρήκασιν· οὐδ' οἱ εἰπόντες.] Γράφε, Οὐκ εἰρήκασιν· ΟΥΔ' ΟΙ ΠΙΣΤΕΥΟΜΕΝΟΙ ΜΑΛΙΣΤΑ ΟΥΔΕΝΟΣ ΜΕΜΝΗΝΤΑΙ ΤΟΙΟΥΤΟΥ· οὐδ' οἱ εἰπόντες. Ἐξεῤῥύησαν γὰρ τοῦ χωρίου ἐν τῇ ἡμετέρᾳ ἐκδόσει τὰ κεφαλαίοις κεχαραγμένα γράμμασι.—Στ. 16, Οἵ γε πλάσαντες.] ΗΔ, ΑΤ, Οἱ δὲ πλάσαντες.

ΣΕΛΙΔ. 323, στ. 3-7, Ἀλλὰ διὰ τὴν δόξαν... ὑπέλαβον.] ΗΔ, ΑΤ (ἀσυναρτήτου), Ἀλλ' ἡ δόξα... ὑπέλαβον.—Στ. 10, Τὰ πρὸς Ἀλβανίαν, καὶ Ἰβηρίαν, καὶ Κόλχους, καὶ Ἡνιόχους.] Ἐκ ΔΓ, ΑΤ, Τὰ πρὸς Ἀλβανίᾳ, καὶ Ἰβηρίᾳ, καὶ Κόλχοις, καὶ Ἡνιόχοις.—Στ. 17, Πλατέα.] Ἀποκατέζησα τὴν προτέραν γραφὴν, ΑΤ, Πλατεῖα. Τὸ δὲ σχῆμα τῶν ὑποδημάτων τούτων ἱζόρησεν ὁ Γάλλος Χαρδῖνος (Chardin, *Voyag. de Paris à Ispahan*), αὐτὸς γενόμενος ἐν τοῖς τόποις.—Στ. 18, Καὶ σὺν τοῖς φορτίοις.] Ἐκ ΔΓ, ΑΤ, Σὺν τοῖς φορτίοις, καί.—Στ. 21, Πέλμασιν.] Ἀποκατέζησα τὴν γνησίαν γραφὴν, ΑΤ (τυπογραφικοῦ ἴσως ἁμαρτήματος) Τέλμασιν.—Στ. 23, Τὰ κλίματα.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 26, Εὐπορία.] Ἰσ.γρ. Ἀπορία.

ΣΕΛΙΔ. 324, στ. 1, Χαιανοῖται.] ΔΓ, Χαιανῖται : Χαιανοῖτες : Χαίανοί τε : Χαιανοί τε. Ἴδε τὰς Γαλλικ. σημειώσ.—Στ. 2, Εἰσαδίκων.] ΔΓ, Σιράκων.—Στ. 9, Ἔζελλε.] ΗΔ, ΑΤ, Ἔζειλε.—Στ. 10, Εἴκοσιν.] Ἄπιζον ὅλως. Ἰσ.γρ. Ὀκτώ. Ἐν γὰρ τοῖς ἀντιγράφοις τὰ δηλοῦντα τὸν εἴκοσι (κ') καὶ τὸν ὀκτὼ (η') ἀριθμὸν ζοιχεῖα συγχέονται πολλάκις.—Στ. 23, Που πεντακισχιλίους.] Ἐκ τοῦ ἐμοῦ μόνου ἀντιγράφου, ΔΤ, Που καὶ πεντακισχιλίους.

ΣΕΛΙΔ. 325, στ. 5, Ἀμάρδων.] Ἐξ ΕΔ, ΑΤ, Μάρδων.—Στ. 14, Τῆς ἑῴας.] Ἐκ ΔΓ, ΑΤ, Τῆς πρὸς ἕω.—Στ. 16, Οἱ δὲ τὸ πρῶτον διελόντες.] ΗΔ (συνάδουσά πως τῇ ἀρχαίᾳ μεταφράσει, Qui vero eos prius distinxere), ΑΤ, Οἱ δ' ἔτι πρότερον διελόντες.

διελόντες.—Στ. 21, Καίπερ τὸν πρός.] Ἐξ ΕΔ προσείληφα τὸ ἄρθρον.—Στ. 22, Περὶ ΤΟΥΤΩΝ οὐδὲν ἠκρίβωτο πρὸς ἀλήθειαν, οὔτε.] Ἐκ ΔΓ, ΑΤ, Περὶ τούτων οὐδεὶς ἠκρίβωτο πρὸς ἀλήθειαν οὐδέν, οὔτε. Ἴσως δὲ γραπτέον καὶ, ΤΟΥΤΟΥ, τουτέστι τοῦ πρὸς Μασσαγέτας πολέμου.—Στ. 24, Ἀφικνεῖτο.] ΔΓ (ἀμείνων ἴσως), Ἀφικνεῖται.

ΣΕΛΙΔ. 326, στ. 3, Οὐ παρά γε ΕΙΔΟΤΩΝ, σκοποῦντες αὐτὸ μόνον τοῦτο.] ΗΔ, ΑΤ, Οὐ παράγε εἰδότων σκοποῦντες· δι' αὐτὸ δὲ μόνον τοῦτο. Ἴσως δὲ γραπτέον καὶ, ΙΔΟΝΤΩΝ.—Στ. 4, Ἔχοι.] ΗΔ, ΑΤ, Ἔχει.—Ῥᾷον.] Ἐκ ΔΓ, ΑΤ, Ῥᾴδιον.—Στ. 10, Τὸ δὲ πόῤῥω.] Ἐκ ΔΓ, ΑΤ, Τὸ δὴ πόῤῥω.

ΣΕΛΙΔ. 327, στ. 1, Καλούσιοι.] Ἐξ ΕΔ, ΑΤ, Δοκουσῖνοι.—Στ. 2, Παρνασίων.] Οὕτως ἐτόλμησα γράψαι, ΑΤ, Παῤῥασίων, ἐν μόνου γράμμα μεταποιήσας. Εὕρηται μὲν γὰρ καὶ παρὰ τῷ Πολυβίῳ χώρα καλουμένη Παῤῥασία· ἀλλὰ καὶ παρ' ἐκείνῳ τὴν γραφὴν, ὁμολογουμένως ἡμαρτημένην οὖσαν, ἄλλοι ἄλλως μεταποιεῖν ἐπεβάλοντο (ἴδ. τὸν τελευτ. ἐκδότ. τοῦ Πολυβ. τόμ. ς', σελ. 200). Παρνασίους δὲ λέγω ἐνθάδε τοὺς οἰκοῦντας τὸ ὄρος τὸν Παρνασὸν, οὐ πολὺ τῆς Οἴτης ἀπέχοντα, ἧς μέρος κατεῖχον οἱ ἑξῆς Αἰνιᾶνες. Εἰ γὰρ καὶ μύθοις ἐοίκασιν αἱ τῶν Ἑλλήνων εἰς τὰ περὶ τὴν Κασπίαν θάλασσαν ἀποικίαι, οὐκ ἀπεικότα τούτοις ἐρεῖ ὁ λέγων καὶ τῶν περὶ τὸν Ἑλληνικὸν Παρνασὸν οἰκούντων τινὰς συναπᾶραι τοῖς πλησιοχώροις Αἰνιᾶσιν ἀπαίρουσιν εἰς τὴν ἀλλοδαπήν.—Στ. 3, Παραίους.] Ἐξ ΕΔ, ΑΤ (κἀνταῦθα φερομένου), Παῤῥασίους. Καὶ ἔχαι οὕτω τὸ Παρσίους συγκοπὴ τοῦ ἀνωτέρω ἡμετέρου Παρνασίους· πλὴν εἰ μή τις προκριτοῖτο μεταφέρειν ἐνθάδε, τοὺς Πάρνους, ἢ Παρίους, περὶ ὧν ἐν τοῖς ἑξῆς (σελ. 337) ὁ Στράβων ἐρεῖ.—Στ. 4, Δεικνυσθαι... ταφάς.] Τὸ μὲν Ταφὰς ἐκ ΔΓ, ΑΤ, Ταφαί· τοῦτο δὲ καὶ ἦν ἐτόλμησα τροπὴν τοῦ Δείκνυται εἰς τὸ Δείκνυσθαι ἐπάναγκες ὑπηγόρευσεν.—Στ. 17, Καὶ δὴ τοῦ μὲν ΕΙΔΟΥΣ κ. τ. λ.] ΗΔ, ΑΤ, Καὶ ταῦτα μὲν τοῦ εἴδους. ΔΓ, Καὶ διὰ μὲν τὸ εἶδος: Διὰ μὲν τὸ εἶδος: Καὶ τοῦ εἴδους. Ἡ δ' ἡμετέρα διόρθωσις ἔχει τι παραπλήσιον τοῖς ἄλλαχοῦ (Μέρ. Α, σελ. 267) εἰρημένοις τῷ Στράβωνι, « Καὶ δὴ καὶ σημεῖον τίθενται τοῦ κ. τ. λ. » Ἴσως δὲ καὶ, ΕΘΝΟΥΣ γραπτέον, κατὰ τὸ ἑξῆς (σελ. 378) σχεδόν τι ὅμοιον χωρίον, ἵν' ᾖ ἐνθάδε καθ' ὑπερβατὸν, ἀντὶ τοῦ, Καὶ τῆς μὲν εὐδαιμονίας τοῦ ἔθνους κ. τ. λ.—Στ. 20,

Ἐν δὲ τοῖς δένδρεσι σμηνουργεῖται κ. τ. λ.] Ἐμνημόνευσε καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 94) Στράβων τῆς σμηνουργίας ταύτης. Γίνεται δὲ τοῦτο μέχρι καὶ δεῦρο παρὰ πολλοῖς τῶν Σκυθῶν, οὐκ αὐτομάτων τῶν μελισσῶν συναγειρομένων, ὡς ἄν τις ἡγήσαιτο, ἀλλὰ τῶν ἐγχωρίων ἐγκοιλαινόντων τὰ δένδρα ὅσον τέτταρας ἢ πέντε ὑψηλότερον τῆς ῥίζης ὀργυιάς, καὶ τὰς μελίσσας ἐγκατοικιζόντων, καθὰ διὰ μακρῶν ἱστόρηκεν ὁ Πάλλας (Pallas, *Premier voyag. tom. II*, pag. 417, et *tom. VII*, pag. 19). Ὃ δὲ προσίδησιν ὁ Στράβων περὶ τῆς ἀπὸ τῶν φύλλων ἀπορροῆς τοῦ μέλιτος, οὐκ ἀπικὸς μὲν καὶ τοῦτο συμβαίνειν ἔσθ' ὅτε· ἴσως μέντοι συνέχει τῷ ἐν τοῖς κοιλάσμασι τῶν δένδρων ὑπὸ μελισσῶν ποιουμένῳ μέλιτι ἕτερον καταχρηστικῶς ὀνομαζόμενον μέλι, παραπλήσιον τῷ τῆς Ἰταλίας ἐν Καλαβρίᾳ ἀπὸ τῆς Μελίας τοῦ δένδρου ῥέοντι ὀπῷ γλυκεῖ, ὃν καλοῦσι Μάνναν· ὁποῖόν ἐστι καὶ τὸ περὶ Καππαδοκίαν, Δυδίαν τε καὶ Θρᾴκην γινόμενον ἄνευ μελισσῶν μέλι (Ἀριστοτέλ. Περὶ θαυμ. ἀκουσμ. ις' καὶ τὰ μετὰ τῶν σημειώτ. τοῦ Βεκμάννου).

ΣΕΛΙΔ. 328, στ. 2, Χρόνου.] Ἐκ ΔΓ προσέθηκα τὴν λέξιν.—Στ. 21, Ἐκ πάντων, ὅτι διείργει.] Ἐκ ΔΓ, ΑΓ, Ὅτι ἐκ πάντων διείργει.—Στ. 24, Μακεδόσι, στρατηγεῖν ἔγνωσο.] ΗΔ, ΑΤ, Μακεδόσι στρατηγεῖν δ' ἐγνώρισο. Ὁ μὲν Κασωβὼν ὕποπτον ἀποφηνάμενος τὸ χωρίον, οὐδεμίαν ἐτόλμησε διόρθωσιν· ἕτερος δέ τις τῶν κριτικῶν γραπτέον εἶναι ἡγήσατο, Μακεδόνων στρατηγοῖς, οὐδ' ἐγνώρισο. Τῆς ἡμετέρας διορθώσεως ὁ νοῦς, Ἔγνωσο μηχανήν τινα καὶ τέχνην ἐξευρεῖν, τουτέστι ψεύσασθαι· ἀνθ' οὗπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 301) πλησίστιον ὁ Στράβων, Στρατηγεῖν τέχνας τινὰς, εἴρηκε.

ΣΕΛΙΔ. 329, στ. 4, Προφέρεται.] ΗΔ, ΑΤ, Προσφέρεται.—Στ. 6, Ὅτι τε οὐχ.] ΗΔ, ΑΤ, Ὅτι δὲ καὶ οὐχ. Εἰ γὰρ συνάρτησις, ἄνωθεν ἀρξαμένοις, ἐστὶ, Πολύκλειτος πίσεις προφέρεται περὶ τοῦ λιμένος... καὶ περὶ τοῦ ὅτι οὐχ ἑτέρα τῆς Μαιώτιδος, τεκμαιρόμενος κ. τ. λ. —Στ. 8, Ὅ τε Ὦχος καὶ ὁ Ὦξος καὶ ἄλλοι πλείους, φέρεται καὶ ὁ Ἰαξάρτης κ. τ. λ.] ΗΔ, ΑΤ, Ὅ τε Ὦχος καὶ ὁ Ὦξος φέρεται καὶ ἄλλοι πλείους, καὶ ὁ Ἰαξάρτης.—Στ. 11, Τούτῳ.] ΔΓ (ἀμείνων) Καὶ τοῦτο. Ἕτερος ΔΓ (ἐκ τοῦ ἐμοῦ ἀντιγράφου), Καὶ τούτῳ.—Στ. 12, Ὡς εἴη.] ΗΔ, ΑΤ, Ὡς' εἴη.—Στ. 14, Τοῦτο δέ.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο δὲ καί.—Στ. 18, Συγχρούειν.] Συμφύρειν καὶ συνάγειν εἰς ἕν, μηδὲν δέον. Τοῦτο γὰρ βούλεται

ἐνθάδε τὸ Συγχρόυειν· ὅθεν καὶ Σύγχρουμα ἐκάλουν τινὲς (παρ' Ἡσυχ.) τὴν σύμμικτον λοπάδα, τουτέστι τὴν ἐκ διαφόρων μηδὲν ἀλλήλοις ὁμοίων ὄψων σκευαζομένην τροφήν, ἣν οἱ Γάλλοι Pot pourri καλοῦσι.—Στ. 20, Ἐν τῶν κατά.] Ἐξ ΕΔ, ΑΤ, Ἐκ τῶν κατά.—Στ. 24, Τοσαύτη προφέρονται βία.] ΗΔ, ΑΤ, Τοσαύτην προσφέρονται βίαν.—Στ. 25, Ἑξακοντίζουσι τὸ ὕδωρ εἰς τὴν θάλατταν, ἄῤῥαντον κ. τ. λ.] Παραπλήσιόν τι, συμβαῖνον οὐ μακρὰν τοῦ Καμβεριακοῦ, πόλεως πρωτευούσης ἐν τῇ Σαβαυδίᾳ (Chambéry, dans la Savoie) ἱστόρηκεν ὁ Ῥουσσώ· Plus près de Chambéry j'eus un spectacle semblable en sens contraire. Le chemin passe au pied de la plus belle cascade que je vis de mes jours. La montagne est tellement escarpée que l'eau se détache net, et tombe en arcade assez bien pour qu'on puisse passer entre la cascade et la roche, quelquefois sans être mouillé (Rousseau, *Confessions*, *Part. I*, *livr. IV*, *tom. VI*, pag. 132, édit. de 1817.).

ΣΕΛΙΔ. 330, στ. 1, Σκεπαζομένοις.] Ἐκ τῶν Χρησομαθειῶν (Στράβ. Μέρ. Γ, σελ. 404), ΑΤ, Σκεπαζόμενον.—Στ. 2, Θυσίας.] ΔΓ (ἀμείνων ἴσως), Θέας.—Στ. 4, Ἄλλοσε ἄλλοι τρέπονται.] ΗΔ, ΑΤ, Ἄλλως δ' ἄλλοι τέρπονται. Ἴσως ὀρθώτερον ἂν ἔγραψα, Ἄλλοτε δ' ἄλλῃ τρέπονται, ἵν' εἴη τρίτη χρόνου σημείωσις, πρὸς τὸ, Ποτὲ μὲν... ποτὲ δέ.—Στ. 11, Τυγχάνοντα.] ΗΔ, ΑΤ, Καὶ τυγχάνοντα.—Στ. 14, Καὶ τὸ τῶν Ἀρίων.] Γράφε ἀναπληρῶν τὰ ἐξερρυηκότα τυπογράφων ἀβλεψίᾳ, Καὶ τὸ τῶν Μαργιανῶν, καὶ τῶν Ἀρίων.

ΣΕΛΙΔ. 331, στ. 9, Καὶ οἱ ὁρμηθέντες.] Ἐκ ΔΓ προσειληφε τὸ ἄρθρον.—Στ. 14, Διατείνουσι.] ΗΔ (συνάδουσα τῇ ἀρχαίᾳ μεταφράσει extenduntur), ΑΤ, Διαμένουσι.—Ἀρίᾳ.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφήν, ΑΤ (τυπογραφικῶς, ὡς ἔοικεν, ἡμαρτημένου), Ἀσίᾳ.—Στ. 16, Ἀρίων.] Ἐν τῶν ἀντιγράφων φέρει Ἀριανῆς. Ἴδε τὰς Γαλλ. σημειώσ.

ΣΕΛΙΔ. 332, στ. 9, Καὶ τῶν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὸ τῶν.—Στ. 18, Φεύγει.] ΗΔ, ΑΤ, Φεύγει.—Στ. 23, Ἱδρύνθη.] Ἐκ ΔΓ, ΑΤ, Ἱδρύθη.—Στ. 24, Μεσόν.] Ἐκ ΔΓ, ΑΤ, Μεσῶν.

ΣΕΛΙΔ. 333, στ. 5, Πληκτιζομένων.] Ἰσ.γρ. Διαπληκτιζομένων.—Στ. 8, Περὶ ὧν.] Ἴσως καὶνθάδε ἐνικῶς (καθάπερ ἔφην ἀνωτέρω, σελ. 241) γραπτέον, Περὶ οὗ.—Στ. 12, Ἀράξην.] Ἐκ

ΔΓ, ΑΤ, Ἄραξον. Ὁ δ' ἀρχαῖος μεταφραστὴς, Ἄραγον (Aragum) ἡρμήνευσεν. Ἴδε τὰς Γαλλ. σημειώσ. — Στ. 14, Τὴν ἄλλην.] Ἡ διαγραπτέον ταῦτα (ἅπερ οὐδ' ἡ τοῦ Ξυλάνδρου μετάφρασις ἡρμήνευσεν), ἢ τρεπτέον εἰς τὸ Τὴν μεγάλην. — Στ. 18, Τὴν φαρέτραν ἐξαρτήσας φανερὰν ἐκ τῆς ἀμάξης, μίγνυται.] Ἐκ ΔΓ, ΑΤ, Τὴν φαρέτραν ἐξαρτήσας ἐκ τῆς ἁμάξης, φανερῶς μίγνυται. — Στ. 20, Μετὰ προβατείων.] Ἐκ ΔΓ, ΑΤ, Μετὰ τῶν προβατείων.

ΣΕΛΙΔ. 334, στ. 14, Αὐθέκαρος μὲν καὶ σκαιὸς καὶ ἄγριος.] ΗΔ, ΑΤ, Αὐθέκαρος μὲν, σκαιὸς δὲ, καὶ ἄγριος. ΔΓ, Αὐθέκαρος μὲν, σκαιὸς, καὶ ἄγριος. — Στ. 18, Ἀττάσιοι.] ΔΓ, Ἀτάσιοι. Ὁ Κασωβὼν τρέπειν παρήνει εἰς τὸ Αὐγάσιοι· ἐμοὶ δὲ δοκεῖ τρεπτέον εἶναι εἰς τὸ Ἀπασιάκαι. Δηλοῖ δ', οἶμαι, τοῦτο καὶ τὰ ἑπόμενα, Εἰς τοὺς Ἀπασιάκας ἐχώρησε.

ΣΕΛΙΔ. 335, στ. 11, Βάκτραν.] Θηλυκῶς ἐνθάδε, ἣν ἐν τοῖς ἑξῆς οὐθετέρως, Τὰ Βάκτρα, φήσει. — Στ. 17, Δράγγη.] ΗΔ, ΑΤ, Δραγγῇ.

ΣΕΛΙΔ. 336, στ. 1, Διὰ τούτων δρόμῳ διεξίασι τὴν ἑαυτῶν οἱ βασιλεῖς, ὄχλον οὐ δυναμένης τρέφειν τῆς χώρας.] ΗΔ, ΑΤ, Διὰ τοῦτο δρόμῳ διεξίασι τὸν ἑαυτῶν οἱ βασιλεῖς ὄχλον, οὐ δυναμένης τρέφειν τῆς χώρας. Ὁ νοῦς, Διὰ τὴν ἀπορίαν τῆς Παρθυαίας, οἱ βασιλεῖς σπουδῇ καὶ συντόνως διέρχονται τὴν ἑαυτῶν χώραν [ὁπότε διὰ τῆς Παρθυαίας ὁδεύειν αὐτοὺς συμπίσοι]· διότι οὐ δύναται τρέφειν ὄχλον. — Στ. 4, Χωρηνή.] Ἐξ ΕΔ, ΑΤ, Χωρηνή. — Σχεδὸν δέ τι.] Ἐκ ΔΓ, ΑΤ, Σχεδὸν δ' ἔτι. — Στ. 7, Ῥάγας.] Ἀνιβίβασα τὸν τόνον ὧδέ τε κἀν τοῖς ἑξῆς, ἀκολουθήσας Στεφάνῳ τῷ Βυζαντίῳ, ΑΤ, Ῥαγάς. — Στ. 18, Πρὸς ἄλλοις.] Ἐξ ΕΔ, ΑΤ, Πρὸς ἀλλήλους.

ΣΕΛΙΔ. 337, στ. 7, Πρὸς ἡγεμονίαν.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τὴν ἡγεμονίαν. — Στ. 17, Παραλείψομεν.] ΔΓ (ἴσως ἀμείνων), Παραλείψωμεν. — Στ. 19, Εὐγενῶν.] ΗΔ, ΑΤ, Συγγενῶν. — Τὸ δὲ σοφῶν καὶ Μάγων.] Ἰσ.γρ. Τὸ δὲ Μάγων, διαγράφοντας τὰς ἐν μέσῳ λέξεις· τὸ γὰρ Σοφῶν, ἐξήγησις ἔοικεν εἶναι προσγεγραμμένη τῷ Μάγων. Τοῦτο γὰρ σημαίνει τῇ Περσῶν διαλέκτῳ ὁ Μάγος, καθάπερ ἐξ αὐτοῦ τοῦ Στράβωνος συλλογίσασθαι καὶ ἐκ τῶν ἄλλων (Μέρ. Α, σελ. 29 καὶ Μέρ. Γ, σελ. 127). — Στ. 20, Καθίσασθαι.] ΗΔ, ΑΤ, Καθίσησιν. Τὸ ἀπαρέμφατον δ' ἐξέφρασαν καὶ οἱ μετα-

ρραξαί. Τὸ προηγούμενον, Ἐξ ὧν, ἀντὶ τοῦ Ὑφ' ὧν ἐκδεκτέον, ἵν' ᾖ ὁ νοῦς, ὅτι ὑπὸ τῶν δύο συνεδρίων, τοῦ τε τῶν συγενῶν καὶ τοῦ τῶν Μάγων ἐψηφίζοντο οἱ βασιλεῖς.

ΣΕΛΙΔ. 338, στ. 2, Ὁμορεῖ δὲ ἡ Ἀρία τῇ Βακτριανῇ, ΚΑΤΑ ΤΗΝ ΥΠΟΠΙΠΤΟΥΣΑΝ ΤΩ̃ ΟΡΕΙ ΤΩ̃ ἔχοντι τὴν Βακτριανήν.] ΗΔ (ἀμφίβολος), ΑΤ,... ΚΑΙ ΤΗΝ ΥΠΟΣΤΑΣΑΝ ΟΡΕΙ ΤΩ̃ κ. τ. λ. Ἴδ. τὰς Γαλλ. σημειώσ.—Στ. 6, Ὑποπεπτωκυῖα.] Ἐκ ΔΓ, ΑΤ, Περιπεπτωκυῖα.—Στ. 12, Ἀρτακάνα.] Ἐκ τοῦ Ἀμμιανοῦ (κγ', 6), ΑΤ, Ἀρτάκακνα.—Στ. 20, Τὸν δὲ βότρυν δίπηχυν.] Ὅπερ καὶ ἀλλαχοῦ (Μέρ. Α, σελ. 94) εἴρηκε.

ΣΕΛΙΔ. 339, στ. 1, Τῆς τε Ἀριανῆς.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 2, Ἀρτεμιτηνός.] Ἐξ ΕΔ, ΑΤ, Ἀρταμιτηνός.—Στ. 5, Τὰ μέν.] ΗΔ, ΑΤ, Τὰ μὲν γάρ.—Στ. 7, Τήν τε Σαραόζου.] Ἐκ ΔΓ (ἣν φέρει καὶ τὸ ἐμὸν ἀντίγραφον), ΑΤ, Τήν τε Τεσσαριόσου.—Στ. 14, Δάραψα.] Ἐκ ΔΓ, ΑΤ, Δάραψαν.—Στ. 17, Εὐκρατίδαν.] Ἔγραψα δωρικῶς, καθὰ φέρεται ἀνωτέρω (σελ. 337), ΑΤ, Εὐκρατίδην.

ΣΕΛΙΔ. 340, στ. 1, Κυσὶν ἐπίτηδες πρός.] Ἐκ ΔΓ (συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Κυσὶν, ἐπίτηδες δὲ πρός.—Στ. 9, Καὶ δὴ διαπορεῖν ἍΞΙΟΝ, ΗΝΊΚΑ Ἀλέξανδρος.] Ἐκ ΔΓ, ΑΤ, Καὶ δεῖ διαπορεῖν, ἡνίκα Ἀλέξανδρος. Ἑτέρα ΔΓ,... ἄξιον ἦν, ἡνίκα Ἀλέξανδρος.—Στ. 11, Εἰπεῖν.] Ἐκ ΔΓ, ΑΤ, Ποιεῖν.—Στ. 12, Παρ' αὐτοῖς.] Ἐκ ΔΓ, ΑΤ, Παρ' αὐτοῦ. Ἴσως δὲ ἡ γραφὴ τοῦ ὅλου χωρίου τοιαύτη ἦν, Καὶ δὴ διαπορεῖν ἍΞΙΟΝ ΗΝ, ΕΙ ΚΑΙ Ἀλέξανδρος κ. τ. λ.—Στ. 21, Ἐν, αὐτῇ τῇ.] Ἐκ ΔΓ προσέθηκα τὴν ἀντωνυμίαν.

ΣΕΛΙΔ. 341, στ. 13, Διαῤῥεῖν.] Ἐκ ΔΓ, ΑΤ, Διαῤῥεῖν.—Στ. 15, Τὸν Ωχον.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 20, Ἔχον τό.] ΗΔ, ΑΤ, Ἔχοντα τό.—Στ. 21, Καὶ εἰς μὲν τήν.] Διαγραπτέος μοι δοκεῖ εἶναι ὁ δεύτερος τῶν συνδέσμων· οὐ γὰρ ἀνταποδίδοται πρὸς τὸν ἐχόμενον Δέ. Ἴσως δὲ καὶ τὸν πρῶτον χρὴ διαγράφειν.

ΣΕΛΙΔ. 342, στ. 4, Τὰ ἜΞΩ τοῦ Ταύρου.] ἜΣΩ, γραπτέον εἶναι ἕτεροι ὑπέλαβον. Ἴδ. τὰς Γαλλ. σημειώσ.—Στ. 7, Οὐδὲ ἐπὶ τούς.] Ἐξ ΕΔ, ΑΤ, Οὐδὲ περὶ τούς.]—Στ. 9, Στρατιάν.] ΗΔ, ΑΤ, Στρατείαν.

ΣΕΛΙΔ. 343, στ. 6, Τοῦ μεγίστου τῆς οἰκουμένης.] ΗΔ, ΑΤ,

Τῆς μεγίστης οἰκουμένης.—Στ. 13, Ὁ ἐκ τῆς.] ΗΔ ἡ προσθήκη τοῦ πρώτου ἄρθρου.—Στ. 27, Τὸν φύντα κ. τ. λ.] Ἐκ τοῦ Κρεσφόντου, μηκέτι σωζομένου δράματος, Εὐριπίδου τὰ ἔπη, ἅπερ οὕτω μετέφρασεν ὁ Κικέρων (*Tuscul. I*, 48)·

Nam nos decebat cœtus celebrantes domum
Lugere, ubi esset aliquis in lucem editus,
Humanæ vitæ varia reputantes mala;
At qui labores morte finisset graves,
Hunc omnes amicos laude et lætitia exequi.

ΣΕΛΙΔ. 344, στ. 9, Ἱππαρίοις.] Ἴσως ἐκ τοῦ ὑποκοριστικοῦ ἑαυτοῦ, Ἱππάριον, τὸ παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσιν, ἀφαιρέσει τῶν ἀρχικῶν δύο στοιχείων, Φαρίον, καὶ κατὰ συγκοπὴν Φαρὶν, ἵππον ἁπλῶς σημαίνουσιν· ὃν κα Φάραν ἀρσενικῶς ἔλεγον. Οἱ δὲ Γερμανοὶ ἀφελόντες τὸ πρῶτον γράμμα, καὶ τὸ τρίτον εἰς τὸ ἀντίστοιχον τρέψαντες, Pferd καλοῦσι τὸν ἵππον. Ἕτεροι δὲ Ἀραβικὸν εἶναι βούλονται τοῦ Φαρίου ἢ Φάρα τοὔνομα.—Στ. 14, Ταπύρων.] ΗΔ (συνάδουσα τῇ ἐν τοῖς ἑξῆς γραφῇ τοῦ Στράβωνος), ΑΤ, Ταπυρίων.

ΣΕΛΙΔ. 345, στ. 2, Τῷδε, ἢ τῷδε τῷ κλίματι.] ΗΔ, ΑΤ, Τοῦδε, ἢ τοῦδε τοῦ κλίματος.—Στ. 11, Χελιδονίας.] ΗΔ (συνάδουσα τῇ ἐν τοῖς ἑξῆς γραφῇ τοῦ Στράβωνος, καὶ Στεφάνῳ τῷ Βυζαντίῳ), ΑΤ, Χελιδονίας.—Στ. 13, Μικρούς.] Ισ.γρ. Μακρούς.

ΣΕΛΙΔ. 346, στ. 5, Βασιλεισηνήν.] Ἐξ ΕΔ, ΑΤ, Λεισηνήν.

ΣΕΛΙΔ. 347, στ. 15, Περιλαμβάνουσαι.] Ἐξ ΕΔ, ΑΤ, Περιλαμβάνουσα.

ΣΕΛΙΔ. 348, στ. 9, Ἀπὸ τοῦ.] Ἰσ.γρ. Ἀπό του, ἐγκλιτικῶς.—Στ. 10, Ἡγεμόνος Ἀτροπάτου.] Ἐκ ΔΓ, ΑΤ, Ἀτροπάτου ἡγεμένος.—Στ. 11, Καὶ ταύτην.] Διαγραπτέον ἴσως τὸν σύνδεσμον, ὃν οὔθ' ὁ τὰς Χρησμοσθείας (Στράβ. Μέρ. Γ, σελ. 406) συντετακὼς ἔγραψεν, οὔθ' οἱ Λατῖνοι μεταφραστὰι ἡρμήνευσαν.—Τῆς μεγάλης.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Στ. 20, Καὶ μυρίους.] Ἐκ ΔΓ, ΑΤ, Καὶ κατὰ μυρίους.

ΣΕΛΙΔ. 349, στ. 1, Καπυρωθεῖσιν.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, συνάδουσαν καὶ τοῖς ἀντιγράφοις, ΑΤ, Καταπυρωθεῖσιν. Ἔστι δὲ τὸ Καπυροῦσθαι, καταξηραίνεσθαι (ἐφ' ἧς ἐννοίας ἀνωτέρω, Μέρ. Α, σελ. 257, Στράβων ἐχρήσατο τῇ λέξει), κατεσθίεσθαι, κατακιβρώσκεσθαι. Καὶ ἴσως ἐντεῦθεν ἐστὶ διορθοῦν καὶ τὸν Ἡσύχιον·

« Κραμβαλίζουσι, καπυρίζουσι, ΚΑΤΑΣΕΙΟΥΣΙΝ » γράφοντας ΚΑΤΕΣΘΙΟΥΣΙΝ. Λέγει δ' ὁ αὐτὸς Ἡσύχιος, « Κραμβαλίος, ξηρὸς καὶ » καπυρός »—Στ. 3, Περικόπτονται.] Κλίπτονται, συλαγωγοῦνται, λεηλατοῦνται. ὅθεν καὶ « Περικόπται, κλῶπες » παρὰ τῷ Φωτίῳ. — Στ. 10, Οὐέρα.] ΗΔ, ΑΤ, Οὔερα.—Στ. 16, Ἄλλα εὐδαίμονα.] Ἐκ ΔΓ, ΑΤ, Ἀλλ' εὐδαίμονα.—Στ. 25, Ἀριανῶν.] Ἀρμενίων, εἰκασε γραπτέον εἶναι ὁ Δουβείλης. Μῶν Ἀλβανῶν; οὓς ἀνωτέρω (σελ. 318) ἐξ μυριάδας ἀνδρῶν ὁπλίζειν εἰρηκε.

ΣΕΛΙΔ. 350, στ. 3, Ὃν ἐκεῖνος.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Ὃν, ὡς εἰκὸς, ἐκεῖνος.—Στ. 8, Σταθίων ἐποίησε, πλέον.] Ὁ κακῶς ἐξίχθη ὑπὸ τῶν τυπογράφων, ςιζίσθω, Σταδίων, ἐποίησε πλέον.—Στ. 15, ΗΝ τὰ Ἐκβάτανα... χειμάδιον τοῖς Πέρσαις. Ὁμοίως ΔΕ ΚΑΙ τοῖς ἐκείνους κ. τ. λ.] Κενὸν κατέλιπον τόπον μετὰ τὸ Ἐκβάτανα, δηλῶσαι βουλόμενος τὸ κολοβὸν τοῦ χωρίου. Αὐτὸς γὰρ ὁ Στράβων μικρὸν ἀνωτέρω (σελ. 348) εἴρηκε τοὺς βασιλεῖς θερίζειν μὲν ἐν Ἐκβατάνοις, χειμάζειν δὲ ἐν Σελευκείᾳ· ταὐτὸ δὲ τοῦτο ἐρεῖ καὶ μετ' ὀλίγα (ἐν τῷ τελει τῆσδε τῆς σελίδος), καὶ τρίτον αὖθις ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 367) φήσει, ὅτι τὴν πλησίον Σελευκείας Κτησιφῶντα χειμάδιον ἐποιοῦντο οἱ βασιλεῖς τῶν Παρθυαίων. Ἡ τοίνυν οὕτω χρὴ πληροῦν τὸ κενὸν, « Ἦν τὰ Ἐκβάτανα [θερινὸν βα- » σίλειον, ἡ δὲ Σελεύκεια] χειμάδιον τοῖς Πέρσαις. Ὁμοίως δὲ καὶ » τοῖς ἐκείνους κ. τ. λ. », ἢ μικρά τινα μεταποιοῦντας, οὕτω γράφειν καὶ ζίζειν, « ΗΝ τὰ Ἐκβάτανα τοῖς Πέρσαις, ὁμοίως ΚΑΙ τοῖς » ἐκείνους καταλύσασι Μακεδόσι, τοῖς τὴν Συρίαν ἔχουσι, καὶ » νῦν ἔτι τοῖς Παρθυαίων βασιλεῦσι τὴν αὐτὴν παρέχεται χρείαν » τε καὶ ἀσφάλειαν. »—Στ. 19, Παρθυαίᾳ.] Ἐκ ΔΓ, ΑΤ, Παρθυαίων.

ΣΕΛΙΔ. 351, στ. 3, Τούτοις τε.] Ἐκ ΔΓ, ΑΤ, Τούτοις δέ.—Στ. 8, Τῷ Ζάγρῳ.] Ἀρσενικῶς, καθάπερ ὠνόμασεν ἀνωτέρω (σελ. 349), Ὁ Ζάγρος· εἰρηκε δὲ (σελ. 347) καὶ Τὸ Ζάγριον ὄρος. Πολύβιος δὲ (ἑ, 44) Τὸ Ζάγρον αὐτὸ καλεῖ· οὗ καὶ τὴν λέξιν ἐφίσθω μοι παραθεῖναι μικρὰς χρῄζουσαν διορθώσεως, « Προβεβλημένη τὸ » Ζάγρου ὄρος· ὃ τὴν μὲν ἀνάβασιν ἔχει πρὸς ἑκατὸν σάδια, ΔΙΑ- » ΦΟΡΑΣ δὲ καὶ συγκλείσεις πλείους ἔχον ἐν αὐτῷ, διέζευκται κ. τ. λ. » γραπτέον γάρ, οἶμαι, ΔΙΑΦΥΑΣ, ὅπερ ἐςὶ διατομάς, διασχίσεις.— Στ. 12, Ἀπάμεια ἡ πρὸς Ῥάγαις, καὶ αὐτὴ Ῥάγα.] Τὸ μὲν ἐκ ΔΓ, τὸ δ' ἐξ ΕΔ, ΑΤ, Ἀπάμεια, καὶ ἡ πρὸς Ῥαγαῖς καὶ αὐτὴ

Ράγεια.—Στ. 15, Ἀρτεμιτηνός.] Ἐξ ΕΔ, ΑΤ, Ἀρταμιτηνός.

ΣΕΛΙΔ. 352, στ. 6, Οὐ πολύ.] Ἐξ ΕΔ ἡ προσθήκη τῆς ἀρνήσεως.

ΣΕΛΙΔ. 353, στ. 1, Σεβασμὸς θεοπρεπὴς κ. τ. λ.] Ὥςε καὶ θεὸν ἐπονομάζειν τὸν βασιλέα· διὸ καὶ Αἰσχύλος (Πέρσ. 155) χορὸν παράγει τῶν ἐν τοῖς βασιλείοις προκυλινδουμένων κολάκων, λέγοντα πρὸς τὴν γυναῖκα Δαρείου, μητέρα δὲ Ξέρξου,

Θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς.

—Στ. 16, Καὶ τοῦ μέν.] Ἐκ ΔΓ, ἡ προσθήκη τοῦ πρώτου συνδέσμου.—Στ. 26, Ὀρείοις· μᾶλλον δὲ τὸ τοῖς βασιλεῦσι.] Ἰσ.γρ. Ὀρείοις μόνον (ἢ μόνοις)· καὶ τὸ τοῖς βασιλεῦσι. Τὸ γὰρ Μᾶλλον οὐδ' ὁ ἀρχαίοις Λατῖνος μεταφραστὴς ἡρμήνευσε.

ΣΕΛΙΔ. 354, στ. 2, Ἐλάττους... συμφορὰν ἡγεῖσθαι.] Οὐχ οὕτως ἐκδεκτέον, ὥσπερ εἰ παρὰ τοῖς αὐτοῖς ἀεὶ καὶ οἱ ἄνδρες πολλὰς εἶχον γυναῖκας, καὶ πολλοὺς αἱ γυναῖκες ἄνδρας· ἀλλὰ παρ' οἷς μέν, πολεμοῦσι πρὸς τοὺς ὁμόρους, συνέβαινε πλείους πεσεῖν, τῶν περιγενομένων ἕκαστος ἐπάναγκες πολλὰς ἐλάμβανε γυναῖκας· παρ' οἷς δὲ πολέμιοι ἐπιδραμόντες πλείστας ἀπῆγον αἰχμαλώτους, ἐκάστῃ τῶν περιλελειμμένων διὰ τὴν αὐτὴν ἀνάγκην πολλοῖς ἀνδράσιν ἐμίγνυτο (Ἴδε τὸν Ἄγγλον Paley, *Moral and political philosophy*, *vol. I*, pag. 319).—Στ. 7, Φωχθέντων.] Ἐκ ΔΓ, ΑΤ, Φρυχθέντων. —Στ. 9, Θηρείοις.] Ἐκ ΔΓ, ΑΤ, Θηρίοις.

ΣΕΛΙΔ. 355, στ. 18, Τοῦ Ταύρου τε καὶ τῆς τοῦ Εὐφράτου ποταμίας.] Ἐξ ΕΔ, ΑΤ, Τοῦ ΤΑΥΡΟΥ τε, καὶ τοῦ Εὐφράτου Μεσοποταμίας. Ὁ δὲ Δουθείλης καὶ ΑΝΤΙΤΑΥΡΟΥ δεῖν γράφειν ᾤετο.—Στ. 21, Γορδυηνήν.] ΗΔ (καταχωρισθεῖσα πάλαι ἐν ταῖς εἰς τὸν Πλουτάρχ. Ἀλέξανδρ. σημειώσ. Μέρ. Δ, σελ. 426), ΑΤ, Γοργοδυληνήν. Παράθες τούτοις τὰ ἀνωτέρω (σελ. 347), ἐν οἷς ἔλεγεν, ὅτι μέρος τι τοῦ Ταύρου Γορδυαῖα ὄρη ἐκαλεῖτο, ἐν οἷς ἦν καὶ τὸ Μάσιον ὄρος, ὅπερ ἐξαιρόμενον ἐπὶ πλέον ἐποίει τὸν Νιφάτην.—Στ. 24, Παρατείνει.] Ἰσ.γρ. Παρατείνων.

ΣΕΛΙΔ. 356, στ. 16, Κατὰ τὰς ὑπερβολὰς ΤΩΝ ΟΡΩΝ πολλάκις καὶ συνοδίας ὅλας ἐν τῇ χιόνι καταπίνεσθαι.] ΗΔ, ΑΤ... ὅλας κατὰ τὰ ὄρη ἐν τῇ χιόνι καταπίνεσθαι. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, συνᾴδουσαί τισι τῶν ἀντιγράφων, ἔφερον... ὅλας ΤΩΝ ΟΡΩΝ ἐν τῇ χιόνι καταπίνεσθαι. ΔΓ (δίχα τῆς δευτέρας καὶ τρίτης λέξεως)... ὅλας ἐν τῇ χιόνι καταπίνεσθαι.

ἢ τοίνυν γραπτέον... ὅλας ΕΜΠΟΡΩΝ ἐν τῇ χιόνι καταπίνεσθαι, καθάπερ διώρθωκα ἐν ταῖς Χρηστομαθείαις (Μέρ. Γ, σελ. 408), ἢ ἄνωθεν ἀρξαμένους, Κατὰ τὰς ὑπερβολάς, τῶν ΕΜΠΟΡΩΝ πολλάκις καὶ συνοδίας ὅλας ἐν τῇ χιόνι καταπίνεσθαι. Ἐμπόρων συνοδίαι εἰσὶ τὰ Τουρκιστὶ καλούμενα Κιρβάνια. —Στ. 21, Ἀνορύττεσθαί τε καί.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ πρώτου συνδέσμου.—Στ. 23, Χρηστὸν ὕδωρ, ὡς ἐν ΧΙΤΩΝΙ.] Ἔγραφα ἄν, εἰ μὴ τὸ ἑξῆς Χιτώνων ἐκώλυε, ΧΙΟΝΙ, ἵν' ἦν ὁ νοῦς, Χρηστὸν ὕδωρ, ὅσον ἐνδέχεται χρηστὸν εἶναι τὸ ἐν χιόνι ὕδωρ.

ΣΕΛΙΔ. 357, στ. 12, Ἀκιλισινήν.] Γράφε, Ἀκιλισηνήν.—Στ. 19, Τὸ τεῖχος.] ΔΓ (ἀμείνων) Τοῦ τείχους.—Στ. 22, Ἀρταουάσδου.] ΗΔ (ἵνα συμφωνῇ τῇ ἀνωτέρω, στλ. 350, γραφῇ), ΑΤ, Ἀρταβάσδου.—Στ. 24, Ἀρταγήρας.] Πληθυντικῶς, ἀπ' εὐθείας τῆς, Ἡ Ἀρτάγηρα.

ΣΕΛΙΔ. 358, στ. 7, Κυνέα μεθερμηνευθεῖσα.] ΗΔ, ΑΤ, Κυνιανὴ ἑρμηνευθεῖσα. Εἴρηκε δ' ἀλλαχοῦ (Μέρ. Α, σελ. 284), « Τοῦτο δὲ μεθερμηνευθὲν Νοθουμκώμουμ λέγεται. » Καὶ αὖθις (Μέρ. Γ, σελ. 159), « Καὶ τοὔνομα μεθερμηνευθὲν ἐστι Καμήλου » οἶκος. »—Στ. 10, Ῥήττει.] Ἐκ ΔΓ, ΑΤ, Ῥύπτει.—Στ. 13, Διὰ τὴν ὀξύτητα... Τίγριν καλούντων τὸ τόξευμα.] Τίρ οἱ Πέρσαι νῦν καλοῦσι τὸ βέλος τοῦ τόξου. Τοιοῦτον δέ τι ἐμφαίνει καὶ ὁ Ἡσύχιος, λέγων, « Τιήρη τὸ ὀξύ· Πέρσαι. »—Στ. 24, Καὶ ἐν τοῖς.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 359, στ. 3, Ἀνεῴχθη.] ΗΔ, ΑΤ, Ἀνήχθη. Εἴρηκε δὲ καὶ ἀνωτέρω (σελ. 116) « Μέταλλον ἀνέῳξαν. »—Στ. 9, Μιθριακοῖς.] Ἐξ ΕΔ, ΑΤ, Μιθρακηνοῖς. Εἰς τὸ Θύεσθαι τῷ Μίθρᾳ, οὗ ἡ ἑορτὴ ἐκαλεῖτο, Τὰ Μιθριακά.—Στ. 15, Καὶ τῆς δυνάμεως τῆς χώρας.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τῆς χώρας τῆς δυνάμεως.—Στ. 16, Τῷ Ἀρταουάσδου.] Ἐπανόρθου τὸ τυπογραφικὸν σφάλμα, γράφων, Τῷ πατρὶ τοῦ Ἀρταουάσδου.—Στ. 19, Ἱππάρχῳ δέ.] Ἐξ ΕΔ, ΑΤ, Ἐπάρχῳ δέ. Ἴσως δὲ καὶ διαγραπτέον ὅλως ἀμφότερα· παρὰ γὰρ τῷ Πλουτάρχῳ (Πομπ. § 33) οὐδέτερον εὕρηται, λέγοντι, « Στρατιώτῃ » μὲν ἡμίμναιον, ἑκατοντάρχῃ δὲ μναῖ δέκα, χιλιάρχῳ δὲ τάλαντον. » Σκόπει δὲ καὶ, ὅτι ἀντὶ τῶν παρὰ Στράβωνι Πεντήκοντα καὶ ἑκατὸν δραχμῶν, ὁ Πλούταρχος, ἡμίμναιον εἴρηκεν (ὃ δύνανται δραχμὰς πεντήκοντα)· ὅθεν οἶμαι καὶ παρὰ τῷ Στράβωνι γραπτέον εἶναι, Πεντήκοντα δραχμὰς, διαγράφοντας τὸ ἑπόμενον, Καὶ ἑκατόν.

ΣΕΛΙΔ. 360, στ. 6, Κυρσίλον.] Ἴσως, Μυρσίλον, ὡς ὑπονοεῖ

παρέχει ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς, παρ' ᾧ Mysilius Μυσίλιος (τυπογράφων ἴσως ἁμαρτίᾳ) γέγραπται. Εὕρηται μέντοι καὶ τὸ ὀρθὸν τοῦ Χ κύριον Κυρσίλος παρὰ τῷ Δημοσθένει (Περὶ Στεφάν. σελ. 296).—Στ. 12, Θετταλικούς.] ΗΔ (ἦν καὶ ἕτεροι ὑπενόησαν), ΑΤ, Αἰτωλικούς.—Στ. 18, Μίμησιν, τὴν τῶν ὑποκριτῶν διασκευήν.] ΗΔ, ΑΤ, Μίμησιν· τὴν τῶν ὑποκριτῶν δὲ διασκευήν.—Στ. 21, Κατεσκύασαν.] ΗΔ (συνάδουσα τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει), ΑΤ, Κατέσκαψαν.

ΣΕΛΙΔ. 361, στ. 1, Καὶ τὸν ἐν Ἀρμενίᾳ δὲ, ἀπό.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τοῦτον ἐν Ἀρμενίᾳ ἀπό.—Στ. 14, Οἰκῆσαι.] Ἴσ.γρ. Οἰκίσαι.—Στ. 15, Νίβαρον.] ΗΔ (συνάδουσα ὥπερ ἀνωτέρω, σελ. 355 προσηγόρευσεν αὐτὸν ὀνόματι), ΑΤ, Ἴμβαρον.—Στ. 16, Τὸν Ἀβάριδος.] Ἐκ ΔΓ, ΑΤ, Τὸν τῆς Ἀβάριδος. Ἑτέρα ΔΓ, Τὸν τῆς Βάριδος.—Στ. 18, Σαραπάρας.] Περσικὸν εἶναί φησι τοὔνομα συγκείμενον, ἐκ τοῦ Σάρα, ὃ ἐστι κεφαλὴ, καὶ τοῦ Πάρα, τοῦ σημαίνοντος τὸ χωρίζειν ἢ ἀπομερίζειν.—Οἷον κεφαλοτόμους.] Διαγραπτέον ἴσως τὰς δύο ταύτας λέξεις, ἵνα μὴ δὶς ταὐτὰ λέγῃ.—Στ. 20, Περισκελιςάς.] ΔΓ, Περισκυθιςάς. Καὶ τοῦτο μὲν ἂν εἴη, ἀποδειροτόμους· οἱ δὲ Περισκελισαὶ (ἦν γνησίαν εἶναι οἶμαι γραφὴν) εἰσὶν, οὓς οἱ Γάλλοι coupe-jarrets καλοῦσι.

ΣΕΛΙΔ. 362, στ. 12, Ἀρτάνης.] Γραπτέον Ἀρσάκης· καθὰ φέρεται παρὰ τῷ Βυζαντίῳ Στεφάνῳ (λέξ. Σωφηνὴ), τοῦτο παρατιθεμένῳ Στράβωνος τὸ χωρίον.—Στ. 23, Τῆς Ἰβηρίας.] Γραφὴ προδήλως ἡμαρτημένη, περὶ ἧς ἔπιθι τὰς Γαλλικὰς σημειώσεις.

ΣΕΛΙΔ. 363, στ. 16, Ἡρόδοτος λέγει.] Ἔπιθι τὸν Ἡρόδοτον (ά, 93)· Πασφυσίρους μέντοι τὸ περὶ τῶν Βαβυλωνίων γυναικῶν ἱστορούμενον παρὰ τῷ αὐτῷ Ἡροδότῳ (ά, 199) ἐνθάδε ἂν ὁ Στράβων παρέβαλ[illegible]

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 365, στ. 2, Μεταβολάς.] Ἐκ ΔΓ, ΑΤ, Τὰς μεταβολάς.—Στ. 7, Ἐποικησάντων.] ΗΔ, ΑΤ, Μετοικησάντων.

ΣΕΛΙΔ. 366, στ. 22, Ἡρόδοτος... κωλεῖ.] Κατ' ἀρχὰς τῆς ἱστορίας (ά, 6).

ΣΕΛΙΔ. 367, στ. 4, Ἡ Ἐπίκτητος.] Ἐλλειπτικῶς τοῦ Φρυγία, ἣν ἐν τοῖς ἑξῆς (σελ. 380, 409 καὶ 414) καὶ Ἐφ' Ἑλλησπόντῳ

Φρυγίαν, καὶ Ἑλλησποντιακὴν Φρυγίαν καλεῖ.—Ἑλλησποντία.] Ἡ περὶ Ἄβυδον χώρα.

ΣΕΛΙΔ. 368, στ. 7, Σωφήνῃ.] Πιθανῶς ὁ Γερμανὸς ἐκδότης γραπτέον εἶναι ὑπενόησε, Σωφηνῷ, κατ' ἐθνικὸν τύπον, ἵν' ᾖ ὁ ἡγεμὼν τῆς Σωφηνῆς καλουμένης χώρας, οὗπερ ἐμνημόνευσεν ἀνωτέρω (σελ. 362).

ΣΕΛΙΔ. 369, στ. 2, Μᾶς.] Ἐκ ΔΓ καὶ ΗΔ, ΑΤ, Κόμανα. Ἐπιθὲ τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 2, Μέντοι τὸ τῶν.] Ἐκ ΔΓ προσείληφα τὸ πρῶτον ἄρθρον.—Στ. 14, Κόμην... ἀφ' ἧς καὶ τοὔνομα τῇ πόλει.] Τὸ Κόμανα καλεῖσθαι.—Στ. 20, Καθαρόν ἐστι.] Τῶν κριτικῶν τις γράφειν παρήνει, Καθαρᾶν ἐστι, καθάπερ ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει καὶ διώρθωκα ἐν ταῖς Χρησμαθείαις (Μέρ. Γ, σελ. 409).—Στ. 23, Βαπτίζεσθαι αὐτό. Τῷ δὲ βάθει.] Ἐξ ΕΔ, ΑΤ, Βαπτίζεσθαι· ἁπλίτῳ δὲ βάθει.

ΣΕΛΙΔ. 370, στ. 8, Ὀχετῷ πλατεῖ.] ΗΔ, ΑΤ, Ὀχετοῦ πλάτει. Τὰς δ' ἐπὶ τέλει τοῦ ςίχου τέσσαρας λέξεις, Μῆκος περὶ χιλίους ςαδίους, προσθεῖναι δεῖν ἔγνων ἐκ τῶν Χρησμαθειῶν (Μέρ. Γ, σελ. 410).—Στ. 13, Κιλικίων.] Ἐκ ΔΓ, ΑΤ, Κιλίκων.—Στ. 15, Ἔσσεται κ. τ. λ.] Ταὐτὰ ταῦτα παρίθετο καὶ ἐν τοῖς πράσθεν (Μέρ. Α, σελ. 68).—Στ. 20, Πρότερον, ΟΥΠΩ, ΩΣ ΝΥΝΙ, πρόσγειον οὖσαν.] ΗΔ, ΑΤ, Πρότερον ΟΥΤΩ, ΝΥΝΙ πρόσγειον οὖσαν. Τῶν πρὸ τοῦ Γερμανοῦ ἐκδόσεων, αἱ μὲν φέρουσι, Πρότερον, ΟΥΠΩ ΝΥΝΙ πρόσγειον οὖσαν, αἱ δὲ, Πρότερον ΕΙΠΕ, ΝΥΝΙ πρόσγειον οὖσαν. Καὶ ἴσως ἀμείνων αὕτη ἡ γραφή. Ἔςι δὲ καὶ συντομωτέρως γράφειν, Πρότερον, ΟΥΧ, ΩΣ ΝΥΝΙ, πρόσγειον οὖσαν.—Στ. 22, Δακινοῦ, λειπομένη μίν.] Ἐξ ΕΔ (πλὴν οὗπερ αὐτὸς προσέθηκα συνδέσμου), ΑΤ, Δακίη, οὐ λειπομένην.

ΣΕΛΙΔ. 371, στ. 5, Οὐδ' αἱ ἄλλαι δέ.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ αἱ ἄλλαι.—Στ. 8, Καρμάλας.] ΗΔ, ΑΤ, Κάρμαλος. Δηλοῖ δὲ τὴν κλίσιν ἥ τε μικρὸν ἀνωτέρω δοτικὴ, καὶ ἡ ἐν τοῖς ἑξῆς (σελ. 374) γενική.—Στ. 13, Βασιλείου καὶ πόλεως.] ΗΔ, ΑΤ, Βασίλειον καὶ πόλεως· ἔςι δ' ἔτι γράφειν, (καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων), Βασίλειον πόλεως, ἀσυνδέτως.—Στ. 14, Ὀρων τῶν Λυκαονικῶν τὰ Ταρσάουρα, κωμόπολις· λέγεται δ' ὑπάρξαι.] ΗΔ, ΑΤ, Ὀρῶν τῶν Λυκαονικῶν· τὰ γὰρ Σαύηρα κωμόπολις ΛΕΓΕΤΑΙ ΥΠΑΡΞΑΙ. Ἐπιθὲ τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 23,

Ὑποσπτωκυΐαν.] ΗΔ, ΑΤ, Ὑποπεπτωκυῖα.—Στ. 25, Καλεῖται δὲ καί.] ΗΔ ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου.

ΣΕΛΙΔ. 372, στ. 1, Τετειχισμένη.] Ἐκ τοῦ ἐμοῦ μόνου ἀντιγράφου, ΑΤ, Τετειχισμένῳ.—Στ. 27, Μεσὰ βόθρων.] Ἐξ ΕΔ, ΑΤ, Μεσὰ βάραθρα.

ΣΕΛΙΔ. 373, στ. 18, Πλαταμῶνες.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 141) σημειωθέντα μοι περὶ τῆς λέξιως.

ΣΕΛΙΔ. 374, στ. 4, Ἤρπα.] Γράφε, Ἥρπαν (ἀπὸ τῆς εὐθείας, Ἡ Ἥρπα), καθὰ φέρεται ἔν τισιν ἀντιγράφοις.—Στ. 8, Χωρίον πρὸς κατοικίαν ὂν, μάλιστα.] ΗΔ (συνάδουσα τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει), ΑΤ, Χωρίον, ὃ πρὸς κατοικίαν μάλιστα. Ἔστι δὲ καὶ οὕτω διορθοῦν, Χωρίον ὂν πρὸς κατοικίαν, μάλιστα.—Στ. 13, Ἀσφάλειαν ΑΥΤΩΝ τε καὶ τῶν σωμάτων ΚΑΙ ΤΩΝ ΧΡΗΜΑΤΩΝ εἶχον ἐν τοῖς φρουρίοις.] ΗΔ, ΑΤ, Ἀσφάλειαν ΤΗΝ ΑΥΤΩΝ τε καὶ σωμάτων ΕΚ ΤΩΝ ΕΡΥΜΑΤΙΩΝ εἶχον, τῶν ἐν τοῖς φρουρίοις. Τῶν ἀντιγράφων ἐν μέν τισι λείπει τὸ πρῶτον ἄρθρον, ΤΗΝ· ἐν ἑτέροις δὲ τὸ ΕΚ ΤΩΝ ΕΡΥΜΑΤΩΝ (ὅπερ αὐτὸς τρίπειν δεῖν ἔγνων εἰς τὸ ΚΑΙ ΤΩΝ ΧΡΗΜΑΤΩΝ)· ἄλλα δὲ φέρουσι, Καὶ σωμάτων εἶχον τὸ ἐν φρουρίοις· τινὰ δὲ καὶ τὸ πρὸ τοῦ Φρουρίοις ἄρθρον παρέλιπον.—Στ. 21, Νομωδὸν.] Ἰσ.γρ. Νομωρὸν, τουτέστι νομοφύλακα, καθάπερ εἴκασα ἐν ταῖς Γαλλικαῖς σημειώσεσι.

ΣΕΛΙΔ. 375, στ. 8, Μόλις.] Ἐκ ΔΓ, ΑΤ, Καὶ μόλις. Παράθες τούτοις ἅπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 95) εἴρηκε περὶ τῆς Βαγαδαονίας.—Στ. 9, Γαρσάουρα.] ΗΔ, ΑΤ, Γαρσαυρίαν. ΔΓ, Γαρσαυίρα: Σάργαυσα. Ὁ δὲ ἀρχαῖος Λατῖνος μεταφράσας Garsauram, ὅ ἐστι Γαρσαούραν. Καὶ τὰ μὲν Γαρσάουρα ἡ Κωμόπολίς ἐστιν, ἧς ἀνωτέρω (σελ. 371) ἐμνημόνευσε, καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 47) μνημονεύσει. Ἡ δὲ Γαρσαυρία (εἴ γε προκριτὴ τὴν ἐκδεδομένην γραφὴν), ἣν ὁ Πτολεμαῖος Γαρσαουρίαν καλεῖ, εἴη ἂν ἡ χώρα, ἡ ἐν τοῖς πρόσθεν (σελ. 367) Γαρσαυρῖται ὀνομασθεῖσα τῷ Στράβωνι.—Στ. 12, Ἐστὶν αὐτῇ καὶ ἡ Ἰβηρική.] Ἄμεινον ἂν ἐφράζετο, Ἐστὶν αὕτη καὶ τῇ Ἰβηρικῇ.—Στ. 16, Εὑρίσθαι.] Ἰσ.γρ. Εὑρῆσθαι.—Στ. 18, Ἐμφιρούς.] ΗΔ, ΑΤ, Ἐμφερῆς. Ἕτερος δέ τις τῶν κριτικῶν, μεταποιῶν τὸ προηγούμενον, Λίθου λευκοῦ, εἰς τὸ Λίθους λευκοὺς, ἔγραφεν Ἐμφερεῖς.—Στ. 19, Ἄλλος.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Ἄλλως.—Δ' εἰς τὰς διόπτρας.] ΗΔ, ΑΤ, Δὲ τὰς διόπτρας. Ὁ δὲ Σαλμάσιος

ὡστο δεῖν γράφειν, Δὲ ταῖς διόπτραις· ἕτερος δέ τις, Δὲ εἰς διόπτρας.

ΣΕΛΙΔ. 376, στ. 1, Καὶ φιλίας.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 4, Αὐτῷ τε καὶ τῷ ἔθνει.] ΗΔ, ΑΤ, Καὶ αὐτῷ τε τῷ ἔθνει.—Στ. 12, Προελθὸν τὸ γένος.] ΗΔ, ΑΤ, Προελθόντος τοῦ γένους.—Στ. 13, Οὐδὲν ΠΡΟΣΗΚΩΝ αὐτοῖς.] Οὐκ ὢν συγγενὴς τοῖς Καππάδοξιν. Ἔν τισι μέντοι τῶν ἀντιγράφων φέρεται, ΠΡΟΣΗΚΟΝ· ἀντὶ δὲ τῆς πληθυντικῆς ἀντωνυμίας ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς εἴρηκεν illi, ὅ ἐστιν Αὐτῷ. Καὶ οὗτος μὲν κακῶς ἐξεδέξατο ἐπὶ τοῦ, Οὐδὲν προσήκων τῷ Ἀριοβαρζάνῃ ὁ Ἀρχέλαος. Ἡ δ' οὖν ἀρχαία γραφὴ ἔοικεν εἶναι, Οὐδὲν προσῆκον αὐτῷ, κατ' αἰτιατικὴν τὴν καλουμένην ἀπόλυτον· τουτέστι, Κατεσάθη βασιλεὺς Ἀρχέλαος, καίπερ οὐδὲν προσηκούσης αὐτῷ τῆς βασιλείας.—Στ. 19, Καὶ τῆς ἐντός.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὴν ἐντός.—Στ. 25, Καὶ τὰ μέν.] Εἰ μὴ ἀποδέχῃ ὃν προσέθηκα πρῶτον σύνδεσμον, γράφε, Τὰ μέντοι, καθὰ φέρεται ἐν ἑνὶ μόνῳ ἀντιγράφῳ.

ΣΕΛΙΔ. 377, στ. 3, Μεταξὺ ΔΕ, ΤΩΝ ΠΑΦΛΑΓΟΝΩΝ ΚΑΙ ΤΩΝ ΜΕΣΟΓΑΙΩΝ.] Οὕτως τὸ ἐμὸν ἀντίγραφον, πλὴν τοῦ πρώτου συνδέσμου (ΔΕ), ΑΤ, Μεταξὺ δὲ τῶν μεσογαίων. Ἕτεραι ΔΓ, Μεταξύ τε τῶν Παφλαγόνων τῶν μεσογαίων: Καὶ μεταξὺ τῶν Παφλαγόνων τῶν μεσογαίων. Ὀρθῶς ἂν γράφοις, γράφων, Μεταξὺ δέ, τῶν Παφλαγόνων τῶν μεσογαίων· ὁ γὰρ νοῦς, Μεταξὺ δὲ τῆς χώρας ταύτης, τινὰς τῶν μεσογαίων Παφλαγόνων τοῖς ἀπὸ Πυλαιμένους βασιλεῦσι παρέδωκε. Ἔπειθε τὰ ἑξῆς (σελ. 382).—Στ. 5, Πυλαιμένους.] Τοῦ παρ' Ὁμήρῳ (Ἰλιάδ. β', 851) δηλονότι.—Στ. 16, Πόντου. Ἐν δεξιᾷ δὲ τὰ προσεχῆ Χαλκηδόνι.] Ἐκ ΔΓ, ΑΤ, Πόντου Θρακικά· ἐν δεξιᾷ δὲ τὰ προσεχῆ, Καλχηδόνια.—Στ. 21, Ἐπῆρξεν.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆρξεν.—Στ. 23, Χαλκηδόνος.] ΗΔ (συνάδουσα τοῖς Λατίνοις μεταφραστῆς), ΑΤ, Καλχηδόνος.—Στ. 24, Συνέμενε.] Ἱσ.γρ. Συνέμεινε.

ΣΕΛΙΔ. 378, στ. 9, Μοισῶν.] ΗΔ, ΑΤ, Μυσῶν. Παράβαλε ταῦτα τοῖς ἐν τοῖς πρόσθεν (σελ. 10-12) εἰρημένοις τῷ Στράβωνι.—Στ. 13 καὶ 20, Μιλησίων... Μιλήσιοι.] Δεῖν γράφειν εἴρηκα ἐν ταῖς Γαλλικαῖς σημειώσεσι, Μεγαρέων... Μεγαρεῖς.—Στ. 19, Εἴρηται.] Ἱσ.γρ. Εἴρηκε, δηλονότι ὁ Θεόπομπος.

ΣΕΛΙΔ. 379, στ. 7, Κρῶμνάν τ'.] Ἐκ τῆς Ἰλιάδος (β', 855).—

Στ. 12, Οὓς ἡμεῖς.] ΗΔ (ἐν τῷ ἐμῷ ἀντιγράφῳ τοῦ συνδέσμου ὑπὸ τοῦ πρώτου γράψαντος ὀρθῶς παραλειφθέντος, ὑφὲ δὲ ὑφ' ἑτέρου τινὸς προσθέντος), ΑΤ, Οὓς καὶ ἡμεῖς. — Προσαγορεύομεν, τό τι τῶν.] ΗΔ, ΑΤ, Προσαγορεύομεν· τὸ δὲ τῶν. — Στ. 23, Δομνεκλείου.] Ἐκ ΔΓ, ΑΤ, Δομνεκλείου.

ΣΕΛΙΔ. 380, στ. 4, Καὶ ὁ Σαγγάριος.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου προσείληφα τὸ ἄρθρον. — Στ. 9, Ἀπέχειν.] ΗΔ, ΑΤ, Ἀποσχεῖν. — Στ. 10, Μικρῷ... καθ' ὃ.] Ἐκ ΔΓ, ΑΤ, Μικρόν... καθ' οὗς. — Στ. 19, Τίτιόν ἐστι.] Ἐκ ΔΓ, ΑΤ, Τίτιον ἤδη. — Στ. 20, Φιλέταιρος.] Περὶ οὗ ἐν τοῖς ἑξῆς (σελ. 500) ἐρεῖ πλατύτερον. — Στ. 26, Παφλαγόνων κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος (β', 851). Τὸ δὲ Ἡμιόνων ἀγροτεράων τοῦ Ποιητοῦ, οἱ μὲν ἐπὶ τῶν καὶ νῦν πᾶσι γνωρίμων ἡμιόνων ἐξεδέξαντο· οἱ δὲ ἕτερόν τι εἶδος ζώου εἶναι μεταξὺ ὄνου καὶ ἵππου, ἐπιχωριάζον τῇ Δαυρίᾳ, καὶ καλούμενον, Ἡμίονος Δαυριακὸς γόνιμος (Mulus Dauricus fœcundus) τοῖς νῦν ζωολόγοις· ὃ καὶ πιθανώτερον ἐμοὶ δοκεῖ. Ἐπιθὲ τὸν ἱστορήσαντα τὰ περὶ τοῦ γονίμου τούτου ἡμιόνου Πάλλαν (Pallas, *Premier voyag. tom. V*, pag. 426).

ΣΕΛΙΔ. 381, στ. 2, αἰγιαλῷ.] Γράφε διὰ κεφαλαίου Α, Αἰγιαλῷ. Κύριον γὰρ ἐνθάδε, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς (σελ. 382). — Στ. 9, Τὴν τῆς Τροίας.] Ἐκ ΔΓ προσείληφα τὸ δεύτερον ἄρθρον. — Στ. 15, Ποταμὸς, ὃς, ῥέων... Παφλαγόνων, ἐξίησι.] ΗΔ, ΑΤ, Ποταμὸς, ῥέων... Παφλαγόνων· καὶ ἐξίησι. Ἐπιθὲ τὸν Ἡρόδοτον (ά, 6). — Στ. 21, Τὴν χρόαν, ΤΟΥΤΩΝ δὲ μὴ, τοιαύτην κ. τ. λ.] ΗΔ ἡ ζῖζις (τρεψάντων ἐκ ΔΓ καὶ τὴν δοτικὴν εἰς γενικὴν), ΑΤ, Τὴν χρόαν· ΤΟΥΤΟΙΣ δὲ μὴ τοιαύτην. Ὁ γὰρ νεὼς καὶ ἡ συνάρτησις, Ἐπικαυμένων τὴν χρόαν ἐκείνων (τῶν ἔξω τοῦ Ταύρου Σύρων ὀνομάζουσι), τούτων δὲ τῶν ἐντὸς τοῦ Ταύρου μὴ ἐπικεκαυμένων τὴν χρόαν, συνέβη τούτους (τοὺς ἐντὸς τοῦ Ταύρου) Λευκοσύρους ἐπονομασθῆναι. — Στ. 24, Ἡ δὲ Θεμίσκυρά ἐστιν Ἡ τῶν Ἀμισηνῶν.] Διαγραπτέον, οἶμαι, τὸ δεύτερον ἄρθρον, γράφοντας... ἐστὶ τῶν Ἀμισηνῶν. — Στ. 25, Αὕτη δέ.] Ἡ πόλις Ἀμισὸς (καθάπερ ἐκδηλότερον λέγεται ἐν τοῖς ἑξῆς σελ. 594)· ὑπονοεῖται δ' ἐνθάδε ἐκ τοῦ ἐθνικοῦ Ἀμισηνῶν. Τοῦτο δὲ ἑρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει, Themiscyra... appartient aux Amisènes, qui sont des *Leucosyri* situés au-delà de l'Halys, ἀκριβέστερον ἂν ἑρμηνεύσας οὕτως, The-

miscyra... appartient aux habitans d'Amisus, qui est une ville des *Leucosyri* situés, *etc.*

ΣΕΛΙΔ. 382, στ. 8, Περὶ μὲν δὴ τῶν ἐν τῇ μεσογαίᾳ Παφλαγόνων.] Ἔπιθι ἅπερ ἀνωτέρω (σελ. 377) εἴρηκε, καὶ τὰ ἐκεῖ σημειωθέντα μοι.

ΣΕΛΙΔ. 383, στ. 9, Ὃς ἔργον οὐκ εἶχ'.] ΗΔ, ΑΤ, Ὅσις ἔργον οὐδὲν εἶχεν. Ἐν δὲ ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 412) ἐγράφετο, Ὃς ἔργον οὐκ εἶχεν, διορθωσάντων ἡμῶν κἀκεῖ τῇ ἐκθλίψει τῆς τελευτσίας τοῦ ῥήματος, ἵν' εἴη καθαρῶς ἰαμβικὸν τὸ μέτρον. — Στ. 13, Ἐπῆρχε.] Ἐκ ΔΓ, ΑΤ, Ὑπῆρχε.—Στ. 15, Οὐ διά.] ΗΔ, ΑΤ, Οὐδὲ διά.—Στ. 19, Ἐτράφη.] Ἴσως κἀνθάδε γραπτέον, Ἐτάφη, καθὰ φέρεται ἐν ταῖς Χρησομαθείαις. Ἔπιθι τὰ περὶ τούτου σημειωθέντα μοι (Μέρ. Γ, Πρὸς τὸν ἀναγνώς. σελ. ε').—Στ. 23, Ναύσαθμα.] Ἐκ ΔΓ, ΑΤ, Ναύσαθμοι.—Πηλαμυδεῖκ.] ΗΔ (οὐδετέρως ἀπ' εὐθείας τῆς Πηλαμυδεῖον), ΑΤ, Πηλαμύδια. Τὸ μὲν γὰρ διὰ διφθόγγου τόπον σημαίνει ἐν ᾧ θηρεύονται πηλαμύδες· τὸ δὲ Πηλαμύδιον, μικρὰ πηλαμύς ἐστι.—Στ. 25, Καὶ κύκλῳ.] Διάγραφε τὸν σύνδεσμον, ἄλλως τε καὶ λείποντα ἔν τισι τῶν ἀντιγράφων.—Στ. 26, Καὶ κοιλάδας.] Καὶ τοῦτον τὸν σύνδεσμον διαγράφειν δὴν ὑποτοπάζω, καὶ ζίζιεν οὕτω τὴν ὅλην περίοδον, Κύκλῳ δ' ἡ χερρόνησος προβέβληται ῥαχιώδεις ἀκτὰς, ἐχούσας κοιλάδας τινὰς κ. τ. λ.

ΣΕΛΙΔ. 384, στ. 1, Διὰ τὸ πᾶσαν.] Ἐξ ΕΔ, ΑΤ, Διὰ πᾶσαν. —Στ. 2, Εὔγειον.] Ἐκ ΔΓ, ΑΤ, Εὔγαιον.—Στ. 6, Μὲν ὑπὸ Φαρνάκου.] ΗΔ, ΑΤ, Μὲν τοῦ Φαρνάκου.—Στ. 13, Ἑάλωσαν δ' οὖν.] Ἐκ ΔΓ, ΑΤ, Ἑάλωσαν οὖν.—Στ. 17, Τῶν Ἰάσονι.] Ἐκ ΔΓ, ΑΤ, Τῶν τῷ Ἰάσονι.—Στ. 27, Πραγματευσάμενον.] Ἐκ ΔΓ, ΔΤ, Πραγματευθέντα.

ΣΕΛΙΔ. 385, στ. 1, Οὓς παροικοῖεν.] Ἐκ ΔΓ, ΑΤ, Ἃς παροικοῖεν.—Στ. 5, Σινωπῖται.] Ἐκ ΔΓ (ὧδέ τε καὶ κατωτέρω), ΑΤ, Σινωπῆται.—Στ. 6, Ἡ ὑπερκειμένη.] Ἐκ ΔΓ προσειλήφα τὸ ἄρθρον. —Στ. 15, Ζόρκες.] Τὰ ἐν τῇ συνηθείᾳ Ζαρκάδια. Εἰσὶ μέντοι οἱ τὸν Στράβωνα οὐ ταῦτα δηλοῦν φήθησαν, ἀλλὰ τὰς μαλακοτρίχους αἶγας, ἐξ ὧν ὑφαίνονται τὰ πᾶσι γνωστὰ πολυτελῆ ἱμάτια· περὶ οὗ ἐπίσχω.—Στ. 18, Τραπεζουσίαν.] ΔΓ Τραπεζουντίαν. Καὶ ἔστι μὲν ἀναλογώτερον τοῦτο, παρὰ τὸ Τραπεζοῦντος· ἔχει γε μὴν ὀρθῶς

καὶ ἡ Τραπεζουσία, σχεδόν τι κατὰ τὸ Φλιασία, ἀπὸ τοῦ Φλιοῦντος.

ΣΕΛΙΔ. 386, στ. 10, Τῆς πόλεως.] Τῆς Ἀμισοῦ· ἡ νῦν Ἀμισὸ ἢ Ἐμισὸ καλεῖται ὑπὸ τῶν Τούρκων, ὡς φησιν ὁ Ὀρτέλιος.

ΣΕΛΙΔ. 387, στ. 4, Μήλου.] Ισ.γρ. Μήλων.—Στ. 9, Εὐπορίαν] ΗΔ, ΑΤ, Εὐφορίαν.—Στ. 10, Πεδίον εὔδαιμον, οὐχ ὁμοίως δὲ καὶ κατάρρυτον.] Ὁ Ἰταλὸς μεθερμηνευτὴς ἐξέφρασεν, ὡς ἂν εἰ ἐγέγραπτο, Πεδίον οὐκ εὔδαιμον ὁμοίως, ὅμως δὲ κατάρρυτον, pianura non così fertile, irrigata però.—Στ. 13, Φαύδα.] Ἴσ.γρ. Φαύδαν, ἢ (οὐθετέρως καὶ πληθυντικῶς) Φαῦδα.—Στ. 16, Ἴωνι.] Ἐκ ΔΓ, ΑΤ, Ἴκενι· Ἴδε τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 25, Κοτύωρος.] ΗΔ (καθάπερ ἔγραψε καὶ ὁ Κελλάριος ἐν τῇ Ἀρχαίᾳ γεωγραφίᾳ (τόμ. Β, σελ. 275), ΑΤ, Κύτωρος. Ξενοφῶν δὲ καὶ Ἀρριανὸς (πληθυντικῶς καὶ οὐθετέρως) Τὰ Κοτύωρα. Καστέλλον νῦν καλεῖσθαι φησὶν ὁ Νίγρος.

ΣΕΛΙΔ. 388, στ. 5, Παραλίας.] Ἴσ.γρ. Παρωρείας. Ἴδε τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.—Στ. 7, Σάννοι, οὓς πρότερον ἐκάλουν Μάκρωνας.] Τοὺς μὲν Σάννους ὁ Εὐσάθιος (εἰς Διονύσ. τὸν Περιηγητ. 766) Τζάνους φησὶν ἰδιωτικῶς καλεῖσθαι ἐφ' ἑαυτοῦ, καὶ τὴν χώραν αὐτῶν, Τζανικήν. Τοὺς αὐτοὺς δὲ λέγει Στράβων τοῖς Μάκρωσιν· ἐγὼ δ' οἶμαι καὶ τοῖς Μακροπώγωσιν, ὧν ἐμνημόνευσεν ἀνωτέρω (σελ. 303), καὶ τοῖς παρ' Ἱπποκράτει Μακροκεφάλοις. Ἴδε τὰ σημειωθέντα μοι Γαλλιστὶ εἰς τὸν Στράβωνα tom. IV, part. II, pag. 41, not. 1) καὶ εἰς τὸν Ἱπποκράτην (Περὶ ἀέρ. ὑδ. τόπ. tom. II, *pag.* 223). Τοῦτο δὲ λέγω, οὐχ ἑνί τινι τόπῳ, ἢ ἔθνει ἀφορίζων τοὺς τέχνῃ τὰς κεφαλὰς μακρὰς ἔχοντας· εἰκὸς γὰρ πολλὰ τῶν περὶ τὸν Καύκασον ἐθνῶν, τὰ μὲν ἐν τῇ Κολχίδι, τὰ δὲ βορειότερα, ἢ νοτιώτερα τῆς Κολχίδος ἐπιτηδεῦσαι τοῦτο· ἰδοὺ γὰρ καὶ τοὺς Σιγίννους, ἕτερον Καυκάσιον ἔθνος, μακρὰς ἔχον τὰς κεφαλὰς ἐκ τέχνης, ἱστόρηκεν ἀνωτέρω (σελ. 344) ὁ Στράβων. Καὶ ἐν τῇ Ταυρικῇ δὲ χερσονήσῳ (τῇ νῦν Κρίμε καλουμένῃ), εἰσὶν ὀρεινοὶ Σκύθαι μακρὰς ἔχοντες τὰς κεφαλὰς, ὡς ἱστορεῖ Πάλλας (Pallas, *Second voyag. tom. III*, pag. 181 *et* 193), αὐτὸς θεασάμενος.—Στ. 8, Ἀππαῖται.] Εἴ γε οἱ αὐτοὶ εἰσὶ τοῖς νῦν καλουμένοις Ἀβάσσαις (Abasses), τοῖς ἐπὶ τάδε τοῦ Καυκάσου οἰκοῦσι, καὶ μέχρι Διοσκουριάδος παρατείνουσιν, εὗρηκε καὶ παρὰ τούτοις τὸ μακροκέφαλον ὁ Πάλλας (Pallas, *Second voyag. tom. II*, p. 120).

—Στ. 9,

—Στ. 9, Κερκῖται.] Γράφε, Κερκέται, καθὰ φέρεται ἐν τινι τῶν ἀντιγράφων· οἱ αὐτοὶ γὰρ εἰσι τοῖς ἀνωτέρω (σελ. 303) μνημονευθεῖσι.—Στ. 22, Τοῦ Μαινομένου μέλιτος.] Τοῦ μαίνεσθαι ποιοῦντος μέλιτος. Οὕτω καὶ Πλίνιος (XXI, 13) κυρίως Μαινόμενον ὀνομάζει, καὶ γίνεσθαί φησιν αὐτὸ παρὰ τοῖς Σάννοις, Gente Sannorum, mellis, quod ab insania, quam gignit, *Maenomenon* vocant. Καὶ οἱ ἐγχώριοι δὲ μέχρι δεῦρο Δελεμπὰλ τῇ Τούρκων φωνῇ, Μαινόμενον μέλι, καλοῦσιν αὐτό. Ἱστόρηκε δὲ καὶ Ξενοφῶν (Κύρ. ἀναβάσ. δ', 8, § 20) τὴν συμβᾶσαν ἀπὸ τούτου μανίαν τοῖς Κύρῳ συναναβᾶσιν Ἕλλησιν, ἡνίκα ἐπανιόντες οἴκαδε κατὰ τοὺς Κόλχους ἐγένοντο.

ΣΕΛΙΔ. 389, στ. 2, Πηλαμηδείας.] Ἐκ ΔΓ, ΑΤ, Πηλαμυδίας.—Στ. 5, Ὑπέρκειται δὲ αὐτῆς.] Ἐκ ΔΓ, ΑΤ, Ὑπέρκειται γὰρ εὐθύς.—Στ. 10, Κορδύλης τε καὶ Θύννης... πηλαμύδος.] Ἔπιθι τὰ διὰ μακρῶν εἰρημένα μοι ἐν ταῖς εἰς τὸν Ξενοκράτην σημειώσεσιν, ἀναλιξάμενος ἐν τῷ Πίνακι τῶν λέξεων τὰ ὀνόματα.—Στ. 12, Τούτους μὲν οὖν οὗτοι κατακόπτουσι.] ΗΔ, ΑΤ, Οὓς μόνοι οὗτοι κατακόπτουσι. Τὸ γὰρ Μόνοι οὐ μόνον λείπει ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, ἀλλ' οὐδ' ἀληθές ἐστιν ὅλως τὸ παρὰ τούτοις μόνοις γίνεσθαι τὸ λεγόμενον, καθάπερ ἔδειξα ἐν ταῖς εἰς τὴν Γαλλικὴν μετάφρασιν σημειώσεσι.—Στ. 17, Αὐτὰρ Ἀλιζώνων.] Ἐκ τῆς Ἰλιάδος, β', 856.—Στ. 27, Παρὰ Θάμνῳ.] ΗΔ (συνάδουσα τῇ ἀνωτέρω, σελ. 250, γραφῇ), ΑΤ, Περὶ Θάμνου.

ΣΕΛΙΔ. 390, στ. 10, Ποιοῦντες.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Ποιοῦσι. Ἑτέρα, ΔΓ, Μεταποιοῦντες.—Στ. 11, Τοὺς μέν, Σκύθας κ. τ. λ.] ΗΔ (καὶ ἡ γραφὴ καὶ ἡ σῖξις), ΑΤ, Τοὺς δὲ Σκύθας. Δηλοῖ δὲ καὶ τὰ ἑπόμενα τὸν νοῦν τῶν λεγομένων εἶναι, Τοὺς μὲν Ἀλαζῶνας, Σκύθας Ἀλαζῶνας καλουμένους φάσκοντες εἶναι ὑπὲρ τὸν Βορυσθένη, καὶ Καλλιπίδας κ. τ. λ. τοὺς δὲ Ἀμαζῶνας (εἰς τοῦτο γὰρ μεταποιοῦσι τοὺς παρ' Ὁμήρῳ Ἀλιζώνους), αὐτὰς ταύτας τὰς Θρυλλουμένας Ἀμαζόνας κ. τ. λ.—Στ. 19, Φησι.] ΗΔ (συνάδουσα τῇ Ἰταλικῇ μεταφράσει), ΑΤ, Φασι.—Στ. 20, Ἥ, ὥς τινες.] Κακῶς διεξάλη ὁ διαζευκτικὸς, ὡς ὑπ' ἐμοῦ προσεθείς· ἔξι γὰρ ἐκ ΔΓ, ἣ συνάδουσι καὶ οἱ μεταφρασταί.

ΣΕΛΙΔ. 391, στ. 3, Οὔτε.] ΗΔ, ΑΤ, Οὐδέ.—Στ. 6, Ὅμως διηπόρηκε, πῶς ἐκ.] ΗΔ, ΑΤ, Ὁμοίως διαπορεῖ, καὶ πῶς ἐκ.—Στ. 9, Ἀνδρός.] Ἐκ ΔΓ, ΑΤ, Ἀνδρῶν. Μόνος γὰρ ὁ Μενεκράτης

ἦν Ξενοκράτους γνώριμος.—Στ. 11, Μυγδονίης.] ΗΔ, ΑΤ, Μυγδόνης. Ἐρεῖ γὰρ καὶ ἐν τοῖς ἑξῆς (σελ. 447) Μυγδονίας πεδίον. Ἐνθάδε δὲ ἰωνικῶς, ὡς Ἑκαταίου τοῦ Ἴωνος ῥῆσιν.—Στ. 15, Κατὰ τὴν ΕΦΟΡΙΑΝ τῶν Κυζικηνῶν.] ΔΓ, Ἐφορείαν. Ταὐτὸν δύναται ἡ λέξις τῷ ΣΥΝΟΡΙΑΝ, ὡς ὑπέλαβόν τινες τῶν κριτικῶν· ἄλλος δέ τις διώρθου, Ἐμφέρειαν, δυσχερῆ διόρθωσιν. Εἶτ' ἂν (οὐκ εὐτυχέστερον ἴσως) γράφειν καὶ, Ὑπώρειαν, παραβάλλοντας τὰ ἐνθάδε τοῖς ἑξῆς (σελ. 427-428) ῥηθησομένοις.—Στ. 17, Τῶν περὶ τὴν.] Ἐκ τοῦ Εὐξαθίου (σελ. 363), ΑΤ, Τῶν ὑπὲρ τὴν.—Στ. 19, Ἐν τοῖς δύο Λάβδα.] Ἐκ ΔΓ, ΑΤ, ἐν τοῖς λλ.—Στ. 20, Ἀλαζώνων.] Ἐξ ΕΔ, ΑΤ, Ἀμαζόνων. ΔΓ, Ἀλιζόνων.—Στ. 24, Ὅπου τῆς Μυρλεάτιδος λίμνη ἐστίν.] Ταῦτα ἐν ταῖς Γαλλικαῖς σημειώσεσιν, ὡς ὕποπτα, ὅτι τῶς εἴκασα διορθωτέα εἶναι, γράφοντα, Ὅπου τῆς Μυρλεάτιδος νῦν ἐστιν, ὁλονότι τὰ ἀργυρεῖα, ἢ Οὗ δ' ὅπου τῆς Μυρλεάτιδος λίμνη ἐστίν.

ΣΕΛΙΔ. 392, στ. 1, Ὁπόσῳ οὖν μᾶλλον.] ΗΔ, ΑΤ, Ὅπως οὖν μᾶλλον.—Στ. 3, Φησί.] Ἐκ ΔΓ, ΑΤ, Φασί. Ἀναφέρεται γὰρ εἰς τὸν Δημήτριον. Ἐξῆς δὲ γράφειν (ὀρθώτερον ἴσως) καὶ, Φήσει.—Στ. 5, Τηλ' ἐξ Ἀσκανίης] Ἐκ τῆς Ἰλιάδος, β', 863.—Στ. 6, Ἀρναῖος.] Ἐκ τῆς Ὀδυσσείας, σ', 5.—Στ. 9, Εἵλετο.] Ἐκ τῆς αὐτῆς, φ', 6.—Στ. 14, Ἐκεῖνό γε.] Ἐκ ΔΓ προσειληφε τὸν σύνδεσμον.—Στ. 17, Οὔ; Τί δ', εἰ μή.] ΗΔ, ΑΤ, Οὔτε; εἰ μή. ΔΓ (οὐ κακὴ), εἰ δὲ μή. Μαρτυρεῖ τῇ ἡμετέρᾳ διορθώσει τὸ ἐν τοῖς πρόσθεν (σελ. 160) παραπλησίως ἐκπεφρασμένον, « Εἰ δὲ μὴ νῦν, τί ἂν εἴη θαυμαστὸν κ. τ. λ. ».—Στ. 23, Οὐδ', οἷς.] Ἐκ ΔΓ, ΑΤ, Οὔθ', οἷς.—Στ. 24, Τοποθετῶν.] Ἐξ ΕΔ, ΑΤ, Νομοθετῶν. Ἐχρήσατο καὶ ἀλλαχοῦ (Μέρ. Α, σελ. 140) τῇ λέξει ὁ Στράβων.—Στ. 27, Ὁ δέ.] Ἐκ ΔΓ, ΑΤ, Ὁ δή.

ΣΕΛΙΔ. 393, στ. 6, Δὲ περί.] Ἐκ ΔΓ, ΑΤ, Δὴ περί.—Στ. 11, Ἅλυος Ἀλιζῶνες.] Ἐκ ΔΓ, ΑΤ, Ἅλυος οἱ Ἀλιζῶνες.—Στ. 13, Καὶ ἐκ τῆς.] Δείπει ὁ σύνδεσμος ἔν τισι τῶν ἀντιγράφων.—Στ. 17 καὶ 19, Πολεμήσοντας... συμμαχήσοντας] Ἐκ ΔΓ, ΑΤ, Πολεμήσαντας... συμμαχήσαντας.—Στ. 23, Ἥματι.] Ἐκ τῆς Ἰλιάδος, γ', 189.—Στ. 26, Οἱ δ' ὁμοροῦντες.] Ἐξ ΕΔ, ΑΤ, Οὔθ' ὁμοροῦντες.—Οὔθ' οὕτως... οὔτ' ἔχθρας.] ΗΔ, Οὐδ' οὕτως... οὔτ' ἔχθρας.

ΣΕΛΙΔ. 394, στ. 5, Τοὺς Ἑνετούς... ἐκεῖθεν δὲ μετὰ τῶν Θρακῶν

ἀπᾶραι κ. τ. λ.] Μετὰ τίνων Θρᾳκῶν ἀπῆραν οἱ Ἐνετοί; μεθ' ὧν ἦγεν Ἀκάμας καὶ Πύρρος, κατὰ τὸν Ποιητὴν (Ἰλιάδ. β', 844), ἢ οὐς εἰκὸς ἐξ αὐτῆς τῆς Θρᾴκης συνακολουθῆσαι τοῖς Ἐνετοῖς, τοῖς διαβᾶσι πρῶτον εἰς Θρᾴκην, κἀκεῖθεν εἰς τὴν κατὰ τὸν Ἀδρίαν Ἐνετικήν, ὥσπερ εἴρηκεν ἀνωτέρω (σελ. 381) ὁ Στράβων; Ἀλλ' εἰ τοῦτο βούλεται λέγειν, κεκολοβῶσθαι τὸ χωρίον εἰκὸς, τὰς ἀρχαίας γραφῆς οὕτως ἴσως ἐχούσης, « Τοὺς Ἐνετούς. . [εἶτα διαβῆναι εἰς » Θρᾴκην]· ἐκεῖθεν δὲ κ. τ. λ. ». Καὶ ταῦτα μὲν ὁ Στράβων. Εἰσὶ δὲ οἱ καὶ αὐτοὺς τοὺς κατὰ τὴν Παφλαγονίαν Ἐνετοὺς, Θρᾳκας γεγονέναι διατείνονται, ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν πρὸ τῶν Τρωϊκῶν περαιωθέντας (Ἴδε Adelund, Mithridat. Th. 2, S. 347).—Στ. 7, Τοὺς δὲ μὴ μετασχόντας... ΛΕΓΕΣΘΑΙ.] ΗΔ (περὶ ἧς νῦν διαζῶ, καθάπερ καὶ περὶ οὗ ἀχερίσκοις διειλήφα ἀπαγορευτικοῦ μορίου), ΑΤ, ΓΕΝΕΣΘΑΙ. Ὁ νοῦς εἶναί μοι δοκεῖ, Τῶν δ' Ἐνετῶν τοὺς μὴ συναπάραντας εἰς τὸν Ἀδρίαν, ἀλλ' οἴκοι μείναντας, Καππάδοκας εἶναι.—Στ. 15, Αὐτὸς δέ.] ΔΓ Ὁ δέ. Ἰσ.γρ. Αὐτός τε.

ΣΕΛΙΔ. 395, στ. 3, Τῆς δὲ μεσογαίας.] Ἰσ.γρ. Τὰς δὲ μεσογαίους (ἢ μεσογείους), προσυπακουομένου τοῦ Πόλεις.—Στ. 12, Εἰ δή.] Ἰσ.γρ. Εἰ ἤδη, τουτέστιν, ἐφ' Ὁμήρου.—Στ. 27, Οὐχ (γρ. οὐκ) ἱπέδραμε.] ΗΔ, ΑΤ, Οὐχ ὑπέδρα ε. Ἑρμηνεύσαις δ' ἂν κατὰ τὴν παρ' ἡμῖν συνήθειαν, Δὲν τοῦ ἦλθεν εἰς τὸν νοῦν.—Τὸ ἐπελευσικὸν εἶδος.] Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. IV, part. II, pag. 56), οἷς προσίθει, ὅτι τὸ Ἐπελευσικὸν τοῦτο Ἀρίσαρχος, Κατ' ἐπιφοράν ἔλεγεν, ὁ παραφράζων Εὐσάθιος (σελ. 262), « Κατά τινα φορὰν καὶ τύχην, » καὶ κατὰ τὸ ἁπλῶς ἐπιτυχόν » φησί. Καὶ ὁ ἀσειότατος δὲ Λουκιανὸς (Ἀληθ. Ἱστορ. Β, § 20), αὐτῷ Ὁμήρῳ ἐντυχὼν ἐν ταῖς Μακάρων νήσοις, ἤρετο, διά τί ἀπὸ τῆς Μήνιδος τὴν ἀρχὴν ἐποιήσατο τῆς Ἰλιάδος· καὶ ὁ Ποιητὴς ἀπεκρίνατο, « Οὕτως ἐπελθεῖν αὐτῷ, » μηδὲν ἐπιτηδεύσαντι. ».—Στ. 28, Ἐκ πάντων δέ.] Ἰσ.γρ. Ἐκ πάντων δή.

ΣΕΛΙΔ. 396, στ. 2, Τὸ ἀγνοεῖσθαι.] Ἐκ ΔΓ προσειλήφα τὸ ἄρθρον.—Στ. 10, Ὀνομάζων.] Ἐκ ΔΓ, ΑΤ, Ὠνόμαζον.—Στ. 12, Οὐ μέμνηται.] Ἐκ τῶν προτέρων ἐκδόσεων, ΑΤ, Οὐ μέμνηται.—Στ. 14, Καὶ Σάμον.] Μνήμης, οἶμαι, μᾶλλον ἁμαρτία τοῦ Στράβωνος, ἢ τῶν ἀντιγραψάντων ἀβλεψία, ἐνεχωρίσθησαν ταῦτα τῷ κειμένῳ· περὶ γὰρ τῆς Ἰωνικῆς Σάμου ἐνταῦθα δέον εἶναι τὸν λόγον,

οὐκ ἂν ὀρθῶς αὐτὴν ὠνομάσθαι ὑφ' Ὁμήρου ἔλεγεν ὁ Στράβων, ἄλλως τε καὶ τοὐναντίον εἰρηκὼς ἀνωτέρω (σελ. 249). Ὁ νοῦς, Οὐκ ὠνόματε τὴν Σμύρνην, οὐδὲ τὰς πλείσας τῶν ἄλλων Ἰωνικῶν καὶ Αἰολικῶν πόλεων Ὅμηρος, καίπερ ὀνομάσας Μίλητον (πόλιν Ἰωνικὴν), καὶ Λέσβον καὶ Τένεδον (τὰς Αἰολικὰς νήσους).—Στ. 15, Οὐδὲ Μαρσύαν.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ δὴ Μαρσύαν.—Στ. 22, Ἔτι δὲ καὶ τῶν.] ΗΔ, ΑΤ, Ἐπεὶ καὶ τῶν. ΔΓ (δυσὶ μόναις λέξεσι), Καὶ τῶν.—Στ. 24, Οὐδὲ δὲ τῶν Ἐγγύς.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ δὴ τοὺς ἐγγύς.

ΣΕΛΙΔ. 397, στ. 3, Διακύηται.] ΗΔ, ΑΤ, Διέκνυται.—Στ. 6, Καὶ γαλακτοφάγους.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 19, Ἐνεχώρισε.] ΗΔ (καίπερ οὕπω κατακεχωρισμένου ἐν τοῖς Λεξικοῖς τοῦ Ἐγχωρίζω ῥήματος), ΑΤ, Ἐνεχείρησε. ΔΓ, Ἐνεχείρισε.—Στ. 21, Συνωρίαν.] ΔΓ, Συνορίαν, ἣν ἐπελαθόμην παραλαβεῖν, ὥσπερ ἐδήλωσα καὶ ἐν τῷ καταλόγῳ τῶν τυπογραφικῶν ἁμαρτημάτων.

ΣΕΛΙΔ. 398, στ. 2, Δίτριψι τίως.] Ἐκ ΔΓ, ΑΤ, Διέτριψέ τε τίως.—Στ. 4, Ἐν αὐτῇ τῇ μικρᾷ.] ΗΔ, ΑΤ, Ἐν τῇ αὐτῇ μικρᾷ. ΔΓ, Ἐν τῇ μικρᾷ.—Στ. 19, Καθέσταται.] ΗΔ, ΑΤ, Καθίσταται.

ΣΕΛΙΔ. 399, στ. 12, Σταδίοις δ'.] Ἐκ ΔΓ, προσείληφα τὸν σύνδεσμον.—Νοτιωτέρα.] Προσυπακουομένου τοῦ πόλις· ἐνδέχεται μέντοι καὶ προπαροξυτόνως, Νοτιώτερα, γεγράφθαι, οὐδετέρου ὄντος τοῦ ὀνόματος τῆς πόλεως, Τὰ Κάβειρα.—Στ. 14, Ὑδραλίτης.] Ὁ ἐν τῇ συνηθείᾳ Νερόμυλος.—Ζωγρεῖα.] ΗΔ, ΑΤ, Ζώγρια. Μεθερμήνευσα Γαλλιστὶ διὰ τοῦ Vivier, ἐφ' ἧς ἐννοίας ἔταξε τὴν λέξιν καὶ ὁ τῷ Στράβωνι σχεδὸν συνακμάσας Ξενοκράτης (Περὶ τῆς ἀπὸ τῶν ἐνύδρ. τροφ. σελ. 6, § λδ', ἐμ. ἐκδ.)· ἀλλ' ἴσως ἐκδεκτέον ἐπὶ τῆς Γαλλιστὶ λεγομένης Ménagerie.—Στ. 21, Τετείχισαί τι.] Ἐκ ΔΓ, ΑΤ, Τετείχισαι δέ.

ΣΕΛΙΔ. 400, στ. 1, Κατασκευάσαντος.] Ἐκ ΔΓ, ΑΤ, Σκευάσαντος.—Στ. 4, Καὶ τὴν Ἀμερίαν.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον. Ισ.γρ. Κατὰ τὴν Ἀμερίαν, καθάπερ εἶπα ἐν ταῖς Γαλλικαῖς σημειώσεσι.—Στ. 7, Ὅρκον ΤΟΥΤΟ.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, ΤΟΥΤΟΝ. Συνάπτεται δὲ πρὸς τὸ ἱερὸν, τουτέστι τοῦτο τὸ τῆς τύχης ἱερὸν ὅρκον ἀπέφηναν, ἐν τούτῳ ὤμνυον.—Στ. 8, ΤΥΧΗΝ βασιλέως καὶ ΜΗΝΑ Φαρνάκου.] Τουτέστι, Μὰ τὴν τύχην τοῦ

βασιλέως κ. τ. λ. Ἦσαν δὲ τὰ ἱερὰ ταῦτα κοινὰ κατὰ τὴν Καππαδοκίαν καὶ τὴν Συρίαν, ἅπερ ἔοικεν αἰνίττεσθαι καὶ ὁ προφήτης Ἡσαΐας (ξί, 11), ἐν οἷς καθάπτεται τῶν Ἰουδαίων λέγων, « Ἑτοιμάζοντες τῷ » δαιμονίῳ τράπεζαν, καὶ πληροῦντες τῇ ΤΥΧΗ κέρασμα », ἔνθα τὸ Ἑβραϊκὸν κείμενον φέρει, « Ἑτοιμάζοντες τῷ Γὰδ (גָּד) τράπεζαν, » καὶ πληροῦντες τῷ ΜΕΝΙ (מְנִי) κέρασμα ».—Στ. 9, Τὸ ἱερόν.] Ὅπερ ἀσερίσκους διειληφα ἄρθρον, παρέλιπε καὶ ὁ Ἰταλὸς μεταφραστής. —Τὸ ἐν Ἀλβανοῖς.] ΔΓ (ἐκ τοῦ ἐμοῦ μόνου ἀντιγράφου), Τὰ ἐν Ἀλβανοῖς.—Στ. 10, Τὰ ἐν Φρυγίᾳ.] Ἐκ ΔΓ, ΑΤ, Τὸ ἐν Φρυγίᾳ.—Στ. 11, Τὸ πρὸς Ἀντιοχείᾳ τῇ πρὸς Πισιδίᾳ.] Ἐκ ΔΓ, ΑΤ, Τὸ πρὸς τῇ Ἀντιοχείᾳ τῇ πρὸς Πισιδίαν.—Στ. 13, Τὰ Κόμανα.] Ἐκ ΔΓ, ΑΤ, Τά τε Κόμανα.

ΣΕΛΙΔ. 401, στ. 5, Ὁ πρὸς αὐτῆς.] ΗΔ, ΑΤ, Ὁ πρὸς πατρὸς αὐτῆς. Τὸ Αὐτῆς ἀναφέρεται πρὸς τὴν μητέρα τοῦ Στράβωνος· τὸ δὲ ἄρθρον πρὸς τὸν ἐκείνης πατέρα, τὸν πάππον τοῦ Στράβωνος. Δῆλη δὲ καὶ ἡ αἰτία τῆς παρεισδύσεως τοῦ νόθου ὀνόματος Πατρός. Κακῶς γάρ τινος γράψαντος ὃς τὴν πρόθεσιν, Ὁ πρὸς πρὸς αὐτῆς, ἕτερος ἐπελθὼν ἐξεδέξατο τὴν δευτέραν ἀντὶ τῆς συνήθους τοῖς ταχυγράφοις συντμήσεως προς, τῆς δηλούσης τὸ Πατρός.

ΣΕΛΙΔ. 402, στ. 3, Εὔρετο.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Εὕρατο.—Στ. 18, Ἀπάγοντας.] ΗΔ, ΑΤ, Ἀνάγοντας. —Στ. 25, Τοὺς γε.] ΗΔ, ΑΤ, Τούς τε.

ΣΕΛΙΔ. 403, στ. 4, Ὁμοῦ γυναιξίν.] Ἐκ ΔΓ, ΑΤ, Ὁμοῦ ταῖς γυναιξίν.—Στ. 5, Θυσίας ἐπιτελοῦντες.] Ἐκ ΔΓ, ΑΤ, Θυσίας τε ἐπιτελοῦντες.—Στ. 7, Ἐςι πάντα.] Ἐκ ΔΓ, ΑΤ, Ἐςι τὰ πάντα.—Στ. 22, Οἱ Ποντικοί.] ΗΔ, ΑΤ, Οἱ πολιτικοί. Οὐδέτερον τούτων εὕρηται ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει. Ὁ Ἰταλὸς ἡρμήνευσε gl' uomini di governo. Ἡμῖν δ' ἔδοξε, διὰ τὸ μετὰ μείζονος ἁγιείας ἐν τῷ ἱερῷ τῷδε συντελεῖσθαι τὰς ἱεροποιίας, διὰ τοῦτο καὶ τοὺς ὅρκους ἐν αὐτῷ γίνεσθαι πάντων τῶν Ποντικῶν. Ἔςι δὲ γράφειν καὶ, Οἱ πολῖται, τουτέςιν οἱ τῶν Ζήλων οἰκήτορες.—Στ. 24, Ἐπὶ τῇ.] Ἰσ.γρ. Ὑπὸ τῇ.—Στ. 25, Ἐκάκωσαν δὲ ΠΟΛΥ καὶ ἐμείωσαν κ. τ. λ.] ΗΔ, ΑΤ, ΠΟΛΛΟΙ. Ἐρεῖ καὶ ἐν τοῖς ἑξῆς (σελ. 416), « Τούτων [τῶν ἱερέων] μὲν αἱ τεμαὶ πολὺ μεμείωνται ». Τῷ δ' Ἐκάκωσαν, ἢ τοὺς Ῥωμαίους προσυπακουστέον, τοὺς ἐν τῷ Μιθριδατικῷ πολέμῳ πολλὰ τοῦ Πόντου χωρὶς ἄλλοις ἄλλα προσκείμαντας,

καὶ πολυτρόπως καταχειρματίσαντας, ἢ τοὺς πεμφθέντας ἐπὶ τὴν Ἀμύντου κληρονομίαν, ὑφ' ὧν, ὡς ἐρεῖ κατωτέρω (σελ. 430), καὶ ἡ τοῦ Μηνὸς Ἀρχαίου ἱερωσύνη κατελύθη.

ΣΕΛΙΔ. 404, στ. 7, Καὶ ἦν τοῦ.] ΗΔ, ΑΤ, Καὶ ἡ τοῦ. — Στ. 17, Ῥωμαίοις.] Ἐκ ΔΓ, ΑΤ, Ῥωμαίους. — Στ. 25, Νεαπολίτην... ἀποδείξας τινὰ κατοικίαν.] ΗΔ, ΑΤ, Μεγαλόπολιν... ἀποδείξας τὴν κατοικίαν. Ἔπιθι τὰς Γαλλικὰς σημειώσεις. — Στ. 27, Γαζηλίτης] ΗΔ, ΑΤ, Γαζηλωτός. ΔΓ, Ζηλῆτες. Ἰσ.γρ. Γαδιλωνῖτες, καθὰ φέρεται ἀνωτέρω (σελ. 385).

ΣΕΛΙΔ. 405, στ. 6, Κιζάρη.] Ἐκ ΔΓ, ΑΤ, Κίζαρι. — Κατεσκαμμένον.] ΗΔ, ΑΤ, Κατεσκευασμένον. — Στ. 22, Διένειμαν.] ΗΔ, ΑΤ, Ἔνειμαν. ΔΓ, Διέμειναν.

ΣΕΛΙΔ. 406, στ. 7, Ἔχει.] Ἐκ ΔΓ, ΑΤ, Ἐκεῖ. — Στ. 25, Πάσα μέν.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον. — Στ. 26, Ἥ δὲ καὶ ἱππόβοτος.] ΗΔ, ΑΤ, Ἥδ' ἱππόβοτος. ΔΓ, Ἥδ' ἱππόβοτος.

ΣΕΛΙΔ. 407, στ. 4, Περίκειται.] Ἐκ ΔΓ, ΑΤ, Περιοικεῖται. — Στ. 7, Οὐκ αὐτός.] ΗΔ, ΑΤ, Οὐδ' αὐτός. — Στ. 17, Δημοσιῶναι.] ΗΔ, ΑΤ, Δημοσίως ἀεί. ΔΓ, Δημοσίων ἀεί. Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. IV, pag. 405). — Στ. 22, Ἐκλείπεσθαι.] ΗΔ, ΑΤ, Ἐκλιπέσθαι.

ΣΕΛΙΔ. 408, στ. 6, Κιματηνή.] Ἐξ ΕΔ, ΑΤ, Κινεσηνή. — Στ. 12, Μορζίου.] ΗΔ, ΑΤ, Μορζέως. Αἱ πρότεραι ἐκδόσεις, Μορζέους. — Ἔχων τά.] ΔΓ, Ἔχων καὶ τά. — Στ. 16, Τὴν ὑπὸ Κίῳ] Ἰσ.γρ. Τὴν πρὸς Κίῳ. Ἴδε τὰς Γαλλικὰς σημειώσεις.

ΣΕΛΙΔ. 409, στ. 6, Καὶ ἡ Ἐπίκτητος.] Ἐκ ΔΓ προσείληφα τὸ ἅρθρον. — Στ. 11, Κρήνην Ἀζαριτίαν, τρέφουσαν κροκοδείλους μικρούς.] Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει. — Στ. 12, Χαλκηδονίων.] ΗΔ, ΑΤ, Χαλκηδόνων.

ΣΕΛΙΔ. 410, στ. 3, Ζήλα.] ΗΔ (κατὰ γενικὴν, ὁ Ζήλας τοῦ Ζήλα) ΑΤ, Ζήλα. — Στ. 5, Προύσης.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Προυσιάδος. — Στ. 10, Ἀνάσασιν.] Ἐκ ΔΓ, ΑΤ, Ἀναςάς. Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. IV, pag. 405). — Στ. 18, Ἔτι ἑορτή.] Ἐκ ΔΓ, ΑΤ, Ἔτι καὶ ἑορτή. — Στ. 22, Ἀπαμεῖς.] ΗΔ, ΑΤ, Ἀπαμιεῖς. — Στ. 23, Ὑπὸ τῷ.] ΗΔ, ΑΤ, Ἐπὶ τῷ. — Στ. 25, Τοῦ Κίου πολίσαντος.] ΗΔ, ΑΤ, Τοῦ πρὸς Κροῖσον πολεμήσαντος. Ἔπιθι τὰς Γαλ-

λαὰς σημειώσεις.—Στ. 26, Καὶ Φρυγῶν, καὶ Μυσῶν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ Μυσῶν, καὶ Φρυγῶν.

ΣΕΛΙΔ. 411, στ. 1, Ὁμολογεῖται· ἐπί τε τῶν.] ΗΔ, ΑΤ, Ὁμολογεῖται. Καὶ ἐπί τε τῶν. Ἔστι γράφειν καὶ, Ὁμολογεῖται· ἐπὶ δὲ τῶν.—Στ. 8, Τούτους.] Τοὺς Θρᾷκας.—Στ. 12, Σχεδόν τι παντός.] ΗΔ, ΑΤ, Σχεδὸν δὲ παντός.—Στ. 19, Φόρκυς.] Ἐκ τῆς Ἰλιάδος, β', 862.—Στ. 23, Πάλμυν.] Ἐκ τῆς αὐτῆς (ν', 792) ὅ τε πρῶτος καὶ τρίτος εἶχος· ὁ δὲ μέσος (Μυσῶν ἀγχεμάχων ἡγήτορα) οὐ κεῖται ἔν γε τούτῳ τοῦ Ποιητοῦ τῷ χωρίῳ.

ΣΕΛΙΔ. 412, στ. 8, Οἱ δὲ Ζέλειαν.] Ἐκ τῆς Ἰλιάδος, β', 824.—Στ. 11, Τῇ δὲ Ζελείᾳ.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΔΤ, Ἴδῃ δὲ Ζέλεια.—Ὑπὲρ τοῦ Αἰσήπου.] ΗΔ, ΑΤ, Ἐπὶ δὲ τὸ τοῦ Αἰσήπου. ΔΓ, Ὑπὲρ δὲ τοῦ Αἰσήπου: Ἀπὸ δὲ τοῦ Αἰσήπου.—Στ. 26, Τὰ νῦν ὄντα λέγοντας.] ΗΔ (ᾗ παράλληλον ἕτερον χωρίον κεῖται ἐν τοῖς ἑξῆς, σελ. 426), ΑΤ, Τὰ νῦν ὡς οἷόν τε λέγοντας. Τῶν προτέρων ἐκδόσεων καὶ πλείστων ἀντιγράφων ἡ γραφή, Τὰ νῦν οἴεται λέγοντας· ὃ Κασωβὼν παρήνεγκε τρέπειν εἰς τὸ Τὰ νῦν οἳ ἐστε λέγοντας.

ΣΕΛΙΔ. 413, στ. 4, Λίμνη· περίκειται δὲ κύκλῳ.] Ἰσ.γρ. Λίμνη· ἣ περίκειται κύκλῳ.—Στ. 19, Ὃς τὰ κατὰ... φησι.] ΗΔ (συνᾴδουσα τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, qui ait), ΑΤ, Ὅτι τὰ κατὰ... φησι.

ΣΕΛΙΔ. 414, στ. 16, Παραδεῖξαι.] ΔΓ, Περιεπιδεῖξαι: Παραεπιδεῖξαι. Ἰσ.γρ. Προσεπιδεῖξαι, ἤ γοῦν (οἷόν τι καὶ ἀνωτέρω, σελ. 296), Προσπεριοδεῦσαι.

ΣΕΛΙΔ. 415, στ. 9, Τετραρχῶν.] ΔΓ (ἀμείνων ἴσως) Τετραρχιῶν.—Στ. 10, Δρυσίμετον.] Ἐκ ΔΓ, ΑΤ, Δρυναίμετον.—Στ. 19, Ταυΐτον.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Ταὐϊα.—Στ. 21, Πομπήϊος Μάγνος Δηϊοτάρῳ.] ΗΔ, ΑΤ, Πομπήϊος Βογοδιατάρῳ.—Στ. 22, Δί πως Δανάλα.] Τὸ ἐμὸν ἀντίγραφον, Δὶ, πωδανάλα. Ἰσ.γρ. Δὶ κώμη Δανάλα. Ἴδ. τὰς Γαλλ. σημειώσ.—Στ. 27, Κατὰ Πεσσινοῦντα.] Ἐκ ΔΓ, ΑΤ, Κατὰ τὴν Πεσσινοῦντα.

ΣΕΛΙΔ. 416, στ. 4, Μίγιον.] Ἐκ ΔΓ, ΑΤ, Μεγίων.—Στ. 19, Γορβειοῦς.] Ἐκ ΔΓ, ΑΤ, Γορβειτοῦς.

ΣΕΛΙΔ. 417, στ. 6, Ἥ τε δὴ Τάττα ἐστ... ΠΙΤΝΙΣΟΝ.] Ἐξ ΕΔ, ΑΤ, ΠΙΓΝΙΣΟΝ. Ἡ δὲ Τάττα λίμνη, ἧς μέμνηται καὶ Διοσκορίδης

(ε, 126), καὶ Πλίνιος (XXXI, 7), καλεῖται νῦν ὑπὸ τῶν Τούρκων, *Tuzla*, ὃ ἐστιν ἁλοπήγιον, καθάπερ ἀνωτέρω ὠνόμασεν αὐτὴν ὁ Στράβων. Ἴσως δ' ἐνθένδε διορθωτέος ὁ Βυζάντιος Στέφανος· «Βο» τίειον, πόλις Φρυγίας, ἔχουσα λίμνην ΑΤΤΑΙΑΝ λεγομένην, τρέ» φουσαν ἅλας κ. τ. λ.» Γραπτέον γὰρ εἶναί μοι δοκεῖ ΤΑΤΤΑΝ, ἢ γοῦν, ΤΑΤΤΑΙΑΝ.—Στ. 10, Γαρσαούρων.] ΗΔ (διὰ τὸ καὶ ἀλλαχοῦ οὕτω γεγράφθαι), ΑΤ, Γαρσαβόρων.—Στ. 13, Μεγίστους πλούτους.] Ἐκ ΔΓ, ΑΤ, Μέγιστον πλοῦτον.—Στ. 20, Λυκαόνων δέ.] ΗΔ, ΑΤ, Λυκαόνων τε.—Στ. 22, Γαρσαούρων.] ΗΔ, ΑΤ, Γαρεαθύρων (Ἴδε Μέρ. Γ, σελ. 47).

ΣΕΛΙΔ. 418, στ. 2, Ἢ τὰ Ἴσαυρα ἔχουσα κώμας δύο ὁμωνύμους.] ΗΔ, ΑΤ, Εἶτα Ἰσαυρία κώμας δύο ἔχουσα ὁμωνύμους. ΔΓ, Εἶτα Ἰσαυρία (ἀλλ. Σαυρία) ἔχουσα κώμας δύο ὁμωνύμους) Ἴδε καὶ τὰς Γαλλ. σημειώσ.—Στ. 6, Ἴδομεν.] Ἐκ ΔΓ, ΑΤ, Εἴδομεν.—Στ. 11, Τούτου δ' ἦν.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ δ' ἦν. —Στ. 17, Ἐμβαλόντα.] ΗΔ, ΑΤ, Ἐμβάλλοντα.—Ὁμοναδίας.] ΗΔ (συνάδουσα τῇ ἑξῆς, σελ. 419, γραφῇ), ΑΤ, Ὁμοναδεῖς.—Στ. 23, Καὶ Κιλίκων.] Ἢ διαγραπτέον τὰς δύο ταύτας λέξεις (ὥσπερ ἀσερίσκοις διείληφα, ἄλλως τε καὶ διότι οὐδ' ὁ ἀρχαῖος Λατῖνος μεταφραστὴς ἡρμήνευσεν αὐτάς), ἢ τρεπτέον εἰς τὸ, Καὶ Λυκίων.

ΣΕΛΙΔ. 419, στ. 11, Αὐτῶν.] Ἐκ ΔΓ, ΑΤ, Αὐτόν.—Στ. 15, Ἔστι δὲ ἐν.] Ἐκ ΔΓ, ΑΤ, Ἔστι δὲ καί.

ΣΕΛΙΔ. 420, στ. 5, Ἀδάδα, Τιμβριάδα.] Ἐξ ΕΔ, ΑΤ, Ἀδαδάτην, Βριάδα.—Τιτυασσόν.] Ἐξ ΕΔ, ΑΤ, Πιτυασσόν.—Στ. 6, Σίνδαν.] Ἐκ ΔΓ, ΑΤ, Σίνδα.—Στ. 17, Ὡς εἶπον.] ΗΔ, ΑΤ, Ὡς εἰπεῖν.

ΣΕΛΙΔ. 421, στ. 2, Περίκεινται.] ΗΔ, ΑΤ, Ὑπέρκεινται.—Στ. 4, Ὀρθηλόν.] Οὔπω κατακεχώρισαι ἐν τοῖς Λεξικοῖς τοὔνομα.—Στ. 11, Ὅσον ἐπιπολῆς.] ΗΔ, ΑΤ, Ὅσον τὸ μὲν ἐν ἐπιπολῇ.—Στ. 13, Δὲ ἐκ τοῦ.] ΗΔ (συνάδουσα τοῖς ἀρχαίοις, Λατίνῳ καὶ Ἰταλῷ, μεταφραζαῖς), ΑΤ, Δὲ καὶ ἐκ τοῦ.—Στ. 22, Διὰ δὲ τήν.] Ἐξ ΕΔ, ΑΤ, Διὰ τήν.

ΣΕΛΙΔ. 422, στ. 2, Τὸν Μύσιον προσαγορευόμενον, Μυσοί τε κ. τ. λ.] ΗΔ (συνάδουσα τοῖς ἀνωτέρω, σελ. 248), ΑΤ, Τὸν Μύσιον, προσαγορευόμενοι Μυσοί τε.—Στ. 5, Καὶ ἡ περί.] Διαγραπτέον, οἶμαι, τὸ ἄρθρον, ἵνα μὴ τρεῖς ἀντὶ δύο γίγνωνται Φρυγίαι (ἔδ. ἀνωτέρ. σελ. 410). Οὐδ' ὁ Εὐσάθιος δέ (Εἰς Διονύσ. τὸν

Μεσογητ. 810) παρείληφε τὸ ἄρθρον, τοῦτο παρατεθέμενος τὸ χωρίον· καίπερ τρεῖς εἶναι τὰς Φρυγίας ὑπολαβών. Λέγει δὲ· « Τρεῖς » ἀναγράφονται Φρυγίαι... μία μὲν ἡ μεγάλη, ἧς ὁ Μίδας ἄρξαι λέ» γεται... δευτέρα δὲ ἑτέρα Φρυγία ἡ μικρὰ, ἡ ἐν Ἑλλησπόντῳ, » καὶ περὶ Ὄλυμπον· καὶ τρίτη ἡ λεγομένη Ἐπίκτητος » Τοῦτο δὲ γέγονε διὰ τὸ καὶ τὸν Στράβωνα οὐκ εὐκρινῶς ἅπανταχοῦ διορίσαι τὰ περὶ τῆς Φρυγίας, καθάπερ ἐσημειώσατο καὶ ὁ Κελλάριος (Geograph. Antiq. lib. III, cap. 4, *pag.* 123).—Στ. 6, Ἡ καὶ Ἐπίκτητος.] Ἴσως τοίνυν ἐνθάδε ἀνέγνω ὁ Εὐσάθιος, Καὶ ἡ Ἐπίκτητος· ἣν τρίτην ὀνομάζει Φρυγίαν. Ἰδ. τὴν πρὸ ταύτης σημείωσιν.—Στ. 15, Ἔχη.] Ἐκ ΔΓ, ΑΤ, Ἔχοι.—Στ. 19, Μαγνησίαν, καὶ τῆς ὑπ' αὐτῷ χώρας.] ΗΔ (ἐκ ΔΓ ἐρανισθεῖσα), ΑΤ, Μαγνησίαν, τὴν ὑπ' αὐτῷ χώραν. ΔΓ, Μαγνησίαν, καὶ τῆς ὑπ' αὐτῇ χώρας : Μαγνησίαν, καὶ τὴν ὑπ' αὐτῷ χώραν. Τὸ δὲ Ὑπ' αὐτῷ, ἐγγὺς ὑπὸ τῷ Σιπύλῳ τῷ ὄρει.

ΣΕΛΙΔ. 423, στ. 1 καὶ 3, Δὲ... πρὸς ἀλλήλους μέν.] Ἀναγκαίως προσεθήναι ταῦτα ὑφ' ἡμῶν, ὁμολογήσουσιν εὖ οἶδ' ὅτι οἱ τοῖς ἐχομένοις ἀκριβῶς ἐπιζήσαντες.—Στ. 4, Πρὸς δὲ τούτους.] ΗΔ (καὶ αὖτη ἀναγκαία διὰ τὰ προηγούμενα), ΑΤ, Πρὸς δὲ τούτοις. Τὸ δὲ Τούτους ἀναφέρεται εἰς τοὺς Θρᾷκας. Κατὰ ταύτην δὲ τὴν ὀψὲ ἐπανορθεῖσάν μοι διόρθωσιν, μεταῤῥυθμιστέον καὶ τὴν Γαλλικὴν μετάφρασιν, γράφοντα, ils se confondent avec les Thraces et entre eux : entre eux, puisque, selon les uns, les Méones sont le même peuple que les Lydiens, selon d'autres, ce sont deux peuples différens; avec les Thraces, puisque les uns regardent les Lydiens comme un peuple originaire de la Thrace, d'autres les confondent avec les *Mysi*.—Στ. 7, Ὀξύην.] Ὀξύαν ἔτι καὶ νῦν ἡ παρ' ἡμῖν συνήθεια λέγει. Ἴδε καὶ τὰς Γαλλικὰς σημειώσεις, ἐν αἷς εἶπαζον μήποτε ἡ Ὀξύη ἐστὶν ἡ τοῖς Τούρκοις καλουμένη Μουσὰ (παρὰ τοὺς Μυσοὺς ὀνομάσθη), ἐξ ἧς ποιοῦσι τὰς τετρημένας ῥάβδους, δι' ὧν ἀναλάπτουσι τὸν καπνὸν καιομένης τῆς Νικοτιανῆς βοτάνης.—Στ. 13, Ἀνελόντων τε τὸν τῆς.] ΗΔ, ΑΤ, Εἵλοντο τόν τε τῆς. ΔΓ, Εἵλον τόν τε τῆς.—Στ. 18, Ἐγίνοντο.] [ΗΔ, ΑΤ, Ἐγένοντο.

ΣΕΛΙΔ. 424, στ. 3, Οἱ δὲ διττοί.] Ἐκ ΔΓ, ΑΤ, Οἱ δὴ διττοί. Ἰσ.γρ. Οἵ τε διττοί.—Στ. 4, Καρίᾳ.] Ἐκ ΔΓ, ΑΤ, Καρίαν.

—Στ. 23, Σολύμοισι.] Ἐκ τῆς Ἰλιάδος, ζ', 184.—Στ. 25, Μαρυάμενον.] Ἐκ τῆς αὐτῆς, ζ', 204.

ΣΕΛΙΔ. 425, στ. 5, Πόλεις τε παλαιαί.] Ἐκ ΔΓ, ΑΤ, Καὶ πόλεις τὸ πάλαι.—Στ. 7, Ἦν ἤτοι (γρ. ἤτοι) ἄνδρες κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος, β'. 813.—Στ. 13, Ταὐτ' ἔπαθον.] ΗΔ, ΑΤ, Ταῦτ' ἔπαθον.—Στ. 23, Καὶ ἄλλους ἄλλως. Οὕτω δὲ καὶ οἱ Τρῶες ἐκ μικρῶν.] ΗΔ, ΑΤ, Καὶ ἄλλους οὕτως. Οἱ δὲ Τρῶες οὕτως ἐκ μικρῶν. ΔΓ, Καὶ ἄλλους οὕτως. Οἱ δὲ Τρῶες ἐκ μικρῶν.

ΣΕΛΙΔ. 426, στ. 5, Τρῶες.] Ἐκ τῆς Ἰλιάδος, γ', 2.—Στ. 7, Οἱ δ' ἀρ'.] Ἐκ τῆς αὐτῆς, γ', 8.—Στ. 8, Πολλαχῶς.] Ἰσ.γρ. Πολλαχοῦ. Ἰδ. τὰς Γαλλ. σημειώσ.—Στ. 9, Διαφύγῃ.] Ἐκ ΔΓ, ΑΤ, Διαφύγοι.—Στ. 24, Γορδίου κώμης.] Ἐκ τοῦ Πλινίου (v, 32), Gordiucome, ΑΤ, Γόρδου κώμης.

ΣΕΛΙΔ. 427, στ. 1, Καλλυδίῳ.] Ὁ δ' Εὐσάθιος (σελ. 319) γράφει, ἄμεινον ἴσως, Καλυδνίῳ.—Στ. 13, Ὡς ἔφασαν.] Ἄμεινον ἂν γράφοις, Ὡς ἔφασκον.—Στ. 17, Ὅλη ἡ πόλις.] Ἐκ ΔΓ, ΑΤ, Ἡ ὅλη πόλις.

ΣΕΛΙΔ. 428, στ. 14, Τῷ παραπλησίῳ τύπῳ.] Τουτέστιν ἀριστοκρατικῶς.

ΣΕΛΙΔ. 429, στ. 3, Στρατιὰς.] ΗΔ, ΑΤ, Στρατείας.—Στ. 4, Ὃς ἀπῆλθε.] Ἐκ ΔΓ, ΑΤ. Ὡς ἀπῆλθε.—Στ. 15, Ἐν ταύτῃ δέ.] Ἐκ ΔΓ, ΑΤ, Ἐν ταύτῃ δή.

ΣΕΛΙΔ. 430, στ. 2, Λειπουσα.] ΗΔ, ΑΤ, Λιποῦσα.—Στ. 5, Πισιδίᾳ.] ΗΔ, ΑΤ, Πισιδίαν.—Στ. 7, Ταύταις πολίσματα ἄλλα τε, καὶ Ἀφροδισιάς.] ΗΔ, ΑΤ, Ταύταις καὶ πολίσματα, Ἀφροδισιάς. ΔΓ, Ταύταις πολίσματα καὶ Ἀφροδισιάς: Ταύταις πολίσματα καὶ ἄλλα, ἤτε Ἀφροδισιάς. Ἄλλη ΔΓ ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ἔχουτα μετοξὺ καινὸν διάστημα, Ταύταις πολίσματα Ἀφροδισιάς.—Στ. 16, Ἀποικίαν.] Ἐκ ΔΓ, ΑΤ, Ἐποικίαν.—Στ. 24, Οὕτω μὲν γάρ κ. τ. λ.] Μαρτυρείσθω ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου ὑπὸ παραπλησίου χωρίου (σελ. 289), «Οὕτω γὰρ καλοῦσι » τοὺς ἁρπαγέντας ».

ΣΕΛΙΔ. 431, στ. 10, Παλαιὰς.] Ἴδε τὰς Γαλλ. σημειώσ.—Στ. 18, Καὶ τὴν Καρίαν.] ΗΔ, ΑΤ, Κατὰ Καρίαν.—Στ. 25, Ἐνταῦθα δέ.] Ἐκ ΔΓ, ΑΤ, Ἐνταῦθα δή.—Στ. 28, Ἀπολείβεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Ὑπολείβεσθαι.

ΣΕΛΙΔ. 432, στ. 12, Μαλακότητας.] Ἴσ.γρ Μαλακότητα. —Στ. 13, Κορακῆν χρόαν... Κολοσσηνοί.] Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. IV, part. II, pag. 127, not. 1 et 2, et pag. 405).—Στ. 21, Ἅμα καὶ τό.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον.—Στ. 24, Κάρουρα.] Ἡ αὐτὴ καὶ ἡ παρ' Ἡροδότῳ (ζ, 30) καλουμένη Κύδραρα, ὥς τινες ὑπειλήφασιν. Ἰδ. τὴν τελευτ. Ἡροδότ. ἔκδοσ.

ΣΕΛΙΔ. 433, στ. 2, Ἐπιγενομένου.] Ἐκ ΔΓ, ΑΤ, Γενομένου.—Στ. 3, Σχεδὸν δέ τι.] Ἐκ ΔΓ, ΑΤ, Σχεδὸν δέ τοι.—Στ. 7, Καὶ τὸ ἐν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὰ ἐν.—Στ. 17, Διὰ τοιαῦτά τινα.] Ἴσ.γρ. Διὰ τοιαύτην αἰτίαν.—Στ. 19, Τρόπον τινά.] ΔΓ, Σχεδόν.—Στ. 20, Ἀντιτεκτονοῦντες.] ΗΔ, ΑΤ, Ἀρχιτεκτονοῦντες. Καὶ καταχωριζέσθω ἐν τοῖς Λεξικοῖς τὸ Ἀντιτεκτονεῖν, εἴ γε διόντως ἐτολμήθη μοι.—Στ. 25, Συμβῆναι.] Τῇ Ἀπαμείᾳ. Εἰκὸς δὲ τοῦτο συμβῆναι, ἡνίκα Ἀλέξανδρος ἐστρατοπέδευτο περὶ Κελαινάς (Ἰδ. Στέφ. Βυζάντ. λέξ. Χάραξ).—Στ. 28, Κεκλῆσθαι τὴν πόλιν ἐπώνυμον.] Τὴν Ἀπάμειαν δηλονότι κεκλῆσθαι Κελαινάς· οἱ αὐτοὶ γὰρ ἦταν ἑκατέρας τῆς πόλεως κάτοικοι, Κελαινῖται μὲν καλούμενοι, ἡνίκα τὰς Κελαινὰς ᾤκουν, τηρήσαντες δ' ἴσως τὸ ἀρχαῖον ὄνομα καὶ μετὰ τὸ μετοικισθῆναι εἰς τὴν Ἀπάμειαν (ἰδ. ἀνωτέρ. σελ. 431)· ὅπερ ὑπονοεῖν παρέχει καὶ ὁ Βυζάντιος Στέφανος (λέξ. Ἀπάμεια), τὸν Ἀπαμέα καὶ τὸν Κελαινίτην συνωνύμους ἐκφέρων, καίπερ ἡμαρτῆσθαι τὴν παρὰ τῷ Στεφάνῳ γραφὴν ὑπονοησάντων τῶν κριτικῶν. Καὶ Πλίνιος δὲ (v, 28) ὡς μίαν πόλιν ἀποδίδωκε τὰς Κελαινὰς καὶ τὴν Ἀπάμειαν.

ΣΕΛΙΔ. 434, στ. 1, Τὴν ἀπὸ τῶν.] ΗΔ (ἣν εἶχασε καὶ πρὸ ἡμῶν ἕτερος, καίπερ κακῶς διασκευάσας τὰ προηγούμενα), ΑΤ, Καὶ τὴν ἀπὸ τῶν.—Στ. 5, Ὁ ἡγεμών.] Ὁ Τιβέριος.—Στ. 7, Ὁ πατὴρ αὐτοῦ.] Ὁ τὸν Τιβέριον εἰσποιησάμενος Αὔγουστος. Ὁ δὲ νοῦς καὶ ἡ συνάρτησις ἰξὶν, Ἐπηνώρθωσε τὰς ἀνατραπείσας ὑπὸ σεισμοῦ πόλεις, ἐπιδοὺς χρήματα, ὁ Τιβέριος, καθάπερ ἐποίησε πρότερον ὁ πατὴρ αὐτοῦ Αὔγουστος, ἐπὶ τῇς γενομένης συμφορᾶς τοῖς Τραλλιανοῖς, ἐπιδοὺς χρήματα καὶ τούτοις (τοῖς Τραλλιανεῖς δηλονότι), καὶ τοῖς Λαοδικεῦσιν.—Στ. 18, Ὑπόνοσον.] ΗΔ, ΑΤ, Ὑπόνομον. Ἕτεροι δέ, Ὑπόβρωμον, διορθοῦν δεῖν οὐ πιθανῶς ᾠοντο. Καταχωριζέσθω δὲ ἡ λέξις, Ὑπόνοσος, καὶ ἐν τοῖς Λεξικοῖς, εἴ γ' ἐπέτυχον τῆς

διορθώσεως.—Στ. 23, Συνέζη.] Ἐκ ΔΓ, ΑΤ, Συνέζηκε.—Στ. 24, Ἡροφιλείων.] Ἐξ ΕΔ, ΑΤ, Ἡροφίλειον.

ΣΕΛΙΔ. 435, στ. 2, Ἔτι συμμένει.] ΗΔ, ΑΤ, Τε συμβαίνει. Στ. 8, Ἐκεῖ μνησθεὶς τῶν.] ΗΔ, ΑΤ, Ἐκείνη μνησθήσεσθαι (ΔΓ, Μνησθήσεται) τῶν. Ἴδ. τὰς Γαλλ. σημ.—Στ. 10, Οἷς ἐν Ἰδαίῳ.] Οὐκ ὀρθῶς τοῦτο τὸ ἡμιςίχιον μετὰ τοῦ ἑπομένου εἰς ἓν συνεκρίθησαν εἶχον ὑπὸ τῶν πρὸ ἡμῶν. Ἴδε περὶ τούτου τε καὶ τῶν ἑξῆς τὰς Γαλλικὰς σημειώσεις.

ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 437, στ. 3, Ἀποδώσομεν.] ΔΓ, Ἀποδώσωμεν.—Στ. 5, Ἐν ἐρημίᾳ.] Δείπει ἡ πρόθεσις ἐν ἑνὶ ἀντιγράφῳ.—Στ. 10, Ἐποικησάντων.] Ἐκ ΔΓ, ΑΤ, Ἐποικισάντων.

ΣΕΛΙΔ. 438, στ. 6, Ἀπὸ δὴ τῆς.] ΗΔ, ΑΤ, Ἀπὸ δὲ τῆς.—Στ. 10, Δὲ τούτων.] Ἐκ ΔΓ, ΑΤ, Δὴ τούτων.—Στ. 15, Ἤπειρ.] Πρὸς τὸ Φωκαίας· οὕτω μέντοι, ὥςε τὴν μὲν Κύμην ἐν ταῖς Αἰολικαῖς τετάχθαι πόλεσι, κατὰ τὰ ἑξῆς (σελ. 498) ῥηθησόμενα, τὴν δὲ Φωκαίαν ἐν ταῖς Ἰωνικαῖς (Μέρ. Γ, σελ. 3 καὶ 47). Καὶ αὕτη μὲν Παλαιαὶ Φώκιαι νῦν καλοῦνται πληθυντικῶς, καὶ μονοφθογγουμένης τῆς θευτέρας συλλαβῆς· ἡ δὲ Κύμη, Καινούργιαι Φώκιαι.—Στ. 23, Αἱρέσεις.] Ὁ πρῶτος μεταφράσας εἰς τὴν Ῥωμαίων φωνὴν τὸν Στράβωνα, εἰπὼν Partitiones, τουτέςι Διαιρέσεις, ἐξ ἀμείνονος ἴσως γραφῆς ἡρμήνευσεν οὕτως.

ΣΕΛΙΔ. 439, στ. 15, Τὴν ςρατιάν.] Γραπτέον δίχα τοῦ ἄρθρου, καίπερ ἐν ἅπασι φερομένου τοῖς ἀντιγράφοις.—Στ. 22, Οἱ δ' ὕςερον.] Περιττὸς καὶ ἐνθάδε ὁ σύνθεσμος.—Στ. 27, Ἀπὸ Πριάπου... συςέλλων.] Ταῦθ' οὕτω μεθαρμόζειν θεῖν εἴκαζον ἐν ταῖς Γαλλικαῖς σημειώσεσιν, Ἀπὸ Πριάπου, Ἀρτάκῃ τῷ ἐν τῇ Κυζικηνῶν νήσῳ χωρίῳ ἀνταίροντος, συςέλλων.

ΣΕΛΙΔ. 440, στ. 8, Μάλιςα.] Ἀποκατέςησα τὴν προτέραν γραφήν, ΑΤ, Κάλλιςα.—Στ. 10, Ἐπιςρέφοντες.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιςραφέντος.—Στ. 13, Ὅ τε Ἑλλήσποντός ἐςιν, ἐν ᾧ καὶ τό.] Γραπτέον, οἶμαι, Ὅ τε Ἑλλήσποντός ἐςι, καὶ τὸ, ἡ, Ὁ Ἑλλήσποντός ἐςι, μεθ' ὃν τό.—Στ. 21, Ἴδην.] Ἐκ τῆς Ἰλιάδος, ξ, 285.—Στ. 23, Ὕπνος καὶ Ἥρα, τοῖς οὖσιν οἰκείως.] ΗΔ, ΑΤ, Ὕπνος καὶ ἡ Ἥρα, οἰκείως. ΔΓ, Ὕπνος καὶ ἡ Ἥρα τοῖς ἰοῦσιν οἰ-

κείως.—Στ. 26, Ὀρθῶς· ὡς καὶ τὸ πολυπίδακα.] Ἢ οὕτως, ὡς διώρθωκα, τῇ προσθήκῃ τοῦ ὁμοιωματικοῦ, γραπτέον, ἤ, Ὀρθῶς· ὀρθῶς δὲ καὶ τὸ πολυπίδακα, διπλάζοντας τὸ ἐπίρρημα.

ΣΕΛΙΔ. 441, στ. 2, Ὅσσοι.] Ἐκ τῆς Ἰλιάδος, μ', 19.—Στ. 5, Ὁρᾶν τούς τε.] ΗΔ, ΑΤ, Ὁρᾶν· τοὺς δή.—Ἐφ' ἑκάτερα οὕτως, τό.] ΗΔ, ΑΤ, Ἐφ' ἑκάτερα ὁρᾷ οὕτως τό. Αἱ δὲ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Ἐφ' ἑκατέρᾳ οὕτω τό. Ἴσως ἡ γνησία γραφὴ ἦν, Ἐφ' ἑκάτερα ὄντας, τό.—Στ. 6, Οἰκείως τούτων καί.] ΔΓ, Οἰκείως τὰ τῶν καί. Ἡ δὲ γνησία ἴσως ἦν Οἰκείως τε τούτων καί.—Στ. 7, Ἄκρον· καὶ γὰρ νῦν Γάργαρον.] Ἀντὶ τῆς πρώτης λέξεως, δύο ἔγραψεν (Ἐκ ΔΓ) ὁ Γερμανὸς ἐκδότης, Ἄκρον ἕτερον, τῶν προτέρων ἐκδόσεων φερουσῶν, Ἀκρόντερον, ὅ τινες εἰς τὸ Ἀκρωτήριον τρέπειν παρήνουν.—Στ. 10, Πρῶτά ἐσιν.] Ἰσ.γρ. Τὰ πρῶτά ἐσιν. Ὁποτέρως δ' ἂν γράφῃς, προσυπακουσέον τὸ Μέρη.—Στ. 22, Τάς γε ἄκρας.] ΗΔ, ΑΤ, Τάς τε ἄκρας.

ΣΕΛΙΔ. 442, στ. 7, Δώδεκα.] Ἐκ τῆς Ἰλιάδος, ι, 328.—Στ. 13, Ἀλλ' οἷον.] Ἐκ τῆς Ὀδυσσείας, λ', 518.—Στ. 17, Ὅτε Λέσβον.] Ἐκ τῆς Ἰλιάδος, ι, 129.—Στ. 19, Πέρσε.] Ἐκ τῆς Ἰλιάδος, υ, 92.—Στ. 21, Λυρνησόν.] Ἐκ τῆς αὐτῆς, β', 691.—Στ. 23, Τὴν ἐκ.] Ἐκ τῆς αὐτῆς, β', 690.—Στ. 26, Οὐδὲ μέν.] Ἐκ τῆς αὐτῆς, τ', 295.

ΣΕΛΙΔ. 443, στ. 2, Ὠιχόμεθ'.] Ἐκ τῆς Ἰλιάδος, ά, 366.—Στ. 3-15, Τὴν Χρυσηΐδα. Καὶ τὴν Ἀνδρομάχην δέ·

Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων.

Οἰκείως δὲ τούτοις καὶ τὸ ὑπὸ τῆς Ἀνδρομάχης λεχθὲν οὕτως,

Ἕκτορ, ἐγὼ δύστηνος! ἰῇ ἄρα γεινόμεθ' αἴσῃ
Ἀμφότεροι· σὺ μὲν ἐν Τροίῃ Πριάμου ἐνὶ οἴκῳ,
Αὐτὰρ ἐγὼ Θήβῃσιν,

οὐκ οἴονται δεῖν ἐξ εὐθείας ἀκούειν, ἀλλὰ καθ' ὑπερβατὸν, Ἀμφότεροι ἐν Τροίῃ, σὺ μὲν Πριάμου ἐνὶ οἴκῳ, αὐτὰρ ἐγὼ Θήβῃσιν. Δευτέρα οὖν αὕτη δυναστεία Τρωϊκὴ μετὰ τὴν ὑπὸ Μύνητι. Τρίτη δ' ἐστὶν κ. τ. λ.] ΗΔ (μικρόν τι καὶ τῶν ἀντιγράφων

πρσλαβόντων) ἡ μετακόσμησις ὅλου τούτου τοῦ χωρίου, ΑΤ (συγκεχυμένως γεγραμμένου), «Τὴν Χρυσηΐδα. Οὐκ οἴονται δὲ δεῖν ἐξ » εὐθείας ἀκούειν,

» — Σὺ μὲν ἐν Τροίῃ. —
» Αὐτὰρ ἐγὼ Θήβῃσιν (ἢ Θήβῃθεν)—
» Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
» Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
» Θήβῃ ὑποπλακίῃ, Κιλίκεσσ' ἀνδρεσσιν ἀνάσσων.

» Δευτέρα οὖν αὕτη δυναστεία Τρωϊκὴ μετὰ τὴν ὑπὸ Μύνητι. Οἰκείως » δὲ τούτοις καὶ τὸ ὑπὸ τῆς Ἀνδρομάχης λιχθὲν οὕτως,

» Ἕκτορ, ἐγὼ δύζηνος· ἰὴ ἄρα γεινόμεθ' αἴσῃ
» Ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου ἐνὶ οἴκῳ,
» Αὐτὰρ ἐγὼ Θήβῃσιν.

» Ἀλλὰ καθ' ὑπερβατόν· Ἀμφότερ' ἐν Τροίῃ, σὺ μὲν Πριάμου » ἐνὶ οἴκῳ, Αὐτὰρ ἐγὼ Θήβῃσι. Τρίτη δ' ἐστιν.» Ἴδε τὴν Γαλλικὴν μετάφρασιν (tom. IV, part. II, pag. 146) καὶ τὰς Χρησομαθείας (Μέρ. Γ, σελ. 419).—Στ. 5, Ἀνδρομάχη.] Ἐκ τῆς Ἰλιάδος, ζ', 395.—Στ. 9, Ἕκτορ.] Ἐκ τῆς αὐτῆς, χ', 477.—Στ. 17, Ἄλτεω.] Ἐκ τῆς αὐτῆς, φ', 86.—Στ. 21, Τρωσί.] Ἐκ τῆς αὐτῆς, β', 816. —Στ. 23, Δαρδανίων.] Ἐκ τῆς αὐτῆς, β', 819.—Στ. 25, Αἰνεία.] Ἐκ τῆς αὐτῆς, υ', 83.—Στ. 27, Οἱ δὲ Ζίλειαν.] Ἐκ τῆς αὐτῆς, β', 824.

ΣΕΛΙΔ. 444, στ. 3, Οἱ δ' ἄρα.] Ἐκ τῆς Ἰλιάδος, β', 824.—Στ. 8, Ἀλλ' υἱόν.] Ἐκ τῆς αὐτῆς, δ', 499.—Στ. 12, Πρῶτον.] Ἐκ τῆς αὐτῆς, ο', 546.—Στ. 25, Καὶ σέ.] Ἐκ τῆς αὐτῆς, ω', 543.—Στ. 26, Μάκαρος ἔδος.] Ἐπιθι τὰ ἀνωτέρω (σελ. 145) σημειωθέντα μοι.—Στ. 28, Ἠκολούθησαν.] Συνέβησαν, ἐφ' ἧς ἐννοίας χρώμεθα πολλάκις τῷ Ἀκολουθῶ καὶ ἐν τῇ συνηθείᾳ.

ΣΕΛΙΔ. 445, στ. 17, Οἱ δὲ Ζέλειαν.] Ἐκ τῆς Ἰλιάδος, β', 824.—Στ. 21, Δὲ καλεῖ.] ΗΔ (συνάδουσα τῇ Ἰταλικῇ μεταφράσει, chiama), ΑΤ, Δ' ἐκάλει.

ΣΕΛΙΔ. 446, στ. 5, Οἱ δ' Ἀδρήστειαν.] Ἐκ τῆς Ἰλιάδος, β', 828.—Στ. 12, Εἰς τὴν Ἠλείαν, Σκάρθων.] Ἐπειδὴ οὐδενὶ ἑτέρῳ πλὴν Στράβωνος μνημονεύεται ὁ Σκάρθων, εἰκασα μήποτε ἐγέγραπτο, Εἰς τὴν Ἠλείαν εἰσβάλλων, ἢ ἐμβάλλων.—Πολλάς.] ΗΔ (πρὸς τὸ διαβάσεις), ΔΤ, Πολλούς.

ΣΕΛΙΔ. 447, στ. 11, Ὀρθάνη.] « Ὀρθάνης τῶν ὑπὸ τὸν Πρίαπον » ἐπὶ θεῶν, καὶ αὐτὸς ἐντεταμένον ἔχων τὸ αἰδοῖον » φησὶν Ἡσύχιος. — Κονισάλῳ.] Δαίμων καὶ οὗτος πριαπώδης, καθά φησιν ὁ Σουΐδας· κατὰ δὲ τὸν Ἡσύχιον, Κονισαλος ἐκαλεῖτο καὶ « Σκίρτησις » σατυρικὴ τῶν ἐντεταμένων τὰ αἰδοῖα. » Καὶ ἐπὶ τῆς σκηνῆς δὲ ἐθιῶντο τοὺς αἰσχροὺς τούτους θαίμονας· Εὔβουλος μὲν γὰρ ὁ κωμικὸς ἐδίδαξε τὸν Ὀρθάνην, Τιμοκλῆς δὲ τὸν Κονισαλον. — Τύχωνι.] « Τύχων, θαίμων ἐπὶ περὶ τὴν Ἀφροδίτην » κατὰ τὸν Ἐτυμολόγον. — Στ. 15, Δὲ Καλλισθένης.] ΗΔ, ΑΤ, Δέ καὶ Καλλισθένης. Παρέλιπεν δὲ τὸν δεύτερον σύνδεσμον καὶ οἱ μεταφραζαί. — Στ. 18, Μαντεῖον ἦν Ἀρτέμιδος.] Ἀναπλήρου τὰ τυπογράφων ἁμαρτίᾳ κολοβωθέντα, γράφων, Μαντεῖον ἦν Ἀπόλλωνος Ἀκταίου καὶ Ἀρτέμιδος. — Κατὰ τὴν Πυκάτην.] Ἀσερίσκοις διείληφα ταῦτα, καὶ διὰ τὸ λείπειν ἔν τε τῷ ἐμῷ ἀντιγράφῳ, καὶ ἑτέρῳ ὑπὸ τῶν πρὸ ἐμοῦ ἀντιβληθέντι, καὶ διότι οὐδεὶς ἄλλος πλὴν Στράβωνος μνημονεύει τῆς Πυκάτης· διὸ καὶ τῶν κριτικῶν οἱ μὲν παρῆνουν γράφειν, Κατὰ τὴν ακτὴν (ὥσπερ ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει), ἢ Κατὰ τὴν ἐπακτίαν, οἱ δέ, Κατὰ τὴν Περκώτην. Νῦν δέ, ἐκ ΔΓ ὁρμώμενος τῆσδε, Κατὰ τὴν Τυκάτιν, ὑπολαμβάνω γραπτέον εἶναι, Κατὰ τὴν Πιτυάτιν, τουτέστι κατὰ τὴν περὶ τὴν Πιτύαν χώραν. Καὶ σημείωσαι, ὅτι ἡ κατὰ τὴν Πιτυάτιν διάρσεια μεταξὺ Πριάπου καὶ Παρίου ἔκειτο, ὥσπερ καὶ τὴν πόλιν Πιτύαν μεταξὺ Πριάπου καὶ Παρίου κεῖσθαι φήσει μετ' ὀλίγα (σελ. 448) ὁ Στράβων. — Στ. 24, Οὐδὲ Νεμέσεως.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ δὴ Νεμέσεως.

ΣΕΛΙΔ. 448, στ. 3, Λειμένα ἔχουσα μείζω τῆς Πριάπου.] Ἡ γραπτέον... μείζω τοῦ τῆς Πριάπου, καθάπερ ἡρμήνευσα Γαλλιστί, ἢ, Λειμένα ἔχουσα, μείζων τῆς Πριάπου, ἵνα δηλῶται, ὅτι ἡ πόλις Πάριον, καὶ λειμένα εἶχε, καὶ μείζων ἦν τῆς πόλεως Πριάπου. — Στ. 7, Ὀφιογενεῖς συγγένειάν τινα ἔχειν πρὸς τοὺς ὄφεις· φασὶ δ' αὐτῶν.] Οὐκ ακριβῶς συνήρτηται ταῦτα· ἴσ. γρ. Ὀφιογενεῖς· συγγένειαν δέ τινα ἔχειν πρὸς τοὺς ὄφεις φασί, καὶ αὐτῶν. Τοὺς δὲ Ὀφιογενεῖς καὶ ἐν Παρίῳ, ὥσπερ ὁ Στράβων, τίθησιν ὁ Πλίνιος (VII, 2), καὶ ἐν Κύπρῳ (XXVIII, 3). Ἴσως δὲ καὶ ὁ Αἰλιανὸς (Περὶ ζώων ἰδιότ. ιϛ', 39) τῶν ἐν Παρίῳ Ὀφιογενῶν μνημονεύει, ἐν οἷς φησιν, « Ἀλίᾳ τῇ Συβάριος ΠΑΡΙΟΥΣΗ εἰς ἄλσος Ἀρτέμιδος, ἣν δὲ ἐν » Φρυγίᾳ τὸ ἄλσος... ὄφεων ὠμίλησεν αὐτῇ· καὶ ἐντεῦθεν οἱ καλοῦ-

» μενοι Ὀφιογενεῖς κ. τ. λ. » ἔνθα γραπτέον ἴσως, Ἀλίᾳ τῇ Συβάριος ΤΟΥ ΠΑΡΙΟΥ, ΠΑΡΙΟΥΣΗ (ἡ ΤΟΥ ΠΑΡΙΟΥ, ΙΟΥΣΗ) κ. τ. λ. Τὸ γὰρ τῆς Ἀρτέμιδος ἄλσος ἢ μαντεῖον περὶ τὸ Πάριον ἦν, ὡς ἐδήλωσεν ἀνωτέρω (σελ. 447) Στράβων· καὶ ἡ Τρωὰς τῆς Φρυγίας ὑπὸ πολλῶν ἐνομίζετο.—Στ. 23, Ἐν δὲ τοῖς.] Ἐκ ΔΓ, ΑΤ, Ἐν δὲ τούτοις.—Πρῶτα.] ΗΔ, ΑΤ, Πρῶτον.

ΣΕΛΙΔ. 449, στ. 7, Τηρεύς.] ΗΔ, ΑΤ, Τῆς Ῥείης.—Στ. 11, Πιτυοῦσσα.] ΗΔ (συνάδουσα τῇ ἐν τοῖς πρόσθεν, σελ. 155, γραφῇ), ΑΤ, Πιτύουσα.—Στ. 21, Καὶ δῆμον.] Ἐκ τῆς Ἰλιάδος, β', 828.—Στ. 23, Ὅς ῥ' ἐνί.] Ἐκ τῆς αὐτῆς ε, 612.

ΣΕΛΙΔ. 450, στ. 25, Οἳ δ' ἄρα.] Ἐκ τῆς Ἰλιάδος, β', 835.

ΣΕΛΙΔ. 451, στ. 2, Ὃν Ἀρίσβηθεν.] Ἐκ τῆς αὐτῆς, ε, 838.—Στ. 19, Οἵ τ' ἄρα.] Ἐκ τῆς αὐτῆς, β', 522.—Στ. 21, Κλυτὰ ἴσγ' ἐνίσμοντο.] Ἐκ τῆς αὐτῆς, β', 854· ὅπου μέντοι γράφεται, Κλυτὰ δώματ' ἔναιον.

ΣΕΛΙΔ. 452, στ. 3, Ὃς μήτρως.] Ἐκ τῆς Ἰλιάδος, π', 717.—Στ. 12, Ἔξευξεν ὁ Ξέρξης.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου μόνου (ἐνάρθρως), ΑΤ (δυσφωνοτάτου), Ἔζευξε Ξέρξης.—Στ. 16, Γειτοσύνην.] Κατεχωριζέσθω ἐν τοῖς Λεξικοῖς τὸ ὄνομα Γειτοσύνη (συνώνυμον τῷ Γειτνίασις), παρὰ τὸ Γείτων, ἀναλόγως τῷ Σώφρων, Σωφροσύνη.

ΣΕΛΙΔ. 453, στ. 17, Καθ' αὑτά.] Ἐκ ΔΓ, ΑΤ, Καθ' αὑτό.—Στ. 23, Δαρδανίων.] Ἐκ τῆς Ἰλιάδος, β', 819.

ΣΕΛΙΔ. 454, στ. 2, Τρῶες.] Ἐκ τῆς Ἰλιάδος, ὁ, 425.—Στ. 5, Δάρδανον.] Ἐκ τῆς αὐτῆς, υ, 215.—Στ. 8, Πλάτων.] Ἐν τῷ Περὶ νόμων (σελ. 677).—Στ. 9, Ἁπλοῦν τι.] Ἐκ ΔΓ, ΑΤ, Ἁπλοῦν τι.—Στ. 17, Καὶ καθάπερ τῶν ἀγαθῶν τε καὶ τῶν ἀγρίων, ἐπὶ τὸ ἥμερον τῶν δευτέρων ὑποβεβηκότων, ἐσί τις διαφορὰ καὶ παρὰ τούτοις.] Τὸ μὲν ἐκ ΔΓ, τὸ δ' ἐξ ΗΔ, ΑΤ, Καὶ ἅπερ τῶν ἀγαθῶν τε αἴτιά πως καὶ τῶν ἀγρίων ἐπὶ τὸ ἥμερον τῶν δευτέρων ὑποβεβηκότων. Ἔσι δέ τις κ. τ. λ. Δί πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις· ΚΑΘΑΠΕΡ ΤΩΝ ΑΓΑΘΩΝ ΤΕ ΚΑΙ ΤΩΝ ΑΝΔΡΕΙΩΝ, ΕΤΙ ΠΩΣ ΕΠΙ ΤΟ ἥμερον τῶν δευτέρων ὑποβεβηκότων· ἔσι δέ τις κ. τ. λ. ΔΓ, ΚΑΙ ΑΠΕΡ ΤΩΝ ΑΓΑΘΩΝ (ἄλλ. ἀγαθῶν τε) ΑΙΤΙΑ ΠΩΣ (ἄλλ. ἔσι πως : εἴπως) ΚΑΙ ΤΩΝ ΑΓΡΙΩΝ (ἄλλ. καὶ ἀγρίων) ἐπὶ τὸ ἥμερον τῶν δευτέρων ὑποβεβηκότων (ἄλλ. ἐπιβεβηκότων)· ἔσι δέ τις. Ἡ ἡμετέρα διασκευὴ καὶ διόρθωσις

συνάδει

συνάδει, ἓν γε τοῖς πρώτοις, τῷ ἀρχαίῳ Λατίνῳ μεταφράσῃ ἑρμηνεύσαντι, Et ut [καὶ καθάπερ] boni illi et agrestes... est quædam [ἐσί τις].—Στ. 19, Παρὰ τούτοις.] Ἐκ ΔΓ, ΑΤ, Παρὰ τούτους.—Τῶν ἀγροίκων, καὶ μεσαγροίκων.] ΔΓ, Τῶν ἀγρίων καὶ μεσαγρίων.—Στ. 22, Κατὰ τήν.] Ἐκ ΔΓ (συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου καὶ τοῦ ἀρχαίου μεταφραστοῦ), ΑΤ, Καὶ κατὰ τήν.—Στ. 28, Ἀλλὰ τά γ'.] Ἐκ τῆς Ὀδυσσείας, ί, 109.

ΣΕΛΙΔ. 455, στ. 2, Τοῖσιν.] Ἐκ τῆς Ὀδυσσείας, έ, 112.—Στ. 6, Τὸν ἐπὶ τοῦ.] ΗΔ, ΑΤ, Τὸν ἐκ τοῦ.—Στ. 7, Κτίσσε.] Ἐκ τῆς Ἰλιάδος, ύ, 216.—Στ. 15, Οἱ δὲ παρ' Ἴλου.] Ἐκ τῆς Ἰλιάδος, λ', 166.—Στ. 17, Τελίως.] Ἐκ ΔΓ, ΑΤ, Τελείως.

ΣΕΛΙΔ. 456, στ. 7, Ἐπισολὴν καταπέμψαι.] Αἱ πρότεραι ἐκδόσεις, Ἐπεισολὴν ἐπιπέμψαι. Ἴσ.γρ. Ἐπισολὴν αὐτοῖς πέμψαι.—Στ. 8, Ποιῆσαι.] Γραπτέον, Ποιήσειν, διά τε τὸ ἑξῆς Ἀποδείξειν, καὶ τὸ ἀλλαχοῦ (Μέρ. Γ, σελ. 222) Συμπράξειν ὑπισχνουμένων.—Στ. 23, Κεραμωτὰς... ςέγας.] Ἴδε τὰ σημειωθέντα ἀνωτέρω (σελ. 238).

ΣΕΛΙΔ. 457, στ. 7, Μηχανάς (γρ. Μηχανάς τε).] Ἐκ ΔΓ, ΑΤ, Μάντεε.—Στ. 8, Ἑνδεκαταίους.] Μακρῷ πιθανωτέρα ἡ ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 421) γραφὴ, Ἐν ἡμέραις δέκα· ὅθεν γραπτέον κἀνθάδε, Δεκαταίους.—Στ. 9, Τὸν χιλιόναυν ΣΤΟΛΟΝ.] Γραπτέον, ΣΤΡΑΤΟΝ, οὐ μόνον διὰ τὸ οὕτω γεγράφθαι ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 422), ἀλλὰ καὶ ὅτι οὕτω φέρεται παρ' Εὐριπίδῃ (Ὀρές. 352)· λέγει δὲ τοῦτο παρ' ἐκείνῳ ὁ χορὸς πρὸς τὸν Μενέλαον,

Αἳ χιλιόναυν ςρατὸν ὁρμήσας
εἰς γῆν Ἀσίαν,
Χαῖρε———————

—Στ. 10, Ἑνδεκάτῃ.] Δεκάτῃ, γραπτέον καὶ ὧδε ἐκ τῶν Χρησομαθειῶν.—Στ. 27, Γνωριμώτερα.] Ἐξ ΕΔ, ΑΤ, Γνωριμώτατα.—Στ. 29, Τὸν Αἰνείαν... ἔπειθ' ὅτι.] Ἐκ ΔΓ, ΑΤ, Τόν τ' Αἰνείαν... ἔπειτά τε.

ΣΕΛΙΔ. 458, στ. 1, Ἴλου.] Ἐκ ΔΓ, ΑΤ, Ἰούλου.—Στ. 16, Ῥησός θ'.] Ἐκ τῆς Ἰλιάδος, μ', 20.

ΣΕΛΙΔ. 459, στ. 14, Πρωτεσίλειον.] Ἐξ ΕΔ, ΑΤ, Πρωτεσίλεων.—Στ. 20, Κατὰ τὸ πρός.] Ἐκ ΔΓ, ΑΤ, Πρός τὸ κατά.

ΣΕΛΙΔ. 460, στ. 4, Ἰλίου.] Ἐκ τῆς Ἰλιάδος ταῦτά τε καὶ τὰ ἑξῆς, ε, 640-642.—Στ. 19, Τῆς Τενεδίων.] Ἀναπλήρου τὸ ἡμαρτημένως τυπωθὲν, γράφων, Τῆς Τενεδίων περαίας, καὶ παράβαλε τοῖς ἑξῆς (σελ. 470) ῥηθησομένοις.

ΣΕΛΙΔ. 461, στ. 7, Κεβριόνην.] Ἐκ τῆς Ἰλιάδος, π, 738.—Στ. 13, Κεβρηνούς.] Ἐκ ΔΓ, ΑΤ, Κεβρηνείας.—Στ. 16, Τῆς κατὰ τούτους.] ΗΔ (ἀναφερομένης τῆς ἀντωνυμίας εἰς τοὺς ἀνωτέρω Σκηψίους), ΑΤ, Τῆς κατὰ τοὺς τόπους. Αἱ πρότεραι ἐκδόσεις, Τῆς κατὰ τόπους.—Στ. 22, Καταλαμβάνεσθαι.] ΗΔ (τουτέστι, περιλαμβάνεσθαι, περιέχεσθαι), ΑΤ, Μεταλαμβάνεσθαι. Συνέχεαν δὲ οὐκ ὀλιγάκις τὰς δύο ταύτας προθέσεις οἱ ἀντιγραφεῖς· οἷόν ἐστι καὶ τὸ παρὰ τῷ Πολυβίῳ (ιί, 30), « Ἅμα δὲ τῷ ΜΕΤΑΛΑΒΕΙΝ » τὸ τῆς νυκτὸς » ἔνθα γραπτέον ΚΑΤΑΛΑΒΕΙΝ. Διόρθου ὃ' ἐν παρόδῳ καὶ τὸ κατὰ τὸ τέλος τοῦ αὐτοῦ Πολυβιακοῦ κεφαλαίου, « Οὐ γὰρ ἐλάττω ΠΟΙΕΙΤΑΙ παιδάρια κ. τ. λ. » γράφων, ΠΟΙΕΙ ΤΑ.—Στ. 23, Ὁ Σκαμανδρος.] Ἐκ ΔΓ προσειλήφα τὸ ἄρθρον.

ΣΕΛΙΔ. 462, στ. 6, Ἐκτεινόμενος.] ΗΔ, ΑΤ, Γενόμενος. Ἔξι δὲ καὶ ἀπροθέτως γράφειν, Τεινόμενος.—Δ' ἕως.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Ἕως.—Στ. 7, Τὸ ⇐ γράμμα.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Τὸ Υ (ἄλλ. Γ) γράμμα. Ἐπιθὲ τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 13, Διέχων.] Ἐξ ΕΔ, ΑΤ, Ἔχων.—Στ. 15, Ὧρτο.] Ἐκ τῆς Ἰλιάδος, υ, 51.—Στ. 25, Πρὸς Θύμβρης.] Ἐκ τῆς αὐτῆς, κ, 430.

ΣΕΛΙΔ. 463, στ. 1, Πεντήκοντα.] Ἐκ ΔΓ, ΑΤ, Καὶ πεντήκοντα.—Στ. 4, Λαόν.] Ἐκ τῆς Ἰλιάδος, ζ, 433.—Στ. 7, Ἀπέοικε.] Ἴσ.γρ. Ἀφέσηκε.—Στ. 9, Ὄφρα.] Ἐκ τῆς Ἰλιάδος, ι, 352.—Στ. 16, Τοιαύτης πόλεως] Ἐξ ΕΔ (συναδούσης τῷ Εὐσταθίῳ), ΑΤ, Τῆς πόλεως.—Στ. 27, Πρόσχωμα.] Ἐκ ΔΓ, ΑΤ, Πρόχωμα.

ΣΕΛΙΔ. 464, στ. 5, Ὡς ὄφ'.] Ἐκ τῆς Ὀδυσσείας, ξ, 469.—Στ. 11, Ἡὲ πόλινδε.] Ἐκ τῆς Ἰλιάδος, κ, 210.—Στ. 14, Ἀμφὶ μάλα.] Ἐκ τῆς αὐτῆς, σ, 254.—Στ. 22, Πρόσχωμα.] Ἐκ ΔΓ, ΑΤ, Πρόχωμα.—Στ. 24, Ὃς Τρώων.] Ἐκ τῆς Ἰλιάδος, χ, 165.

ΣΕΛΙΔ. 465, στ. 18, Ἀλκαῖος σῶος ἄρει· ἔντεα δ' αὖ κατὰ τὰν ἀλέκτοριν ἐς Γλαυκωποῦ κ. τ. λ.] Τὸ μὲν ἐκ ΔΓ, τὸ δ' ἐξ ΕΔ, ΑΤ, Ἀλκαῖος σῶος ἄροι ἔνθα δ' οὐκ αὐτὸν τὸν ἀλεκτορὶν ἐς Γλαυκωπόν. Ταῦτα ἄλλοι ἄλλως διορθοῦν καὶ ἐξηγεῖσθαι ἐπεβάλοντο, καθάπερ ἔστιν ἰδεῖν ἐν ταῖς ὑποτεταγμέναις τῇ τε τοῦ Γερμανοῦ

καὶ τῇ τοῦ Ἀγγλου ἐκδόσει σημειώσεσιν· αἷς ἡμεῖς τὴν ἐκείνοις τέως ἀγνοουμένην νεωτάτην διόρθωσιν Ἀγγλου τινὸς (Mus. critic. or Cambridge classic. research. vol. I, n° 4, *pag.* 438), προσσημειωσάμενοι ἑτέροις καταλείψομεν τὴν περὶ αὐτῶν κρίσιν. Οὕτος τοίνυν οὕτω διώρθου καὶ διεσκεύαζε τὸ χωρίον·

Ἀλκαῖος σῶος Ἄρει· ἜΝΤΕΑ Δ' ΟΪΚ ΑΥΤΟΪ
Τὰν ἀλέκτοριν ἐς Γλαυκωποῦ ἱερὸν κρήμνασαν Ἀττικοί·

ἡ ἜΝΤΕΑ Δ' ΑΥ ΚΑΥΤΑΝ, ὅπερ ἡμεῖς προτιλόμεθα. Καὶ Ἀλέκτορις μὲν ἡ Ἀλεκτορὶς, ὁ λόφος τῆς περικεφαλαίας ἐλέγετο, καθά φησιν ὁ Ἐτυμολόγος (σελ. 59)· Γλαυκωποῦ δὲ ἱερὸν τὸ ἐν Σιγείῳ Ἀθήναιον ἦν, οὗ καὶ Ἡρόδοτος (ε, 95) ἐμνημόνευσεν, αὐτοῦ τούτου τὴν φυγὴν Ἀλκαίου ἱεροῦν.

ΣΕΛΙΔ. 466, στ. 1, Ἐπιτειχίσαι.] ΗΔ, ΑΤ, Περιτειχίσαι.—Στ. 7, Κατέσκαπται δὲ ΚΑΙ ΤΟ Σίγειον.] Ἴσως ἡ τὸν δεύτερον μόνον σύνδεσμον περιαιρετέον (ὃν παρέλιπον καὶ οἱ ἀρχαῖοι μεταφραστοί, ὅ τε Λατῖνος καὶ ὁ Ἰταλὸς), ἢ γραπτέον, ΚΑΙ ΤΟΥΤΟ ΚΑΙ ΤΟ, ἵν' ᾖ, Κατέσκαπται καὶ τὸ Ἀχίλλειον καὶ τὸ Σίγειον.—Στ. 13, Πολέμῳ τῷ Παχητίῳ.] Τουτέστι, Πολέμῳ, ἐν ᾧ ἐστρατήγει ὁ Πάχης.—Στ. 14, Ἠφανίσθαι συνέβη.] Ἐκ ΔΓ, ΑΤ, Συνέβαινεν ἠφανίσθαι.—Στ. 16, Ἐξελείφθη.] ΗΔ (παρὰ τὸ Ἐκλείπω), ΑΤ, Ἐξηλείφθη (παρὰ τὸ Ἐξαλείφω). ΔΓ, Ἐξελήφθη (παρὰ τὸ Ἐκλαμβάνω).—Στ. 18, Οὔτε γὰρ τῆς.] Ἰσ.γρ. Οὐδὲ γὰρ τὴν, ἢ, Οὐδὲ γὰρ τὴν τῆς.—Στ. 20, Πίφνε.] Ἐκ τῆς Ἰλιάδος, ν, 363.—Στ. 24, Οὐδὲ μέμνηται.] Ἰσ.γρ. Οὐ μέμνηται.—Ἡ ἐν τῇ ναυαγίᾳ.] Ἐκ ΔΓ προσείληφα τὸ πρῶτον ἄρθρον.—Στ. 25, Τοιαύτην αἰτίαν.] Ἰσ.γρ. Τοιαύτην τιν' αἰτίαν.

ΣΕΛΙΔ. 467, στ. 5, Ἔσσεται.] Ἐκ τῆς Ἰλιάδος, ζ, 448.—Στ. 6, Ἡ γὰρ καί.] Ἐκ τῆς Ὀδυσσείας, γ, 130, ἔνθα μέντοι φέρεται, Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν.—Στ. 7, Βουλῇ.] ΗΔ, ΑΤ, Εἴπερ βουλῇ. Ἐγέγραπτο ἴσως, Ἐπίφρονι βουλῇ, ἐκ τῆς αὐτῆς Ὀδυσσείας, γ, 128. Ἡμῖν δ' ἔδοξε γράφειν τὸν στίχον πληρέστερον, καθάπερ ἔγραψεν ἐν τοῖς πρόσθεν ὁ Στράβων (Μέρ. Α, σελ. 21), περὶ οὗ ἔπειθι τὰ ἐκεῖ σημειωθέντα (σελ. 9).—Στ. 8, Πέρθετο.] Ἐκ τῆς Ἰλιάδος, μ, 15.—Στ. 12, Θεῖναι.] Ἐκ τῆς αὐτῆς, ζ, 92.—Στ. 14, Μή ποτε... ἐφίσσεσθαι.] Ἐκ τῆς Ἰλιάδος, ι, 455, ὅθεν ἔγραψα καὶ Ἐφέσσεσθαι, ΑΤ, Ἐφέζεσθαι.—

Στ. 17, Ἡ δ' ἧσαι.] Ἐκ τῆς Ὀδυσσείας, ζ, 305.—Στ. 20, Θυάσιν.] Ἐκ ΔΓ, ΑΤ, Θυιάσιν. Λέγειν δὲ τοῦτο βούλεται, ὅτι οἱ καταβιβάζοντες τὸν τόνον τοῦ Γουνάσιν (παρὰ τὸ Γόνυ), καὶ γράφοντες Γουνάσιν (παρὰ τὸ Γουνάς, Γουνάδος), ὥσπερ γράφεται: τὸ Θυάσιν (παρὰ τὸ Θυάς, Θυάδος), ἀπεραντολογοῦσιν, εἴτε δέχονται τὸ Γουνάσιν, ὡς συνώνυμον τοῦ Ἱκετείαις (τοῦτο γὰρ νοεῖ διὰ τοῦ ἑξῆς Ἱκετεύοντες, εἴγε ὀρθῶς ἔχει ἡ μετοχὴ), εἴτε κ. τ. λ.—Στ. 21, Εἶθ' ἱκετεύοντες... τε φρένας.] Οὕτως ἔγραψα, ΑΤ, Εἶθ' ἱκετεύοντές τε φρένας. Τὸ δὲ χωρίον ὕποπτον, ἄλλως τε καὶ διότι παρελείφθη ὅλως ὑπὸ τῶν ἀρχαίων μεταφραστῶν. Αἱ πρῶται δύο λέξεις ἴσως γνησιώτερον ἐγράφοντο πάλαι, Εἶτ' ἐφ' ἱκετείαις, ἵνα εἴη κατάλληλον τῷ Ἐπὶ γουνάσιν, κατὰ τοὺς καταβιβάζοντας τὸν τόνον· τῶν δὲ τελευταίων δύο, ἀντὶ μὲν τῆς πρώτης πιθανῶς ἐφέρετο, Εἴτε· τὸ δὲ φρένας, οἱ μεταποιεῖν βουλόμενοι εἰς τὸ Τέφρας, ἢ Τεφρείας, οὐ πάνυ τι πιστὰ δοκοῦσί μοι λέγειν.—Στ. 24, Δυκοῦργος ὁ Ῥήτωρ.] Ἐν τῷ μόνῳ νῦν σωζομένῳ λόγῳ τῷ Κατὰ Λεωκράτους.

ΣΕΛΙΔ. 468, στ. 13, Οἷος ὁ ἐκείνου ΘΥΜΟΣ.] Ἐξ ΕΔ, ΑΤ, ΜΥΘΟΣ· ἔστι γὰρ ἐκ τῆς Ὁμηρικῆς Ἰλιάδος (ὁ, 94),

Οἶσθα καὶ αὐτὴ,
Οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής,

εἰς παροιμίαν μετειλημμένον· ὁ δὲ Λουκιανὸς (Περὶ ἀστρολογ. § 10) καὶ μικρόν τι παρέτρεψεν· « Ὀρφεὺς ἀπηγήσατο... ἐς γοητείην καὶ ἱρὸν λογίην, οἵη διανοίη ἐκείνου ».

ΣΕΛΙΔ. 469, στ. 4, Παρέχει δὲ λόγον, ΠΩΣ ΦΗΣΙΝ Ὁ Ποιητὴς, Κρουνὼ δ' ἴκανον κ. τ. λ.] ΗΔ, ΑΤ, ΩΣ ΦΗΣΙΝ Ὁ. Ἔστι γὰρ ὁ νοῦς, Τὸ περὶ Σκαμάνδρου παρέχει ζήτησιν, διά τί ὁ Ποιητὴς φησι (Ἰλιάδ. χ', 147), Κρουνὼ δ' ἴκανον κ. τ. λ. Εἶχον δὲ καὶ συντομωτέρως διορθοῦν οἵζων, Οἷς φησιν Ὁ, ἵν' ᾖ, Ὁ δὲ Ποιητὴς παρέχει ζήτησιν ἐν οἷς φησι κ. τ. λ. προειλόμην δὲ τὴν προτέραν διόρθωσιν, ὡς μᾶλλον συνᾴδουσαν τοῖς Ὁμήρου σχολιασταῖς, κἀκείνοις εἰκότως Δημητρίῳ τῷ Σκηψίῳ ἀκολουθήσασι. Λέγουσι δὲ (Ἰλιάδ. χ', 147 ἐκδ. Βιλλοισώνος), « Ζητοῦσί τινες, ΠΩΣ τὸν Σκάμανδρον ἀπὸ τῆς » Ἴδης εἰπὼν ῥεῖν... ὕστερόν ΦΗΣΙ, Κρουνὼ δ' ἴκανον, κ. τ. λ.—Στ. 13, Οὔθ' ἡ τοῦ.] ΗΔ, ΑΤ, Οὐδ' ἡ τοῦ.—Στ. 18, Οὕτω γὰρ λέγονται.] Ἰσ.γρ. Οὕτω γὰρ ἂν λέγοιντο, καθάπερ ἡρμήνευται ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, nam hoc modo plures fontes

ejusdem fluminis dici possunt.—Στ. 25, Ῥῆσός θ'.] Ἐκ τῆς Ἰλιάδος, μ', 20.—Στ. 27, Οὗτός φησιν.] Δημήτριος ὁ Σκήψιος.

ΣΕΛΙΔ. 470, στ. 2, Ἀσκληπίειον.] Ἀποκατέστησα τὴν πρωτίραν γραφήν, ΑΤ, Ἀσκλήπιον.—Στ. 7, Τὸ πᾶν.] Ἐκ ΔΓ, ΑΤ, Τότε πᾶν.—Στ. 8, Πεντεκαιδέκα.] Δέκα, φησὶν ὁ τὰς Χρησομαθείας (Μέρ. Γ, σελ. 423) συνθείς.—Στ. 12, Κλεανδρίας.] Γραπτέον εἶναί φασί τινες Νεανδρίας, τῆς αὐτῆς δηλονότι περὶ ἧς κατωτέρω (σελ. 472) Στράβων ἐρεῖ.—Γόρδου.] Καὶ τοῦτο εἰς τὸ Γεργίθου τρεπτέον ἴσως, φασί τινες.—Στ. 15, Ἐν ἀριζερᾷ.] Ἐκ ΔΓ, ΑΤ, Ἐν τῇ ἀριζερᾷ.—Στ. 23, Ἀργυρία.] ΗΔ (θηλυκῶς καὶ ἑνικῶς, ὡς ὄνομα πόλεως, ἵνα συνάδῃ τοῖς πρότερον, σελ. 392, εἰρημένοις), ΑΤ, ἀργύρια (ἄλλ. ἀργυρεῖα). Ἣν δ' ἐνθάδε Νέαν Κώμην λέγει, Ἐνέαν κώμην, πρότερον (σελ. 392) ὠνόμασε, καὶ Αἰνείαν, ἥ, ὡς ἐν ἄλλοις φέρεται, Αἰνέαν, ἐν τοῖς ἑξῆς (σελ. 471) ὀνομάσει. Ἴδε τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. IV, part. II, pag. 51, not. 3, et pag. 191, not. 2).—Στ. 26, Ὅθεν.] Ἐπιθι ἅπερ εἴρηκεν ἐν τοῖς πρόσθεν (σελ. 389).

ΣΕΛΙΔ. 471, στ. 3, Τά γε πλεῖσα.] ΗΔ, ΑΤ, Τά τε πλεῖσα.—Στ. 6, Φησὶ δ' οὖν.] Ἐκ ΔΓ, ΑΤ, Φησὶ γοῦν.—Στ. 11, Ἕξι δὴ μετά.] ΗΔ, ΑΤ, Ἕξι δ' ἡ μετά.—Στ. 17, Τενέδοιό τε.] Ἐκ τῆς Ἰλιάδος, ά, 38.—Στ. 21, Λεύκοφρυν. Μυθεύουσι.] Ἐκ ΔΓ συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ (ἐξ λέξεσι πλεονάζοντος), Λεύκοφρυν. Εἰσὶ καὶ ἕτερα νησία περὶ αὐτήν. Μυθεύουσι.

ΣΕΛΙΔ. 472, στ. 1, Τῆς Τενεδίας.] Ἐκ ΔΓ, ΑΤ, Τῆς Δίας. Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει (tom. V, pag. 148).—Στ. 6, Νεανδρία.] Ἴδε τὰ μικρὸν ἀνωτέρω σημειωθέντα.—Στ. 12, Εἴτε μῦθον... τόπῳ.] Ἐκ ΔΓ, ΑΤ, Εἰς τὸν μῦθον... τρόπῳ.—Στ. 19, Χρησηρίων.] Τουτέστι σκευῶν· ἑρμηνεύει δὲ τοῦτο κατὰ λέξιν ἡ τῶν Γάλλων φωνὴ διὰ τοῦ ustensiles.

ΣΕΛΙΔ. 473, στ. 9, Ἐντὸς τοῦ.] Ἐξ ΕΔ, ΑΤ, Ἐν τοῖς τοῦ.—Στ. 20, Ἔχων κατά.] Ἐκ ΔΓ, ΑΤ, Ἔχων τῶν κατά.

ΣΕΛΙΔ. 474, στ. 3, Ἄλτεω.] Ἐκ τῆς Ἰλιάδος, φ', 86.—Στ. 10, Σάτνιον.] Ἐκ τῆς αὐτῆς, ξ', 443.—Στ. 14, Ναῖς δέ.] Ἐκ τῆς αὐτῆς, ζ, 34.—Στ. 16, ΣΑΤΙΟΕΝΤΑ δ' ὕστερον εἶπον· οἱ δὲ Σαφνιόεντα.] ΔΓ, ΣΑΤΝΙΟΕΝΤΑ. Ἰσ.γρ. Σαφνιόεντα δ' οἱ ὕστερον εἶπον τὸν Σατνιόεντα, καθάπερ εἶπασα ἐν ταῖς Γαλλικαῖς σημειώσεσι.—Στ. 17, Μέγας.] Ἰσ.γρ. Οὐ μέγας.—Στ. 23, Μεσογαιότεροι δέ.]

ΗΔ, ΑΤ, Μεσογαιότεροί τε.—Στ. 28, Μὲν Ἄντανδρος.] Ἐκ ΔΓ, ΑΤ, Μὲν καὶ Ἄντανδρος.

ΣΕΛΙΔ. 475, στ. 4, Καὶ τῇ παραλίᾳ.] ΗΔ, ΑΤ, Καὶ οἱ τῇ παραλίᾳ.—Στ. 5, Πολυμήδιον.] Ισ.γρ. Παλαμήδιον. Ἴδε τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 22, Λιμένα.] Ἐκ ΔΓ, ΑΤ, Καὶ λιμένα.—Στ. 25, Ἡ Κισθήνη.] ΗΔ (συνάδουσα ταῖς ἀρχαίαις μεταφράσεσι), ΑΤ, Ἥ τε Κισθήνη.—Στ. 27, Ἡράκλεια.] Ταύτην, ἣ τὸν σύνεγγυς ταύτης τόπον, κατέχουσι νῦν αἱ Κυθωνίαι, κώμη τις οὕτω καλουμένη, ἐπισημῶν γυμνασίῳ διαπρέπουσα.

ΣΕΛΙΔ. 476, στ. 12, Αὐτοί.] Ἐκ ΔΓ, ΑΤ, Αὐτοῖς.—Στ. 20, Η οὐ μέμνῃ.] Ἐκ τῆς Ἰλιάδος, ύ, 188-189.—Στ. 22, Κεῖθεν.] Ἐκ τῆς αὐτῆς, ύ, 191, ὅπου γράφεται, Ἔνθεν.

ΣΕΛΙΔ. 477, στ. 3, Ἀεὶ γάρ.] Ἐκ τῆς Ἰλιάδ. ν, 460.—Στ. 9, Περιγενομένων.] ΗΔ (συνάδουσα τῇ Ἰταλικῇ μεταφράσει καὶ τῷ Εὐσταθίῳ), ΑΤ, Παραγενομένων.—Στ. 10, Περαιωθῆναι.] ΗΔ, ΑΤ, Περισωθῆναι.—Στ. 20, Καταφύγῃ.] Ἐκ ΔΓ, ΑΤ, Καταφάγοι.—Στ. 28, Ἤδη γάρ.] Ἐκ τῆς Ἰλιάδος, ύ, 306.

ΣΕΛΙΔ. 478, στ. 5, Νῦν δὲ δὴ Αἰνείαο γένος ΠΑΝΤΕΣΣΙΝ ἀνάξει, καὶ παῖδες παίδων.] Οὐκ ἀπιθάνως οἴονταί τινες (Wood, *Essai sur le gen. origin. d'Homer.*, pag. 179), Οὐϊργίλιον, τὸν Ῥωμαῖον ποιητήν, τοῖς αὐτοῦ πολίταις χαριζόμενον, μεταπλάσαι τὸν Ὁμηρικὸν στίχον· οὕτω γὰρ ἐκεῖνος (*Æneid. III*, 97) ἑρμηνεύει τὸ ἔπος,

> Hîc domus Æneæ cunctis dominabitur oris,
> Et nati natorum.

—Στ. 12, Ὁ γὰρ Ἀριστοτέλης κ. τ. λ.] Περὶ ταύτης ὅλης τῆς περὶ τῆς Ἀριστοτέλους βιβλιοθήκης ἱστορίας, ἔπιθι ἣν ὁ σοφὸς Σνεῖδερος ἐποιήσατο διατριβὴν ἐν τοῖς εἰς τὸ Περὶ ζώων ἱστορίας τοῦ Ἀριστοτέλους προλεγομένοις (Epimetr. II, pag. LXXVI-XCIII).—Στ. 23, Τοῦ Θεοφράστου.] Γράφε (διορθούμενος τὸ τυπογραφικῶς ἡμαρτημένον), Τὰ τοῦ Θεοφράστου.

ΣΕΛΙΔ. 479, στ. 2, Ληκυθίζειν.] Ἀντιδιεσαλμένως πρὸς τὸ Πραγματικῶς φιλοσοφεῖν· καὶ σημαίνει, τὸ σχήμασι λόγου πέρα τοῦ δέοντος ὡραϊσμένοις περί τινος θέσεως διαλέγεσθαι, ὅπερ οἱ Ῥωμαῖοι διὰ τοῦ Ampullari ἡρμήνευσαν, παρὰ τὸ Ampulla, ὥσπερ καὶ οἱ Ἕλληνες τὸ Ληκυθίζειν παρὰ τὴν Λήκυθον, ἑκατέρας τῆς λέξεως

σημαινούσης ἀγγεῖον, ἐλαιρὸν ὡς ἐπὶ τὸ πολὺ, ἢ καὶ μυροθήκην. Ἐντεῦθεν καὶ οἱ Γάλλοι style ampoule καλοῦσι, τὸν ὑπὲρ τὸ μετρον ἐξηρμένον χαρακτῆρα τοῦ λόγου. Καὶ ὄνομα δὲ ῥηματικὸν, ὁ Ληκυθιστὴς, ὃν ἄλλοι ἄλλως ἐξηγοῦνται. Ὁ μὲν γὰρ Σουίδας καὶ ὁ Φώτιος, « Ληκυθιστὴς, ὁ ΜΙΚΡΟΦΩΝΟΣ. Οὕτως Σοφοκλῆς » φασὶν· Ἡσύχιος δὲ, « Ληκυθιστὴς, ΚΟΙΛΟΦΩΝΟΣ. » Ὧν τὸ μὲν πρῶτον εἰσὶν οἱ εἰς τὸ ΜΑΚΡΟΦΩΝΟΣ οὐκ ἀπιθάνως τρέπουσι· θατέρῳ δ' ἡμεῖς τὸ ΚΕΝΟΦΩΝΟΣ (τουτέστι ματαιόφωνος) ἀνθυποβλητέον εἶναι εἰκάζομεν· καθάπερ καὶ Θεοδωρίδας (παρὰ τῷ Βρύγκ., Ἀναλέκτ. τόμ. Β, σελ. 43) « ΚΕΝΑΝ κἀπιλακυθίσριαν », τὴν κενὴν καὶ διθυραμβώδη τοῦ λόγου ἰδέαν εἴρηκε.—Στ. 6, Ἥρε.] Ἐκ ΔΓ, ΑΤ, Εἶλε.—Στ. 19, Κατεπλήξατο πολλούς.] ΔΓ, Κατέπληξε πολλούς. Ἴσ.γρ. Κατέπληξε τοὺς πολλούς.—Στ. 23, Ἀναβολὴ τῆς δίκης.] Ἐξ ΕΔ, ΑΤ, Βουλὴ τῆς δίκης. Ἴσ.γρ. Ἐκκλησις δίκης.

ΣΕΛΙΔ. 480, στ. 5, Ψευδάργυρον.] Ὃν οἱ νῦν μεταλλουργοί τε καὶ χημικοὶ Ζίγκον (Zinc) καλοῦσι. Περὶ δὲ τῆς γραφῆς καὶ ἐξηγήσεως τῶν ἑπομένων ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 14, Ἄσσον ἴθ'.] Παρῴδηται ἐξ Ὁμήρου (Ἰλιάδ. ζ', 143).—Στ. 21, ΠΡΩΤΟΝ ἐπιθεμένῳ.] Ἴσ.γρ. ΠΡΩΤΩ.

ΣΕΛΙΔ. 481, στ. 5, Ὡς καὶ τά.] ΗΔ (συνάδουσα τῇ Ἰταλικῇ μεταφράσει), ΑΤ, Ὥςε καὶ τά.—Στ. 8, Μιλητοπόλεως.] ΗΔ, ΑΤ, Μιλήτου πόλεως. Λέγει γὰρ οὐ τὴν ἐν Ἰωνίᾳ Μίλητον, ἀλλ' ἣν ἀνωτέρω (σελ. 428) Μιλητόπολιν ὠνόμασε τὴν κατὰ τὸν Ὄλυμπον. Ἰδ. τὰς Γαλλ. σημειώσ.—Στ. 12, Πρὸς μὲν ἀλός.] Ἐκ τῆς Ἰλιάδος, κ', 428.—Στ. 18, Ἢ μὲν τοίνυν.] Ἐκ ΔΓ, ΑΤ, Ἢ μέντοι νῦν.

ΣΕΛΙΔ. 482, στ. 4, Ἴσχειν.] ΗΔ (ἐξ Ἡροδότου ληφθεῖσα), ΑΓ, Σχεῖν.—Τρὶς δέ.] Οὕτως Ἡρόδοτος (ά, 175)· ἀλλαχοῦ δ' ὁ αὐτὸς (ή, 104) διὰ τοῦτο συμβῆναι λέγει.—Στ. 14, Ὡχόμεθ' ἐς.] Ἐκ τῆς Ἰλιάδος, ά, 366-369.—Στ. 24, Λυρνησόν.] Ἐκ τῆς αὐτῆς, β', 691.

ΣΕΛΙΔ. 483, στ. 3, Οὐδέ μ' ἔασκες.] Ἐκ τῆς Ἰλιάδος, τ', 295.—Στ. 8, Πρότερον.] ΗΔ, ΑΤ, Τοῖς πρότερον.—Στ. 12, Ογδοήκοντα καὶ ὀκτὼ ἐπὶ θάτερα.] ΗΔ, ΑΤ, Ὀγδοήκοντα ὀκτὼ, καὶ ἐπὶ θάτερα. ΔΓ, Ὀγδοήκοντα καὶ ἡ ἐπὶ θάτερα. Αὕτη δὲ προδήλως ἐκφανεῖ τὴν ἡμετέραν διόρθωσιν, ἐὰν τὸ ἄρθρον (ἡ) τρέψῃς εἰς τὸ ἀριθμητικὸν σημεῖον (ή).

ΣΕΛΙΔ. 484, στ. 8, Οἱ δ' ὅτε.] Ἐκ τῆς Ἰλιάδος, ά, 432.—Στ. 11, Ἐκ δὲ Χρυσηΐς.] Ἐκ τῆς αὐτῆς, ά, 439.—Στ. 18, Ὃς

Χρύσην.] Ἐκ τῆς αὐτῆς, ά, 37.—Στ. 21, καὶ 26, Τὸ ναύσαθμον.] Ἐκ ΔΓ, ΑΤ, Τὸν ναύσαθμον.

ΣΕΛΙΔ. 485, στ. 2, Σμίνθιοι.] Γραπτέον Σμίνθοι. « Σμίνθος, » μῦς » φησὶν Ἡσύχιος, καὶ Ἡλυκῶς δὲ Σμίνθη, « Σμίνθα, ὁ κατοι- » κίδιος μῦς ».—Στ. 6, Μίμαντα.] Ἐξ ΕΔ, ΑΤ, Μελεοῦντα.—Στ. 7, Παρ' ἐκείνοις μόνοις ΤΩΝ ΕΡΥΘΡΑΙΩΝ τὸ θηρίον τοῦτο μὴ γίνεσθαι.] Ἐκ ΔΓ (ἡ τῆς τελευταίας λέξεως διόρθωσις) ΑΤ, Γενέσθαι. Ἔξι δ' ὑπονοεῖν, ὅτι καὶ τὸ, ΤΩΝ ΕΡΥΘΡΑΙΩΝ, κακῶς εἰς τὸ χωρίον εἰσέφρησε· σημαίνει γὰρ διηρῆσθαι τοὺς Ἐρυθραίους εἰς πλείους, ὧν μέρος εἶναι τοὺς αὐτὸ τὸ ὄρος, τὸν Μίμαντα, κατέχοντας· εἰ δὲ διαγράφοις τὰς λέξεις, ὁ νοῦς ἔσαι, ὅτι τὸ θηρίον παρὰ μόνοις τοῖς Ἐρυθραίοις γίνεται, οὓς τὸν Μίμαντα οἰκεῖν ἔφη, πρὸς ἀντιδιαστολὴν τῶν ἐν Βοιωτίᾳ Ἐρυθραίων. Αἱ δὲ ἐν τῇ Ἰωνίᾳ Ἐρύθραι αὗται, αἱ ἀπέναντι κείμεναι τῆς νήσου Χίου, καλοῦνται νῦν, ἀφαιρέσει τοῦ ἀρχικοῦ στοιχείου καὶ τροπῇ συνήθει τοῦ πρώτου συμφώνου, Αυθρί.—Στ. 11, Οὕτω τοὺς πάρνοπας καλούντων Βοιωτῶν.] Τουτέστι, Πόρνοπας (καθάπερ, καὶ Πόρδαλιν, κατωτέρω, σελ. 493, τὴν Πάρδαλιν), Αἰολέων ὄντων καὶ τῶν Βοιωτῶν τὸ ἀνέκαθεν. —Στ. 23, Ὑπὸ Πλάκῳ.] Ἐκ τῆς Ἰλιάδος, ζ', 396.—Στ. 26, Τὰ ὀνόματα.] Περιαιρετέον ἴσως τὸ ἄρθρον.

ΣΕΛΙΔ. 486, στ. 12, Ξενοκλῆς, τοῦ μὲν Ἀσιανοῦ χαρακτῆρος, ἀγωνιστὴς δὲ, κ. τ. λ.] Τὸν τελευταῖον σύνδεσμον προσέθηκεν ἐκ ΔΓ ὁ Γερμανὸς ἐκδότης. Ἴσως μέντοι καὶ τοῦτον καὶ τὸν πρῶτον περιαιρετέον, γράφοντας, Ξενοκλῆς, τοῦ Ἀσιανοῦ χαρακτῆρος, ἀγωνιστής.

ΣΕΛΙΔ. 487, στ. 4, Καλουμένην... νῆσον... ἔχουσαν.] Δείσειλα οἷς, λείπειν ἐμφῆναι βουλόμενος τινά, ΑΤ (κατὰ τὸ πλῆρες γραφόμενον) Καλουμένην νῆσον ἔχουσαν, ἀνθ' οὗ ὁ Γερμανὸς ἐξ ἑτέρων εἰκασίας οὐκ ὤκνησε γράφειν, Καλουμένην νῆσον Ἐλαιοῦσσαν.—Στ. 5, Ἐν τοῖς ὕδασι.] Περιττὴ ἡ πρόθεσις.—Στ. 6, Γῆ τις τοῦτο πέπονθε.] ΗΔ, ΑΤ, Νησὶς πέπονθε.—Ἐπίσου ὄγκου.] Ἐξ ΕΔ, ΔΤ, Ἐπισόγκου.—Στ. 10, Ἐλαϊτικόν.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Ἐλαΐτην.—Στ. 20, Αἶγα.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Αἰγᾶ· περὶ οὗ, καθὰ καὶ περὶ τῶν ἑξῆς, Αἰγᾶν, Ἀκτᾶν καὶ Ἀρχᾶν, ἔπιθι τὰ θιὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 26,

δὲ ἐπί.] Ἐκ ΔΓ, ΑΤ, Δὲ καὶ ἐπί.—Στ. 27, Αἰγᾶ.] Ὤφειλον κἀνθάδε ἀποκαταςῆσαι τὴν προτέραν γραφὴν, Αἶγα.

ΣΕΛΙΔ. 488, στ. 1, Καὶ Ἀταρνέως, καί.] ΗΔ (συνάδουσα τοῖς ἀρχαίοις μεταφραςαῖς), ΑΤ, Καὶ Ἀταρνέως δὲ, καί.—Στ. 2, Μιᾶς ἑκάςης αὐτῶν.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Οὐδεμιᾶς αὐτῶν.—Στ. 17, Ἀλλ' οἷον.] Ἐκ τῆς Ὀδυσσείας, λ', 519.

ΣΕΛΙΔ. 489, στ. 17, Γέργιθα.] ΗΔ (ἵνα συνάδῃ τῇ ἐν τοῖς πρόσθεν, σελ. 450, γραφῇ), ΑΤ, Γέργηθα.—Στ. 21, Ἐν τῷ μεταξύ.] ΗΔ (προσυπακουομένου τοῦ διαςήματι, καθὰ καὶ κατωτέρω, σελ. 490), ΑΤ, Ἐν τῇ μεταξύ.—Στ. 23, Λέσβος.] Ἡ νῦν Μιτυλήνη καλουμένη.

ΣΕΛΙΔ. 490, στ. 2, Σίγριον... ἄκρον.] Σώζει καὶ νῦν τοὔνομα, Cap Sigri.—Στ. 3, Μήθυμνα.] Ἔκειτο κατὰ τὸν νῦν καλούμενον Porto-Petera (ὅ ἐςι λιμὴν Πετέρα), ὥς φησι Δαμβίλλης.—Στ. 6, Μαλίαν... ἄκρον.] Εἴη ἂν ὁ ἐν τῷ νεωτάτῳ τοῦ ἡμετέρου Κεφαλᾶ τοῦ Ζακυνθίου πίνακι γραφόμενος, Κ. Μαρία, τουτέςιν, Ἄκρα Μαρία.—Στ. 13, Ὅσους.] Ἐκ ΔΓ, ΑΤ, Ὅσων.—Στ. 14, Ἀργινουσσῶν.] Σώζουσι μέχρι δεῦρο τοὔνομα.—Στ. 21, Ὧν ὁ νότιος κλειςὸς τριήρεσι, καὶ ναυσὶ πεντήκοντα.] Οὐκ ἀπιθάνως γραπτέον εἶναί τις εἴκασε τῶν κριτικῶν, ἐξ ἑτέρου παραλλήλου χωρίου (Μέρ. Γ, σελ. 36) ὁρμώμενος, Ὧν ὁ νότιος κλειςὸς τριηρικὸς, καὶ ναύςαθμον ναυσὶ πεντήκοντα.

ΣΕΛΙΔ. 491, στ. 2, Κτέννανται.] Αἰολικῶς ἔγραψα, ΑΤ, Κτείναντα.—Μαχατάν.] Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Μαχαίταν.—Στ. 3, Παλαιςάν.] ΔΓ (ἴσως ὀρθώτερον), Παλαςάν· καθάπερ καὶ τὸν Παλαιὸν Παλαὸν ἔλεγον Αἰολεῖς.—Στ. 4, Ἀνίαν τ' ἀχέων.] ΔΓ, Ἀνίαν παχέων. Ὅλον δὲ τοῦτο τὸ χωρίον σκοτεινόν· ὅπερ οὕτω γραπτέον καὶ ποιητικῶς τακτέον εἴκαζέ τις (Mus. Critic. or Cambridge Classic. research. vol. I, n° 4, pag. 444),

Τέλεσεν μέγαν ἆθλον,
κἀκ πόνων σφ' ἐρύσατο,
κτείνων ἄνδρα μαχαί-
ταν, βασιλῆα παλαιςάν,
ἀπὸ λοιγόν τ' ἀμύνων,
ὀνίαν τ' ἀχέων ἀποπέμπων.

—Στ. 7, Ἐκείνῃ, οὐδὲ κατὰ μικρόν.] Ἐκ ΔΓ, ΑΤ, Οὐδὲ κατὰ

μικρὸν, ἐκείνῃ.—Στ. 12, Μεγαλαγύρῳ.] Παρακινοῦσιν οἱ κριτικοὶ γράφειν Μελάγχρῳ. Μέλαγχρος γὰρ καλεῖται (Διογ. Λαιρτ. ἀ, 74) ὁ τῆς Λέσβου τύραννος, ὃν Πιττακὸς καθεῖλε.—Στ. 20, Ταύτην.] ΗΔ, ΑΤ, Αὐτήν.

ΣΕΛΙΔ. 492, στ. 1, Ἡ δὲ Πύρρα κατέσοφται.] Ὑπὸ τῆς θαλάσσης κατακλυσθεῖσα, καθά φησι Πλίνιος, Pyrrha hausta est mari (v, 31).—Στ. 3, Ἐρισσός.] Κυδωνίαν φησὶν ὁ Νέγρος (παρὰ τῷ Ὀρτελ.) τὴν Ἐρισσὸν (ἢ γοῦν ὃν πάλαι κατεῖχε τόπον ἡ Ἐρισσὸς) καλεῖσθαι παρὰ τοῖς νεωτέροις. Ἕτεροι δὲ σῴζειν φασὶ τὸ ἀρχαῖον ὄνομα, Ἔρεσσος, καὶ ἄλλοι Γερεμίαν αὐτὴν καλοῦσι (ἴδε τὸν Πίνακ. τοῦ Πλινίου). Πλίνιος δὲ νῆσον πρὸ τῆς Λέσβου κειμένην Κυδωνίαν ἢ Κυδώνειαν (Cydonea) τὸ πάλαι καλεῖσθαί φησιν· ἐξ ἧς ἐοίκασι τοὔνομα σχεῖν αἱ νῦν λεγόμεναι Κυδωνίαι, κώμη ἀπέναντι Λέσβου, ἐν τῇ ἠπείρῳ κειμένη κατὰ τὴν ἀρχαίαν Ἡράκλειαν τὴν τῶν Μιτυληναίων. ἧς ἐμνημόνευσεν ἀνωτέρω (σελ. 475) ὁ Στράβων.—Στ. 26, Ἑκατόννησοι.] Τὰ νῦν καλούμενα Μουσκοννήσια, Μοσχοννήσια, ἢ Μοσκοννήσια, οὔτε τῆς γραφῆς, οὔτε τῆς σημασίας εὐδήλου οὔσης. Ὁποτέρως δ' ἂν γράφῃς, οὔ γε ταὐτὸν σημαίνουσι ταῖς Μυοννήσοις (Iles des Souris), ὡς ἐξηγήσατο ὁ Δαμβίλλης. Περὶ δὲ τοῦ ἐτύμου τῶν Ἑκατοννήσων, ὁ μὲν Στράβων παρὰ τὸν Ἕκατον αὐτὰς ἐξηγεῖται· Ἡρόδοτος δὲ, καὶ ὁ Σικελιώτης Διόδωρος διαῤῥήδην Ἑκατὸν νήσους ὀνομάζουσιν, ὡς ἐσημειώσατο ὁ Κασωβών.

ΣΕΛΙΔ. 493, στ. 4, Πᾶσαν γὰρ δή.] Ἐκ ΔΓ προσείληφα τὸν δεύτερον τῶν συνδέσμων.—Στ. 8, Μείζων αὐτῆς.] Μετὰ ταύτας τὰς λέξεις, ἢ πρὸ αὐτῶν (καθάπερ διέξειλα ἐν τῇ Γαλλικῇ μεταφράσει), εἰκὸς ἐξερρυηκέναι, διὰ τὴν τῶν ἀντιγραφέων ἀμέλειαν, τῆς μείζονος ταύτης νήσου τὸ ὄνομα· ἄλλως γὰρ οὐχ ἕξει πρὸς ὃ ἀνενεχθήσεται τὸ ἑπόμενον Ὁμώνυμος.—Στ. 16, Πορδακοῦσιν... ΙΜΑΣΙΝ.] Οὐκ ἀπιθάνως ΕΪΜΑΣΙΝ γραπτέον εἶναί τινες ὑπειλήφασι.—Στ. 18, Πορδακὸν τὸ χωρίον.] Ἐξ Ἀριστοφάνους ἡ ῥῆσις (Εἰρ. 1148)· ἔνθα μάντις γράφεται διὰ τοῦ ᾱ ἡ πρώτη τῆς πρώτης λέξεως συλλαβή, Παρδακόν.

ΣΕΛΙΔ. 494, στ. 5, Ἤτοι μέν.] Ἐκ τῆς Ἰλιάδος, ζ', 414.—Στ. 8, Οἱ δέ μοι.] Ἐκ τῆς αὐτῆς, ζ', 421.—Στ. 13, Κἀδ δέ.] Ἐκ τῆς αὐτῆς, β', 692.—Στ. 14, Πέρσεν.] Ἐκ τῆς αὐτῆς, τ', 296.—Στ. 17, Πρὸς μὲν ἅλός.] Ἐκ τῆς αὐτῆς, κ', 428.—Στ. 20, Σάτνιον.] Ἐκ τῆς αὐτῆς, ξ', 442.—Στ. 25, Ἅλτεω.] Ἐκ τῆς αὐτῆς, φ', 86.

—Στ. 27, Πήδασον.] Ἐκ τῆς αὐτῆς, φ', 87· ὅθεν καὶ ἔτρεψα τὴν Ὑπὸ πρόθεσιν (ἣν καὶ αὐτὸς ὁ Στράβων ἀνωτέρω, σελ. 474, ἀπεδοκίμασεν), εἰς τὴν Ἐπί.—Στ. 29, Ἢ τοῖς ὑπὸ τῷ.] ΗΔ, ΑΤ, Ἢ καὶ ὑπὸ τῷ. ΔΓ (ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου), Ἢ ὑπὸ τῷ.

ΣΕΛΙΔ. 495, στ. 3, Μινυνθάδιον.] Ἐκ τῆς Ἰλιάδος, φ', 84.—Στ. 7, Ζητεῖ.] Ἐκ ΔΓ, ΑΤ, Ζητῇ.—Στ. 15, Ἱππόθοος.] Ἐκ τῆς Ἰλιάδος, β', 840.—Στ. 18, Δύω.] Ἐκ ΔΓ, ΑΤ, Δύο.—Στ. 23, Ἐςί.] Ἐκ ΔΓ προσείληφα τὸ ῥῆμα.—Στ. 26, Τῆλ' ἀπό.] Ἐκ τῆς Ἰλιάδος, ρ', 301.

ΣΕΛΙΔ. 496, στ. 18, Ἑλόντας.] ΗΔ, ΑΤ, Ἐλθόντας. Φέρεται δὲ τὸ Ἑλόντας πρὸς τὴν Λάρισσαν.—Στ. 22, Τοῦτο.] Ἐκ ΔΓ, ΑΤ, Οὕτως.—Στ. 27, Λεγομένῳ τῶν.] ΗΔ, ΑΤ, Λεγομένῳ τῷ τῶν.

ΣΕΛΙΔ. 497, στ. 2, Ἀπαναςάσεις.] ΗΔ, ΑΤ, Ἐπαναςάσεις. « Ἀπανάςασις, ἀποικία » φησὶν Ἡσύχιος. Παραπλήσιον ἁμάρτημα τούτῳ διωρθωσάμεθα ἐν τοῖς πρόσθεν (σελ. 112).—Στ. 5, Ἴδιον δέ τι κ. τ. λ.] Ταὐτὰ περὶ τούτων ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 89) ἐρεῖ.

ΣΕΛΙΔ. 498, στ. 2, Ἐςίν· ἐγκολπίζοντι δὲ, Μυρίνα.] Ἐκ ΔΓ, ΑΤ, Ἐςὶν ἐγκολπίζοντι· Μυρίνα.—Στ. 4, Μυριναίων.] Ἐκ ΔΓ (συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Μυριναῖον.—Στ. 5, Καὶ μαντεῖον.] Περιαιρετέος ἴσως ὁ σύνδεσμος, ὃν καὶ ὁ Ἰταλὸς μεταφραςὴς παρέλιπε. Μνημεῖον δὲ τοῦ μαντείου τοῦδε εὗρε Κυριακὸς ὁ ἐξ Ἀγκῶνος τὴν ἑξῆς ἐπιγραφήν· παραθώμεθα δὲ αὐτὰ τοῦ Κυριακοῦ τὰ ῥήματα, σημειωθέντα ὑπὸ τοῦ Γερμανοῦ ἐκδότου· « Κυριακὸς » δ' ἐγὼ αὐτὸς μεταξὺ Μυρίνης καὶ Κύμης, εἰς τὰ τοῦ αὐτοῦ Ἀπόλ- » λωνος ἱεροῦ ἐρείπια, ἐν τῷ ὑπερκειμένῳ λίθῳ τῆς πύλης, μεγίςοις » καὶ καλλίςοις γράμμασι παλαιοῖς τόδε ἐπίγραμμα εὗρον·

ΑΠΟΛΛΩΝΙ ΧΡΗΣΤΗΡΙΩΙ
ΦΙΛΕΤΑΙΡΟΣ
ΑΤΤΑΛΟΥ.

—Στ. 26, Ὑπελευςέον.] Εἰς τοῦτο ἐτόλμησα τρέψαι τὸ παρ' ἅπασιν ὑπεναντίως τῇ ἀναλογίᾳ καὶ τῇ κοινῇ χρήσει φερόμενον, Ὑπελθετέον.

ΣΕΛΙΔ. 499, στ. 5, Νάσσατο.] Ἐκ τῶν Ἡσιόδου Ἔργ. καὶ Ἡμερ. 639.—Στ. 11, Τὴν ἤτοι.] Ἐκ τῆς Ἰλιάδος β', 814.—Στ. 14, Οὐδ'

ἀμνημόνευτον.] Ἐκ ΔΓ, ΑΤ, Οὐδ' ἂν ἀμνημόνευτον.—Στ. 15, Κατὰ δὲ... τὰς ἡσυχίας ἦγον.] Ἀξίως πάνυ τὸ πτωχαλαζονικὸν τοῦτο τοῦ Ἐφόρου ἐπίθεγμα ἐξορεῖ ὁ Στράβων.

ΣΕΛΙΔ. 500, στ. 10, Διέμενε.] Ἐκ ΔΓ, ΑΤ, Διέμενεν.

ΣΕΛΙΔ. 501, στ. 7, Δὲ καὶ οὗτος.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Δὲ οὗτος. Διορθωτέον δὲ καὶ τὸ ἐν τῇ Γαλλικῇ σημειώσει (tom. IV, pag. 241, not. 4) τυπογραφικὸν ἁμάρτημα, καθάπερ ἐδήλωσα ἐν τοῖς ἑξῆς (tom. V, pag. 148).—Στ. 25, Δὲ τὴν ἀρχήν.] ΗΔ, ΑΤ, Δὲ καὶ τὴν ἀρχήν.

ΣΕΛΙΔ. 502, στ. 1, Σχεδὸν δέ τι.] Ἐκ ΔΓ, ΑΤ, Σχεδὸν δέ τοι.—Στ. 4, Καὶ τῆς Ἀσσοβογίωνος.] Λείπει τὸ ἄρθρον (διὰ τυπογράφων ἴσως ἁμαρτίαν) ἐν τῇ τοῦ Γερμανοῦ ἐκδόσει.—Στ. 7, Τοὺς ἐπιτηδείους, προσποιησαμένους.] Ἐκ ΔΓ, ΑΤ, Τῶν ἐπιτηδείων προσποιησαμένων.—Στ. 14, Ἥτις.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Εἴ τις.—Στ. 15, Ἐπικρατεῖ.] ΗΔ, ΑΤ, Ἐπεκράτει. Ἴδε τὰς Γαλλ. σημειώσ.

ΣΕΛΙΔ. 503, στ. 2, Ἀπολλωνίδος.] Οὐ πόλιως (ὡς ὑπέλαβον οἱ ἐξηγησάμενοι τὸν Στράβωνα), ἀλλὰ τῆς βασιλίσσης ὄνομα τῆς Ἀττάλου γυναικὸς, ἥς ἀνωτέρω (σελ. 501) ἐμνημόνευσε Στράβων.—Στ. 21, Ἄρχεται δὲ ἀπὸ Μυσίας.] Ἐκ ΔΓ, ΑΤ, Ἅπτεται δὲ καὶ Μυσίας.—Στ. 23, Καὶ τὰ συνεχῆ.] Ἐκ ΔΓ, ΑΤ, Κατὰ τὰ συνεχῆ.—Στ. 25, Κύρου.] ΔΓ, Κόρου. Ισ.γρ. Καΐκου. Ἴδε τὸς Γαλλ. σημειώσ.

ΣΕΛΙΔ. 504, στ. 6, Μήοσιν.] Ἐκ τῆς Ἰλιάδος, β', 864.—Στ. 10 καὶ 18, Ὕλης.] Ἐκ ΔΓ, καίπερ τὴν τῶν προτέρων ἐκδόσεων γραφὴν, Ὕδης, ἀποδεξάμενος ἐν τῇ Γαλλικῇ μεταφράσει. Ἐν μὲν γὰρ τῷ Ὁμηρικῷ στίχῳ Ἰλιάδ. υ', 385, γράφεται ὀρθῶς, «Τμώλῳ » ὑπὸ νιφόεντι, ΥΔΗΣ ἐν πίονι δήμῳ.» Ἔστι γὰρ ὁ λόγος περὶ τῆς ἐν Λυδίᾳ Ὕδης, ἧς καὶ Στράβων ἐμνημόνευσεν ἀνωτέρω (σελ. 176), ταὐτὸ τοῦτο παρατιθέμενος Ὁμήρου τὸ ἔπος. Κἀκεῖ μὲν ἐπιτιμᾷ τοῖς ταύτην τὴν Λυδιακὴν Ὕδην μεταφέρουσιν εἰς τὴν Βοιωτίαν, ἐν ᾗ Ὕλη (καὶ οὐχ Ὕδη) ἐστὶ πόλις καὶ λίμνη· ἐνταῦθα δὲ τοῖς, τοὐναντίον, τὴν Βοιωτιακὴν Ὕλην εἰς τὴν Λυδίαν μετατοπίζουσιν, ὅπου φησὶν οὐδεμίαν εὑρίσκεσθαι Ὕλην.—Στ. 11, Ὕλη.] Καὶ τοῦτο ἐκ ΔΓ, ΑΤ, Ὕδη. Ἐναντία γὰρ ἂν ἔλεγε τῷ Ποιητῇ, εἰ οὐδεμίαν Ὕδην εὑρίσκεσθαι ἐν Λυδοῖς ἀπεφαίνετο· ἐναντία δὲ καὶ ἑαυτῷ, εἰρηκὼς ἐν τοῖς πρόσθεν (σελ. 176) ἐν Λυδίᾳ εἶναι τὴν Ὕδην.—Στ. 13, Ὕλη.]

Καὶ τοῦτο ἐκ ΔΓ, ΑΤ, Ὕδῃ. Ὁ γὰρ Τυχίος (Ἰλιάδ. ή, 221, καὶ ἀνωτέρ. Στράβ. σελ. 176) ἐν Ὕλῃ ᾤκει τῇ Βοιωτιακῇ. Ἀλλὰ τοὺς Λυδοὺς, καὶ οὐ Βοιωτοὺς, ὑποτιθεμένους τὸν Τυχίον, εἰκὸς καὶ τὴν Λυδιακὴν Ὕδην εἰς τὴν ἐν Βοιωτίᾳ Ὕλην τρέπειν. Εἰσὶ δὲ καὶ οἱ τοὐναντίον τὴν Βοιωτιακὴν Ὕλην ἔτρεπον εἰς τὴν Ὕδην, ὡς ἐστι συλλογίσασθαι ἐξ ὧν εἴρηκεν ἀνωτέρω (σελ. 176).—Στ. 14, Κερανυσσόβολος.] Γράφε (παθητικῶς) Κερανυσσόβολος.—Στ. 15, Τούτῳ.] ΗΔ, ΑΤ, Οὗτως.—Στ. 16, Εἰν Ἀρίμοις.] Ἐκ τῆς Ἰλιάδος, β', 783. Τὰς δὲ δύο ταύτας λέξεις εἰς μίαν συγκεράσας (ἐκ φαύλης δηλονότι γραφῆς, Εἰναρίμοις), ὁ Ῥωμαῖος ποιητὴς Οὐεργίλιος, τὴν Ἰναρίμην ἔπλασε· τοῦτο γὰρ Ὁμήρου τὸ ἔπος ἑρμηνεύει ἐν οἷς (*Æneïd. IX*, 716) λέγει,

Inarime Jovis imperiis imposta Typhœo.

Καὶ Πλίνιος δὲ (III, 6) Ἰναρίμην καλεῖ· οὐκ ὀρθῶς μέντοι Ὁμήρῳ προσάπτων τὴν κλῆσιν (Homero *Inarime* dicta), Οὐεργιλίῳ δέον. —Στ. 18, Ὕλης.] Ἔπιθι τὰ μικρὸν ἀνωτέρω εἰρημένα.—Στ. 21, Τὰς Σάρδεις ΥΔΗΝ ὀνομάζουσιν.] Ἐνταῦθα δὲ ὤκνησα τὴν ΔΓ, ΥΔΗΝ, παραλαβεῖν, διὰ τὸν Πλίνιον λέγοντα (V, 29) περὶ τῶν Σάρδεων, A Mæoniis civitas ipsa Hydæ vocitata est.—Στ. 27, Τόν ποτε κ. τ. λ.] Ἐκ Πινδάρου Πυθ. ά, 31.

ΣΕΛΙΔ. 505, στ. 5, Κείνῳ.] Τοῦτο δ' ἐκ μὴ σωζομένου ποιήματος Πινδάρου, ὥσπερ καὶ τὸ ἑξῆς, Ἀλλ' οἷος κ. τ. λ.—Στ. 11, Ἀραμαίους.] Ἐξ ΕΔ ἔγραψεν οὕτως ὁ Γερμανὸς ἐκδότης, ΑΤ, Ἀράμους· ὅπερ ἴσως ἐνθάδε γε ὀρθώτερον, καίπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 53, καὶ Μέρ. Γ, σελ. 228) Ἀραμαίους αὐτοὺς ὀνομάσαντος.—Στ. 17, Τῇ Κολόῃ.] Ἐκ ΔΓ προσείληφα τὸ ἄρθρον.—Τὰ μνήματα.] Τὰ μέχρι δεῦρο σωζόμενα, χώματα ὑψηλὰ καὶ περίβλεπτα, ἐκ τῆς ἀνορυχθείσης γῆς ἐκ τῆς Κολόης χωσθέντα, καθάπερ εἰκάζουσί τινες (Chandler, *Voyag. dans l'As. min. et en Grèce, tom. II*, pag. 188-189).

ΣΕΛΙΔ. 506, στ. 8, Ἀσίῳ.] Γράφε ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 28), Ἀσίῳ, ἐκ τῆς Ἰλιάδος, β', 461. Οὐ γὰρ ἐπίθετον τοῦ λειμῶνος ἐκδέχονται οἱ πλείους τῶν κριτικῶν, ἀλλὰ γενικὴν ἀπ' εὐθείας τῆς Ἀσίας κυρίου ὀνόματος.—Στ. 22, Ἐπιφαίνοντα.] Ἐκ ΔΓ, ΑΤ, Ἐμφαίνοντα.

ΣΕΛΙΔ. 507, στ. 15, Τῶν τόπων.] Διόρθου τὸ τυπογραφικὸν σφάλμα γράφων, Τῶν τόπων τούτων.

ΣΕΛΙΔ. 508, στ. 7, Συνῆκται.] ΗΔ (συνωνύμως τῷ ἀνωτέρω, σελ. 487, Συνέσταλται, καὶ τοῖς ἀρχαίοις μεταφρασαῖς), ΑΤ, Συνῆπται.—Στ. 17, Ὡς ἄρα κενῇ χωρομετροῦσιν.] Ἰσ.γρ. Ὡς ἄρα γε νῦν χωρομετροῦσιν. Ἔπιθι τὰς Γαλλ. σημειώσ.—Στ. 25, Ἔχοντα πολίχνας.] Ἐκ ΔΓ, ΑΤ, Ἔχον τὰς πολίχνας.

ΣΕΛΙΔ. 509, στ. 1, Ὑπερβαλοῦσι.] Ἐκ ΔΓ, ΑΤ, Ὑπερβάλλουσι. —Καρῶν.] Ἰσ.γρ. Καρούρων.—Στ. 2, Κατὰ τὰ τοῦ.] Ἐκ ΔΓ προσείληφα τὸ πρῶτον ἄρθρον.—Στ. 3, Τῆς Καβαλίδος.] Ἀναπλήρου τὸ διὰ τυπογραφικὴν ἁμαρτίαν κολοβωθὲν, γράφων, Τῆς Κιβυράτιδος καὶ τῆς Καβαλίδος.—Στ. 8, Ἐπ' ὀφρύϊ.] ΗΔ (συνάδουσα τῷ ἀρχαίῳ μεταφραστῇ), ΑΤ, Ὑπ' ὀφρύϊ.—Στ. 9, Βεβάθυται.] ΔΓ (μόνη ὀρθὴ) Βεβάθυνται.—Στ. 22, Εἴτ' ἐπὶ πάντων τῶν οὕτω πεπηρωμένων τούτου, εἴτε μόνων τῶν... δυνάμεσιν, οὕτω συμβαίνοντος.] Τὸ μὲν ἐκ ΔΓ, τὸ δ' ἐξ ΗΔ, ΑΤ, Εἴτε πάντων οὕτω πεπηρωμένων τοῦτο, εἴτε μόνον τῶν... δυνάμεσι τούτου συμβαίνοντος.—Στ. 27, Σύριμτρον.] Ἐπιτήδειον, ἁρμόζον.—Στ. 28, Ῥιζῶν.] Ἐν αἷς καὶ τὸ Ἐρυθρόδανον, τὸ ἐν τῇ συνηθείᾳ καλούμενον, Ῥιζάριον (Γαλλ. Garance), ὃ καὶ μάλιστα νοεῖν ἐνθάδε μοι δοκεῖ ὁ Στράβων.

ΣΕΛΙΔ. 510, στ. 1, Κόκκου.] Ὅπερ ἡ συνήθεια Πρινοκόκκιον καλεῖ.—Καὶ τοῖς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ταῖς.—Στ. 7, Σίνδα.] Ἐκ ΔΓ, ΑΤ, Σίνδη.—Στ. 12, Τρίφυλλον.] Ἰδ. τὰ Γαλλικὰ διὰ μακρῶν σημειωθέντα μοι.—Στ. 16, Τερμησσείων.] ΗΔ, ΑΤ, Τερμησσέως. Ἴδε τὰς Γαλλ. σημειώσ.—Στ. 20, Ταῦτα δὲ καὶ τοῖς ὑπό.] Ἐκ ΔΓ (μόνον τὸν δεύτερον σύνδεσμον ἐμοῦ προσθέντος), ΑΤ, Ταῦτα δ' ἑκάτοις ὑπό.—Στ. 23, Δεύτερον.] Ἐκ τῆς Ἰλιάδος, ζ, 184.

ΣΕΛΙΔ. 511, στ. 19, Τορεύεσθαι.] Ὁ δ' Εὐσάθιος ἀνέγνω, Τορνεύεσθαι. Ἴδ. τὰς Γαλλ. σημειώσ.—Στ. 21, Ἐπὶ Ἰσινδα.] Ἀμείνων ἴσως ἡ πρὸ τοῦ Γερμανοῦ γραφὴ, Ἐπὶ Σίνδα, ἢ μᾶλλον, Ἐπὶ Σίνδαν, ὥσπερ ὠνόμασεν αὐτὴν ἀνωτέρω (σελ. 510). Ἴδε καὶ τὰς Γαλλ. σημειώσ.

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 1, στ. 9, Αὐτὸ γοῦν.] ΗΔ, ΑΤ, Αὐτὸ οὖν.

ΣΕΛΙΔ. 2, στ. 2, Ἔχει δ' οὖν.] ΗΔ, ΑΤ, Ἔχει δὴ οὖν. ΔΓ, Ἔχει δὲ οὖν.—Στ. 11, Γενέσθαι δέ.] Ἐκ ΔΓ προσειληφα τὸν σύνδεσμον. —Στ. 13, Φασι.] Ἄμεινον ὁ Ἰταλὸς μεταφραστής, Φησι.—Στ. 16, Καὶ Μίλητον.] Διαγραπτέος ἴσως ὁ σύνδεσμος.—Στ. 20, Φασιν.] Ἰσ.γρ. κἀνταῦθα, Φησιν.—Στ. 23, Κυδρῆλος.] Ἰσ.γρ. Κοδρύλος, ἢ Κοδρῖλος, παρὰ τὸν Κόδρον, καθάπερ Μυρσῖλος ἐκαλεῖτο ὁ Κανδαύλης (Ἡροδότ. ά, 7) ἀπὸ τοῦ πατρὸς Μύρσου.

ΣΕΛΙΔ. 3, στ. 14, Μνῆσαι.] Γράφε, Μνήσαι, καθὰ φέρουσιν αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις.—Στ. 20, Λεπρῆς.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου μόνου (ἐπιθέτως), ΑΤ, Λέπρης. Ἔχει δ' ὁ Λεπρὸς συνώνυμον τοῦ Τραχὺς, παρ' ὃ καὶ ἡ Λέπρα (οὐσιαστικῶς) τὸ περὶ τὸ σῶμα πάθος (τὸ καλούμενον ἄλλως Ἐλεφαντίασις), διὰ τὴν τραχύτητα καὶ σκληρίαν τοῦ δέρματος, καὶ Λεπρὸς (ἐπιθέτως πάλιν), ὁ τὸ πάθος ἔχων.—Ἀκτῆς.] Ἰσ.γρ. Ἄκρης.—Στ. 21, Λεπρή.] Καὶ τοῦτο ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Λέπρη.—Ἀκτή.] Ἰσ.γρ. Ἄκρη.—Πρηών.] Ἐκ ΔΓ, ΑΤ, Πρίων. Ἔχει δ' ὁ Πρηὼν ἐξοχὴ ὄρους, καθὰ καὶ Ὀρφεὺς (Ἀργοναυτ. 466) Ὀλύμπου πρηῶνας εἴρηκε, τοὺς αὐτοὺς ὄντας τοῖς παρ' Ὁμήρῳ (Ἰλιάδ. μ', 282) Πρώοσι·

Ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους.

—Στ. 23, Πρηῶνος.] Ἐκ ΔΓ, ΑΤ, Πρίωνος.—Στ. 24, Ἡ περὶ τόν.] ΗΔ (συνάδουσα τῇ ἐν τοῖς ἑξῆς, σελ. 13, γραφῇ), ΑΤ, Η ὑπὲρ τόν.—Στ. 28, Λεπρῆς.] Ἐκ ΔΓ, ΑΤ, Λέπρης.

ΣΕΛΙΔ. 4, στ. 5, Ἐπανιόντες.] ΗΔ, ΑΤ, Ἐπιόντες.—Στ. 11, Ἐζόμεθ'.] Ὅσαντ', εἰκασα γραπτέον εἶναι ἐν ταῖς Γολλικαῖς σημειώσεσιν, οὐ πάνυ τι ἀποδεχόμενος τὴν διόρθωσιν, ἀλλὰ τὸ μὴ συνᾴδον τοῖς περὶ Σμυρναίων ἄλλως ἱστορημένοις· παραμυθούμενος· οἱ γὰρ Αἰολεῖς ἦσαν ὕβριος ἡγεμόνες, ἀπωσάμενοι τοὺς Σμυρναίους καὶ εἰς Κολοφῶνα φυγεῖν ἀναγκάσαντες. — Στ. 12, Ἀζύεντος.] ΔΓ, Ἀσήεντος. Γραπτέον εἶναι, Ἀλήεντος, εἰκασεν ὁ Γερμανὸς ἐκδότης,

ὁρμώμενος ἐκ τοῦ Παυσανίου (ζ', 5, καὶ ή, 28).—Στ. 13, Εἴλεμεν.] Ἐξ ΕΔ (ἴδ. τὰς Γαλλ. σημειώσ.), ΑΤ, Εἴδομεν.—Στ. 15, Ἐφ' ὥνπερ καὶ πρώτων.] ΗΔ, ΑΤ, Ἀφ' ὥνπερ καὶ πρῶτον.—Στ. 18, Τὸ Μιλησίων.] ΗΔ (συνάδουσα τῇ ἀνωτέρω, σελ. 2, γραφῇ), ΑΤ, Τὸ Μιλήσιον.

ΣΕΛΙΔ. 5, στ. 11, Μέγιστον δὲ τὸ πλῆθος τῶν ἀποικιῶν.] Πλειόνων ἢ ὀγδοήκοντα πόλεων γενέτειραν (Super octoginta urbium genetrix) ὀνομάζει Πλίνιος (V, 29) τὴν Μίλητον (Ἴδ. τὰς Γαλλ. σημ.). Καὶ τοῦτο μὲν μεγίστης εὐδαιμονίας ὑπῆρχε σημεῖον, ἧς ἀπήλαυον ἑλληνικῶς εὐνομούμενοι οἱ Μιλήσιοι· ἔπειτα δὲ, οἷα πάσχειν εἰκὸς τοὺς μὴ τοῖς καθεζῶσιν ἐμμένοντας, καὶ παροιμίας ἀφορμὴν παρέσχον τοῖς σκώπτειν βουλομένοις, τῆς,

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

—Στ. 23, Ἄρτεμις, ἀπὸ τοῦ ἀρτεμέας ποιεῖν.] Ὅθεν Οὐλία καὶ αὐτὴ, κατὰ τὸν Μακρόβιον (*Saturnal. I*, 17), ἐπωνομάσθη, ὥσπερ καὶ ὁ ἀδελφὸς αὐτῆς, Οὔλιος.

ΣΕΛΙΔ. 6, στ. 4, Ἑκαταῖος... συντάξας· καθ' ἡμᾶς.] Ἴσως κεκολόβωται ὑπὸ τῶν ἀντιγραφέων τὸ χωρίον, γεγραμμένον πάλαι, Ἑκαταῖος... συντάξας, καὶ Κάδμος καθ' ἡμᾶς. Θαυμαστὸν γάρ, πῶς παρέλιπεν ἐνθάδε Στράβων τὸν Κάδμον, τὸν πρῶτον πεζῷ λόγῳ γράψαντα, καίπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 22) μνημονεύσας αὐτοῦ τε ἅμα καὶ τοῦ Ἑκαταίου. Λέγει δὲ καὶ ὁ Πλίνιος (V, 29) περὶ τῆς Μιλήτου, Nec fraudanda cive Cadmo, qui primus prosam orationem condere instituit.

ΣΕΛΙΔ. 7, στ. 13, Χαρώνειον.] ΗΔ (συνάδουσα τῇ ἀνωτέρω Μέρ. Β, σελ. 433, γραφῇ), ΑΤ, Χαρώνιον.

ΣΕΛΙΔ. 8, στ. 26, Ὁ Σεβαστὸς Καῖσαρ.] Παράβαλε ταῦτα τοῖς ἀνωτέρω (Μέρ. Β, σελ. 459) εἰρημένοις.

ΣΕΛΙΔ. 9, στ. 5, Μελάμφυλος.] Γράφε κἀνθάδε, Μελάμφυλλος, διὰ τὰ σημειωθέντα ἀνωτέρω (σελ. 214).—Στ. 16, Περὶ μὲν οἴνους.] Ἰσ.γρ. Περὶ μὲν οὖν οἴνους.—Στ. 20, Τοῦτο δὲ καὶ τῶν.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο δὲ καὶ τὸ τῶν.

ΣΕΛΙΔ. 10, στ. 4, Καταρρέψοι.] Ἐκ ΔΓ, ΑΤ, Καταρρέψει.

ΣΕΛΙΔ. 11, στ. 12, Ἰκαρία.] Ἣν ἀνωτέρω (σελ. 5) Ἴκαρον ὠνόμασε. Ἔστι δὲ, καθάπερ ἔφην (σελ. 232), ἡ νῦν βαρβάρως λεγομένη Νικαρία.—Στ. 22, Δράκανον.] Τὸ Δράκανον, καὶ τὸ ἐν τοῖς ἑξῆς

(σελ.

(σελ. 39), Δρέκανον, διαλέκτῳ μόνῃ διαφέρουσι τοῦ Δρέπανον.

ΣΕΛΙΔ. 12, στ. 11, Πυγαλγίας.] Ἐξ ΕΔ (ἴδ. Συλλέξ. Λεξικ. Ἑλληνογερμανικ. λέξ. Πυγαλίαι), ΑΤ, Πυγαλίας.—Στ. 23, Τῶν ὅπλων ἐκπλῆξαι τὴν Ἥραν.] Ἐκ ΔΓ, ΑΤ, Τὴν Ἥραν τῶν ὅπλων ἐκπλῆξαι.—Στ. 27, Σκόπα ἔργα.] Ἐξ ΕΔ, ΑΤ, Σκολιὰ ἔργα.

ΣΕΛΙΔ. 13, στ. 3, Τό τε τῶν.] ΗΔ, ΑΤ, Τότε δὲ καὶ τῶν. ΔΓ, Τότε τῶν.—Στ. 12, Ῥινούχους.] Γαλλιστὶ *egoûts*. Ἴδ. τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφράσ.—Στ. 15, Γερουσίαν, καταγραφομένη.] Κατὰ τοὺς παρὰ Ῥωμαίοις Patres conscriptos.—Στ. 21, Μαρτύριά ἐστι.] Ἐκ τοῦ ἐμοῦ μόνου ἀντιγράφου (οὐδετέρ. καὶ πληθ.), ΑΤ, Μαρτυρία ἐστί.

ΣΕΛΙΔ. 14, στ. 4, Ἐφ' ᾧ τήν.] Ἐκ ΔΓ, ΑΤ, Ἐφ' ᾧ τε τήν.—Στ. 7, Πρίποι.] Ἐκ ΔΓ, ΑΤ, Πρέπει.—Στ. 9, Διενοκράτους.] Ἐκ ΔΓ, ΑΤ, Χειροκράτους.—Στ. 10-14, Τοῦ δ' αὐτοῦ... ποταμόν.] Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ. περὶ τοῦ μὴ ἀποχρώντως σαφηνισθέντος τούτου χωρίου τοῖς πρὸ ἡμῶν.—Στ. 13, Ποιήσειν τε.] ΗΔ (συνάδουσα τῇ ἀρχαίᾳ μεταφράσει facturumque), ΑΤ, Ποιήσαντα.—Στ. 19, Κρήνη, Πηνελόπειά τε κ. τ. λ.] Ἔπιθι καὶ περὶ τούτου τὰς Γαλλ. σημειώσ.—Στ. 20, Μεγαλοβύζους, ἄλλους ἀλλαχόθεν.] ΗΔ, ΑΤ, Μεγαλοβύζους, καὶ ἀλλαχόθεν. Τὸ δὲ Μεγαλοβύζους τρεπτέον ἴσως εἰς τὸ Μεγαβύζους, καθάπερ ἔφην ἐν ταῖς Γαλλ. σημειώσ.—Στ. 24, Καὶ νῦν, ἢ καὶ πρότερον.] ΗΔ, ΑΤ, Καὶ νῦν καὶ πρότερον. Ἔστι δὲ καὶ πιθανωτέρως διορθοῦν, Καὶ νῦν, καθὰ πρότερον.

ΣΕΛΙΔ. 15, στ. 15, Ἐμπορεῖον.] Ἐκ ΔΓ, ΑΤ, Ἐμπόριον. Παράβαλε τὰ περὶ τῆς Ἐφέσου οἷς ἐν τοῖς πρόσθεν (Μέρ. Β, σελ. 375) εἴρηκεν.—Στ. 20, Ὀνήϊζον.] Ὑπερθετικὸν τοῦ Ὄνειος ἢ Ὀνείων, τουτέστιν ὠφέλιμος, χρήσιμος, καὶ ἑπομένως τίμιος· ὅθεν εἰκὸς παρῆχθαι καὶ τὸ τῶν Ῥωμαίων Honestus. Ἴδ. τὰς Γαλλ. σημειώσ.—Στ. 24, Ἀλέξανδρος.] Ἐξερρύηκέναι τι τοῦ χωρίου ὑπενόησα (ἐν ταῖς Γαλλ. σημειώσ.), γεγραμμένου ἴσως πάλαι, Ἀρτεμίδωρος καὶ Ἀλέξανδρος.

ΣΕΛΙΔ. 16, στ. 2, Λίμνη... Σελινουσία.] Ἴσως λίμνην ἐνθάδε ὀνομάζει, ὃν ἄλλαχοῦ (Μέρ. Β, σελ. 144) ποταμὸν Σελινοῦντα (ῥέοντα παρὰ τὸ ἐν Ἐφέσῳ Ἀρτεμίσιον) εἴρηκε.—Στ. 7, Τάς τε λίμνας ἀπέλαβε... ἐξενίκησε.] Γραπτέον ἴσως καὶ σιωπτέον, Τάς τε

λίμνας ἀπολαβεῖν τῇ θεῷ καὶ τὴν Ἡρακλεῶτιν, ἀφιγμένην, ἐξενίκησε.

ΣΕΛΙΔ. 17, στ. 5, Λύπης, κατά τι.] ΗΔ, ΑΤ, Λύπης καὶ κατά τι.—Στ. 17, Ξενοφάνης... ὁ τοὺς σίλλους ποιήσας.] Ἠπάτηται καὶ ἑτέρους ὁ Στράβων, ἠπατημένος πρῶτος αὐτὸς περὶ τῶν Ξενοφάνους σίλλων· οὐ γὰρ Ξενοφάνης, ἀλλὰ Τίμων ὁ Φλιάσιος ἐστὶν ὁ τοὺς σίλλους πεποιηκώς· τῆς δ' ἀπάτης αἴτιον, ὅτι Ξενοφάνει τοὺς Σίλλους ἀνέθηκεν ὁ Τίμων, ὡς φησι Σέξτος ὁ Ἐμπειρικὸς (Πυρρων. Ὑποτυπώτ. ά, 33, σελ. 58, μετὰ τῆς τοῦ Φαβρικ. σημειώσ.)· ἐν οἷς Σίλλοις καὶ ἀνακρίνει τὸν Ξενοφάνην ἐν διαλόγου σχήματι, καθά φησι Διογένης ὁ Λαέρτιος (Θ', 111). Ἦσαν δ' οἱ Σίλλοι σατυρικὸν ποίημα, ἐν ᾧ διέσυρε Τίμων τοὺς φιλοσόφους. «Σίλλος... μῶμος, κακολογία» καὶ χλευασμὸς» φησὶν Ἡσύχιος· καὶ ῥῆμα δὲ, «Σιλλοῖ, μωκᾶται, » ψέγει, κακολογεῖ».—Στ. 20, Φθέγμα.] Ἐκ μὴ σωζομένου ποιήματος τοῦ Πινδάρου. Τοῦ δὲ Πολυμνήστου, μνημονεύει καὶ Πλούταρχος ἐν τῷ Περὶ μουσικῆς.—Στ. 24, Ὄρος Κοράκιον.] Κόρακας νῦν καλούμενον, κατὰ τὸν Μελέτιον.—Στ. 26, Λέβεδος.] Σώζει τοὔνομα, μικρὸν τουρκίζον, Λεβεδιτζισάρ, ὅ ἐστι Λεβέδου τεῖχος, ἢ φρούριον.

ΣΕΛΙΔ. 18, στ. 14, Ἐνθένδ'.] ΗΔ, ΑΤ, Ἔνθεν δ'.—Στ. 26, Καθό.] Γράφε, Καθ' ὅ.

ΣΕΛΙΔ. 19, στ. 1, Ἀπόκρημνος τόπος.] ΗΔ, ΑΤ, Ὑπόκρημνος ὁ τόπος. Ἔστι γὰρ κύριον ἐνταῦθα ὄνομα ὁ Ἀπόκρημνος, ἢ ὄθλον ἐκ τῶν ἑξῆς (σελ. 21) ῥηθησομένων τῷ Στράβωνι, καίπερ ἀπὸ τῆς φύσεως, τουτέστιν ἀπὸ τοῦ τραχὺς εἶναι καὶ κρημνώδης οὕτω προσαγορευθείς. Καὶ οἱ Τοῦρκοι δὲ νῦν Σαρπὰν κυρίως καλοῦσι τὸν τόπον (Chandler, *Voyag. dans l'As. min. et en Grèce, tom. I, pag.* 419, *not.* 49), παρὰ τὸ Σάρπ, τὸ σημαῖνον τὸ τραχύ.—Στ. 4, Ὑπὸ τοῦ.] ΗΔ, ΑΤ, Ἀπὸ τοῦ.—Στ. 7, Ἀποκρήμνου.] ΗΔ, ΑΤ, Ὑποκρήμνου.—Στ. 11, Μὲν Ἔραι.] Ἐκ ΔΙ', ΑΤ, Μέν γ' Ἔραι. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Μὲν Γέραι. —Στ. 13, Κασύγης, καὶ ἌΛΛΟΣ Ἐρυθρᾶς λιμὴν καλούμενος.] Ἰσ. γρ. ἌΛΛΩΣ, ἵν' ᾖ ὁ αὐτὸς λιμὴν διττῷ ὀνόματι καλούμενος· ἔστι δ' ὁ Κασύγης, ὃν Κυσσοῦντα (Cyssus) ὀνομάζει ὁ Τίτος Λιούϊος, ὁ νῦν, Τσεσμὲς λεγόμενος. Καὶ σημαίνει μὲν πηγὴν ὁ Τσεσμὲς τοῖς Τούρκοις· ἐνδέχεται μέντοι καὶ παρεφθάρθαι τοὔνομα ἀπὸ τοῦ Κασύγου, ἢ Κυσσοῦντος.—Στ. 23, Τοῦ δ' ἄρα ὁ.] ΗΔ (συγχύσει

τῷ Εὐξαθίῳ, ἐν τοῖς εἰς Διονύσ. τὸν Περιηγητ. 855), ΑΤ, Τοῦ δ' ἄρ' ὁ.

ΣΕΛΙΔ. 20, στ. 1, Ἀργεννον.] Ἡ νῦν Λευκὴ ἄκρα (καὶ ἰδιωτικῶς Κάβος ἄσπρος Cap Blanc), καθὰ δηλοῖ καὶ τοὔνομα Ἀργεννον.—Στ. 5, Ἄκρα Μέλαινα.] Καράμπουρνα ἰδιωτικῶς, ἐκ τῆς Τούρκων φωνῆς, ὃ ταὐτὸ σημαίνει καὶ τὸ Ἑλληνικὸν ὄνομα.—Στ. 10, Ἡροφίλειος.] ΗΔ, ΑΤ, Ἡρόφιλος. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Ἡροφίλειος.—Στ. 15, Τὸ Ποσείδιον, εἶτα Φάναι.] Τὸ μὲν Ποσείδιον (οὕτω κληθὲν ἀπὸ τοῦ ἐπ' αὐτῷ ναῷ τοῦ Ποσειδῶνος) νῦν Ἄκρα τῆς ἁγίας Ἑλένης καλεῖται. Αἱ δὲ Φάναι εἰσὶν ἡ νῦν Φάνα, ἡ κατὰ τὸν Μελέτιον, Κάβο μαςίχι.—Στ. 16, Νότιον.] Πλησίον κεῖσθαι τῶν Φανῶν τὸ Νότιον, ἐςὶν εἰκάσαι ἐκ τοῦ ὀνόματος· διὸ καὶ τὴν περὶ τὰς Φάνας χώραν ἅπασαν Κάτω μερίαν νῦν ὀνομάζουσι διὰ τὸ πρὸς νότον ὑπάρχειν.—Στ. 17, Ἐλαιοῦς.] Οὕτως ἐτόλμησα γράψαι ΑΤ, Λαΐους. ΔΓ (ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, Λαιούς. Ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, Leus, τουτέςι Λεούς. Ἔςι δὲ νῦν ὁ καλούμενος Λιμὴν Μέσος (Port de Mesta), ὁ σὺν τῷ λιμένι τῆς πόλεως Χίου ἀποτελῶν τὸν ἑξηκονταςάδιον ἰσθμόν. Εἰ δὲ τὸ Λαΐους κατὰ χώραν ἐᾷν βούλοιτο, σκόπει μὴ ὁ νῦν Λιθὶ λιμένας ἐςὶ (παρὰ τὸ Λάας δηλονότι).—Στ. 19, Μέλαινα ἄκρα.] Ἡ νῦν, Ἅγιος Νικόλαος.—Στ. 20, Ψύρα.] Τὰ νῦν Ψαρά.—Στ. 22, Ἀριουσία χώρα.] Ἥτις ἄρχεται ἀπὸ τῶν περὶ τὴν πάλαι καὶ νῦν Βολισσὸν τόπων, κατὰ τὸν Ἄγγλον Ποκώκκιον.—Στ. 24, Πελιναῖον ὄρος.] Σπαρτοῦντα νῦν καλεῖσθαι φησὶν ὁ Τουρνεφόρτιος.

ΣΕΛΙΔ. 21, στ. 1-4, Ἄνδρες δὲ Χῖοι κ. τ. λ.] Οἷς ὁ Στράβων διηριθμησεν ἐλλογίμοις Χίοις συγκαταλεκτέον Οἰνοπίδην τὸν ἀςρονόμον, Νέσσον φιλόσοφον, καὶ τὸν τούτου μαθητὴν Μητρόδωρον (οὗ φασὶ διακοῦσαι τὸν μέγαν Ἱπποκράτην), Ἀρίζωνα καὶ Θεόδωρον τοὺς Στωϊκούς, καὶ Σκύμνον, γεωγράφον. Καὶ οὗτοι μὲν εἰσιν οἱ περὶ λόγους σπουδάσαντες· τοὺς δ' ἐπὶ τέχναις εὐδοκιμήσαντας, οἷον μουσικοὺς, ἀγαλματοποιοὺς καὶ τοὺς τοιούτους, οὔ μοι καιρὸς ἀριθμεῖν.—Στ. 5, Καλουμένους ἀπὸ τοῦ.] Ἐκ ΔΓ, ΑΤ, Καλουμένους, ἀπὸ δὲ τοῦ.—Στ. 7, Ὅθεν περ καὶ Ὁμηρίδαι.] Ἐκ τῶν Πινδάρου Νεμ. β', 1.—Στ. 9, Καὶ ναυτικόν.] Ὅπερ εἰκὸς ἀξιολογώτατον γεγονέναι, ὡς ἐςὶ συλλογίσασθαι ἐξ ὧν ἱςόρηκεν Ἡρόδοτος (ς', 8)· ἐν γὰρ τῷ πρὸς τοὺς βαρβάρους πολέμῳ τῶν Ἰώνων, ἐκ τριακοσίων πεντήκοντα καὶ τριῶν τριηρῶν, ἃς ἐννέα πόλεις παρίσχοντο,

αἱ ἑκατὸν ἦσαν τῶν Χίων.—Στ. 12, Ἀποκρήμνου.] Ἐνθάδε δὲ οὐδεμία διαφωνία ἐν τοῖς ἀντιγράφοις (ἴδ. τὰ σημειωθ. ἀνωτέρ. σελ. 290).—Χύτριον... Κλαζομεναί.] Κλαζομενιὸ, νῦν καλεῖσθαί φησιν ὁ Μελέτιος τὰς Κλαζομενάς, ὑπὸ δὲ τῶν Τούρκων Κιλισμάν. Ἕτεροι δὲ τὰ καλούμενα Βουρλὰ λέγουσιν εἶναι.—Στ. 20, Περὶ τετρακόσια ἔτη διετέλεσεν οἰκουμένη κωμηδόν.] Διόρθου ἐνθένδε τὴν τοῦ Μελετίου Γεωγραφίαν (σελ. 464), ἐν οἷς λέγει, α Οἱ Σμυρναῖοι εὑρίσκοντο διεσπαρμένοι περὶ τὰς ΚΥΜΑΣ σχεδὸν » ἔτη 400 » γράφων, ΚΩΜΑΣ.

ΣΕΛΙΔ. 22, στ. 3, Ἀντιποιοῦνται.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Μεταποιοῦνται.—Στ. 9, Ἀποσκευῶν.] Ἐξ ΕΔ, ΑΤ, Παρασκευῶν.—Στ. 18, Ἀνιών.] Ἐκ ΔΓ, ΑΤ, Ἰών.—Στ. 20, Θυάτειρα.] Τὸ νῦν Ἀξάρι παρὰ τὸ κατὰ τὴν Τούρκων φωνὴν Ἀκισάρ.—Στ. 21, Ἀπολλωνίδα.] Περὶ ἧς εἴρηκεν ἐν τοῖς πρόσθεν (Μέρ. Β, σελ. 502).—Στ. 25, Στρατιά.] ΗΔ, ΑΤ, Στρατεία.

ΣΕΛΙΔ. 23, στ. 4, Φώκαια.] Αἱ νῦν Παλαιαὶ Φῶκαι.—Στ. 11, Μαγνησία.] Ἡ νῦν Γκιουζελισὰρ (ὃ δύναται Καλλίπολις) τουρκιστὶ καλουμένη, ἑτέρα τῆς ὑπὸ Σιπύλῳ Μαγνησίας, τῆς τηρησάσης τοὔνομα.—Στ. 16, Ἐσπερίται.] Ἰσ.γρ. Ἐσπερίδαις· οἱ αὐτοὶ γάρ εἰσι τοῖς ἀλλαχοῦ μνημονευθεῖσι τῷ Στράβωνι, περὶ ὧν ἐπιθὶ τὰ ἀνωτέρω (σελ. 215) σημειωθέντα μοι. Μνημονεύσει δὲ καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 302), ὅπου καὶ Λάθωνα ὀνομάζει τὸν ἐν ἐκείνοις ῥέοντα ποταμὸν, ταὐτὸν ὄντα τῷ ἐνθάδε καλουμένῳ Ληθαίῳ.—Στ. 19, Διὰ σίχου.] Ὀρθῶς ἂν γράφοις, Διὰ σίχων, καθὰ ἡρμήνευσε καὶ ὁ ἀρχαῖος μεταφραστὴς, versibus. Ὀρθώτερον δ', οἶμαι, γράφει ὁ τὰς Χρησομαθείας (Μέρ. Γ, σελ. 434) συντεταχὼς, Διὰ δισίχου.—Στ. 25, Ἡ οἴη Διδύμους.] Παρίθετο ταῦτα καὶ ἀνωτέρω (Μέρ. Β, σελ. 226).

ΣΕΛΙΔ. 24, στ. 4, Ἱεράσασθαι.] Ἐκ ΔΓ, ΑΤ, Ἱερᾶσθαι.—Στ. 12, Τοῦ ἐν Διδύμοις.] Οὗπερ ἀνωτέρω (σελ. 4) ἐμνημόνευσε.—Τὸ παλαιόν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὸ παλαιόν.—Στ. 26, Σίμων.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Σῖμος, ὅπερ ἔγραψεν ὁ Γερμανὸς ἐκδότης, διὰ τὸ μετ' ὀλίγα (σελ. 25) Σίμον τὸν αὐτὸν τοῦτον καλεῖσθαι ὑπὸ Στράβωνος, καθάπερ καὶ ὑφ' ἑτέρων. Ἔστιν ὅμως τοῦτο οὐκ ἀντιγραφέων παρόραμα, ἀλλὰ Στράβωνος μᾶλλον ἀμέλεια, ἄλλως τε καὶ τῶν τοιούτων ὀνομάτων διπλοκαταληκτουμένων συνήθως· καὶ ἀνωτέρω γὰρ (Μέρ. Β, σελ. 424) Δύκωνα φέρουσι

τὰ ἀντίγραφα ἀντὶ τοῦ παρ' ἄπασι, Λύκον. Οὕτω λέγεται Λάκμων καὶ Δάκμος (ὄρους ὄνομα), καὶ Δρυμὸς καὶ Δρυμών, καὶ Διπλάσιος καὶ Διπλασίων, καὶ Ἐπίσημος παρ' Ἱπποκράτει (Ἐπιδημ. ς', τμ. 8), ἀντὶ τοῦ Ἐπισήμων, καὶ Ἄχυρος (παρ' Ἡσυχ.), ἀντὶ τοῦ Ἀχυρών. Λέγει δὲ καὶ ἡ παρ' ἡμῖν συνήθεια πρὸς πολλοῖς ἄλλοις, οἷς ἀλλαχοῦ (Πρόδρ. Ἑλληνικ. βιβλιοθ. σελ. 378) ἐσημειωσάμην, καὶ Μάκον, τὸν Μήκωνα (δωρικ. Μάκωνα).

ΣΕΛΙΔ. 25, στ. 10, Ἱερωμένον.] Ἐκ ΔΓ, ΑΤ, Ἱερωμένην· φέρεται γὰρ πρὸς τὸν Ἀναξήνορα, ὃν ἱερὰ ἀπέδειξαν τοῦ Διός. — Στ. 21, Ἐκβάλλουσί τε τὸ ἔθος, ὡς φυσικὴν κ. τ. λ.] ΗΔ, ΑΤ, Καὶ ἐκβάλλουσί γε τὸ ἔθος φυσικήν. Τῆς ἐκβολῆς δὲ ταύτης τεκμήριον, καὶ τὸ ἐν τοῖς πλείοσι τῶν ἔτι σωζομένων ἀντιγράφων μήτε προσγράφεσθαι, μήθ' ὑπογράφεσθαι τὸ τ ταῖς δοτικαῖς. — Στ. 23, Τράλλεις.] Χώραν αὐτὴν κυριωνυμικῶς νῦν καλεῖσθαί φησιν ὁ Μελίτιος· ἔχει δ' ἡ ἡ αὐτὴ τῷ καλουμένῳ Σουλτὰν Ἰσάρ, ἢ πλησίον αὐτοῦ. — Στ. 24, Μεσσωγίδα.] Τὸ τουρκιστὶ καλούμενον νῦν Κεσενουσδάγ, ὃ σημαίνει Καστάνων ὄρος, ἴσως διὰ τὸ πλεονάζειν ἐν αὐτῷ τὸ δένδρον. — Στ. 27, Τρόπος τῆς.] Ἐκ ΔΓ, ΑΤ, Τρόπος καὶ τῆς.

ΣΕΛΙΔ. 26, στ. 13, Βαρύς.] Σημειοῦ τὴν λέξιν, ὡς καὶ ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς αὐτῆς μεταφορικῆς ἐννοίας πολλάκις ἐκλαμβανομένην. Βαρὺν γὰρ (Γαλλ. grave) ὀνομάζομεν ἄνδρα, τὸν σύννουν καὶ συστὸν, ὥσπερ Δαφρὺν καὶ Λαφρὸν (παρὰ τὸ Ἐλαφρὸν, Γαλλ. léger) τὸν ἐναντίον τούτῳ, ὃν καὶ Ἀβαρῆ ἐκάλουν οἱ ἀρχαῖοι· «Ἀβαρὴς, ἀσύνετος» φησὶν Ἡσύχιος. — Στ. 19, Ἀφ' ὧν τοὔνομα.] Ἀπὸ τῶν ἐν Θράκῃ Τραλλέων δηλονότι. Ἴδ. τὰς Γαλλ. σημ. — Στ. 22, Νύσα.] Σώζειν ἔτι καὶ νῦν τοὔνομα φασὶν ὅ τε Μελίτιος καὶ ὁ Πατρίκιος· καλοῦσι δ' αὐτὴν καὶ Ναζλὶ, Τουρκιστί. Φέρει δὲ τὰ περιβόητα σῦκα, τὰ καλούμενα τοῖς Τούρκοις Ναζλιεντζίρ· ὅθεν καὶ αἱ ἰσχάδες οὐ μόνον αἱ ἐκ τούτων, ἀλλ' ἁπλῶς ἅπασαι Caricæ ὑπὸ τῶν Ῥωμαίων καλοῦνται, τουτέστι Καρικὰ σῦκα, ἀπὸ τῆς παρακειμένης τῇ Λυδίᾳ Καρίας, ἀρχῆθεν παραπλησίως φερούσης σῦκα. — Στ. 26, Κρυπτὴν ἔχοντι τήν.] Ἐκ ΔΓ, ΑΤ, Κρυπτὴν ἔχον τήν. — Στ. 28, Γεροντικόν.] Οὕτως ὠνομάζετο τὸ γυμνάσιον, ἐν ᾧ ἐγυμνάζοντο οἱ γέροντες (ἴδ. τὰς Γαλλ. σημ.). Παρὰ δὲ τοῖς Βυζαντινοῖς συγγραφεῦσι Γεροντικὰ ἐλέγοντο, αἱ γνώμας καὶ ἀποφθέγματα γερόντων Μοναχῶν, ἢ Ἀσκητῶν περιέχουσαι βίβλοι.

ΣΕΛΙΔ. 27, στ. 7, Λέγουσι γὰρ δὴ καὶ τούς.] Ἡ διαγραπτέον τὸν τρίτον σύνδεσμον, ὃν διὰ τοῦτο ἀστερίσκοις διείληφα, ἢ ἀναγνωστέον δίχα τοῦ δευτέρου, καθά φέρουσί τινα τῶν ἀντιγράφων, Λέγουσι γὰρ καὶ τούς.—Στ. 11, Οὗτοι δ' εἰσὶ καὶ οἱ ἐγκαλοῦντες τὴν τῶν θεῶν ἰατρείαν.] Εἶκασα ἐν ταῖς Γαλλικαῖς σημειώσεσι, μήποτε γραπτέον Ἐκκαλοῦντες, ἢ Ἐμπολοῦντες· προσεικάζω δὲ νῦν (ἴσως πιθανώτερον) καὶ τὸ ΑΓΓΕΛΛΟΝΤΕΣ.—Στ. 19, Περὶ τῶν νοσούντων.] ΗΔ, ΑΤ, Περὶ τῶν τοσούτων (ἄλλ. τοιούτων).—Τότε δέ.] Ἐκ ΔΓ, ΑΤ, Τότε δή.—Στ. 22, Προελθών.] Ἐκ ΔΓ, ΑΤ, Προσελθών.—Στ. 24, Τμῶλον.] Τομαλίτζ νῦν, Τουρκιστί.

ΣΕΛΙΔ. 28, στ. 4, Ἀσίῳ.] Ἔπιθι τὰ ἀλλαχοῦ (Μέρ. Β, σελ. 506) εἰρημένα, καὶ τὰ ἐκεῖ σημειωθέντα.—Στ. 8, Τρεῖς ἐπωνύμους.] ΗΔ, ΑΤ, Τὰς ἐπωνύμους.—Στ. 14, Ἄρομα.] ΗΔ (καθάπερ εἰκὸς ἀναγνῶναι καὶ τὸν Βυζάντιον Στέφανον), ΑΤ, Ἀρώματα.—Συςελλόντων.] ΗΔ, ΑΤ, Συςέλλοντες.—Στ. 21, Τὸν Ποσειδήϊον.] Γράφε δίχα τοῦ ἄρθρου, καθά φέρουσί τινα τῶν ἀντιγράφων.

ΣΕΛΙΔ. 29, στ. 18, Ἐπίσης κατὰ πλάτος.] ΗΔ, ΑΤ, Ἐπίσης τε πλάτος.—Στ. 23, Δαιδάλων.] Δέδατα (τυπογραφικῶς ἴσως ἡμαρτημένον) εὑρίσκω ἐν τῷ ὑδρογραφικῷ πίνακι τοῦ Κεφαλᾶ ἐπὶ τῷ κόλπῳ Γλαύκῳ, ὃς ἐστὶ νῦν ὁ καλούμενος Κόλπος τῆς Μάκρης. Ἴδε κατωτέρ. σελ. 301.

ΣΕΛΙΔ. 30, στ. 4, Εἶτα τὸ Λητῷον ἄλσος.] Γράφε ἀναπληρῶν τὰ τ' γογράφων ἀβλεψίᾳ ἐξερρυηκότα, Εἶτα τὸ Ἀρτεμίσιον ἄκρα καὶ ἱερὸν, εἶτα τὸ Λητῷον ἄλσος.—Στ. 11, Διά τε τὰ καύματα.] [illegible] (ὥσπερ διώρθουν πάλαι ἐν ταῖς εἰς τὸν Ἱπποκράτ. Περὶ ἀέρ. ὑδ[illegible]πτ. tom. II, pag. 208, σημειώσ.) ΑΤ, Διά τὰ καύματα.—Στ. 13, ΕΠΙΜΕΛΑΝΩΣ χλωροὺς τοὺς Καυνίους.] ΗΔ, ΑΤ, ΕΠΙΜΕΛΩΣ. Εἰσὶ δ' οἱ Ἐπιμελάνως χλωροὶ, ὡς καὶ οἱ ἐν συνθέσει Μελάγχλωροι, οἱ αὐτοὶ καὶ οἱ ἐν τῇ συνηθείᾳ Μαυροκίτρινοι λεγόμενοι. Σκώπτει δὲ εἰς τὴν μελανίαν τοὺς κατοίκους τῆς Καύνου (τῆς νῦν Ῥόσας καλουμένης) Στρατόνικος, ὥσπερ ἔσκωψε καὶ τοὺς ἀπαντικρὺ τῶν Καυνίων κειμένους Ῥοδίους, Λευκοὺς Κυρηναίους ὀνομάσας (Ἀθην. σελ. 352), τουτέστι τοσούτῳ μόνῳ διαφέρειν ἐμφήνας κατὰ τὴν μελανίαν τῶν Κυρηναίων, ὅσῳ μὴ Κυρηναίους ἁπλῶς καλεῖσθαι.—Στ. 15, Οἵη περ.] Ἐκ τῆς Ἰλιάδος, ζ', 146.—

Στ. 21, Ἀφῖχθαι δ' ἐκ Κρήτης.] ΗΔ, ΑΤ, Ἀφῖχθαι δέ Κρῆτας.

ΣΕΛΙΔ. 31, στ. 6, Ἐθαλαττοκράτησε.] Τοῦτο οὐχ οὕτως ἐκληπτέον, ὥσπερ ἂν εἰ τῆς μεσογείου θαλάσσης ἁπάσης, ἢ γοῦν πολλοῦ μέρους αὐτῆς ἐκράτησαν, ἀλλ' ὡς τῶν κατὰ τὸ Αἰγαῖον πέλαγος πλοΐζομένων πολὺ διαφέροντας. Ἔπιθι τὴν τοῦ Οὐαλκενηρίου σημείωσιν εἰς τὸν Ἡρόδοτον (γ', 122)· ὅθεν ἀναπληρωτέον εἰς τὸ ἀκριβέστερον καὶ τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ τοῦ Στράβωνος μεταφράσει (tom. IV, pag. 327, not. 2).—Στ. 13, Ἑπτάκις δέκα.] Πληρέστερον τοῦτο ἀποδέδωκεν ὁ τῶν Χρηστομαθειῶν (Μιχ. Γ, σελ. 434) συλλογεύς·

> Κολοσσὸν Ἡλίου ποθ' ἑπτάκις δέκα
> Χάρης ἐποίει πηχέων, ὁ Λίνδιος.

Καὶ εἰκὸς οὕτω πάλαι γεγράφθαι καὶ ἐν τῷ χειμένῳ τοῦ Στράβωνος. —Στ. 16, Τοῦτό τε δή.] ΗΔ, ΑΤ, Τοῦτο δὲ δή. ΔΓ, Τοῦτο δή.

ΣΕΛΙΔ. 32, στ. 1, Σιταρκεῖταί τε δή.] Ἐκ ΔΓ, ΑΤ, Σιταρκεῖται δὲ δή. Ὅμοιον δὲ τοῦθ' ᾧ μικρὸν ἀνωτέρω διώρθωκα, Τοῦτό τε δή, καὶ τῷ ἐν τοῖς ἑξῆς (σελ. 39), « Οὗτός τε δή ἐστι » τῶν ἐνδόξων ».—Στ. 2, Ὑπολαμβάνουσιν.] Σημειοῦ τὴν λέξιν, ἣν διὰ τοῦ Soutiennent ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει, ὡς μήπω κατακεχωρισμένου τοῦ Ὑπολαμβάνειν ἐν τοῖς Λεξικοῖς ἐπὶ τῆς μεταφορικῆς ταύτης σημασίας τοῦ βοηθεῖν, ἐπαρκεῖν, ἢ ὠφελεῖν. Ὑπό τι δὲ καὶ ῥωμαΐζει· ἔστι γὰρ κατὰ λέξιν αὐτὸ τὸ παρ' ἐκείνοις Suscipiunt.—Στ. 3, Ὀψωνιαζόμεναι.] ΗΔ (πρὸς τὸ Λειτουργίαι), ΑΤ, Ὀψωνιαζόμενοι.—Στ. 19, Αὐτίκα.] Ἐκ τῆς Ἰλιάδος, β', 662.—Στ. 27, Λίνδον.] Ἐκ τῆς αὐτῆς, β', 656.

ΣΕΛΙΔ. 33, στ. 1, Ἀλλ', εἰ ἄρα, Αἰολίας.] ΗΔ, ΑΤ, Ἀλλ' ἦ ἄρα Αἰολέας.—Στ. 5, Καὶ τῶν Κῴων δή, Φειδιππός τε.] Ἐκ ΔΓ (συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Καί, Τῶν δ' αὖ Φειδιππός τε. Τὸ δὲ ἔπος ἐκ τῆς Ἰλιάδος, β', 678.—Στ. 22, Ὧν ἑνός.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Ὧν ἕνιοι.

ΣΕΛΙΔ. 34, στ. 7, Συνῴκισαν.] ΗΔ, ΑΤ, Συνῴκησαν.—Στ. 12, Τὴν Παρθενόπην.] Τὴν νῦν ἐν ταῖς Ἰταλικαῖς πόλισι διαπρέπουσαν Νεάπολιν.—Σαλπίας.] Ἐξ ΕΔ, ΑΤ, Ἑλπίας. Εἰσὶ δ' ὄνομα πόλεως πληθυντικὸν, συγκεκομμένον παρὰ τὸ Σαλαπῖαι, αἱ Σαλπίαι.—Στ. 13, Ἄροδον.] Ἐκ ΔΓ, ΑΤ, Ἔροδον.—Στ. 16, Οὐ

ταληθῆ.] Ἐκ ΔΓ, ΑΤ, Οὔτ' ἀληθῆ.—Στ. 17, Λίγισθαι, καὶ διὰ τοῦτο τάς.] ΗΔ, ΑΤ, Λέγεσθαι, διὰ τὸ τάς. ΔΓ, Λίγεσθαι, διότι τάς. Ἔχει δὲ καὶ οὕτω διορθοῦν Λέγεσθαι· δι' ὃ καὶ τάς. Εἰκὸς δ' ἐξερρυηκέναι τι τοῦ χωρίου. Τοῦτο γάρ, οἶμαι, βούλεται λέγειν ὁ Στράβων, ὅτι Ῥόδιοι κτίσαντες τὰς νήσους, Γυμνησίας ἐκάλεσαν, διότι γυμνῆτες ἦσαν αὐτοί, τουτέστι ψιλοὶ στρατεύεσθαι εἰώθεσαν, σφενδόνας φέροντες μόνας· καὶ ἐπεὶ τῇ Φοινίκων γλώσσᾳ οἱ οὕτως ἐσκευασμένοι στρατιῶται Βαλεαρίδαι (ἡ Βαλεαρεῖς) λέγονται, διὰ τοῦτο καὶ αἱ ὑπ' αὐτῶν οἰκισθεῖσαι νῆσοι τῆς αὐτῆς ἔτυχον προσηγορίας. Ὅτι δὲ σφενδονῆται ἦσαν οἱ Ῥόδιοι, μαρτυρεῖ καὶ ἡ ἱστορία· ἐν γοῦν τῇ ἐπὶ Σικελίαν στρατείᾳ ἑπτακοσίους σφενδονήτας Ῥοδίους Ἀθηναίοις συμμαχῆσαι φησὶν ὁ Θουκυδίδης (ζ', 43).—Στ. 18, Γυμνησίας.] ΗΔ, ΑΤ, Γυμνασίας. Δύο δ' οὐσῶν τούτων, καθάπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 218) Στράβων εἴρηκεν, ἡ μὲν μείζων, Majorque, ἡ δ' ἐλάσσων, Minorque νῦν καλεῖται.

ΣΕΔΙΔ. 35, στ. 3, Λίνδος.] Σώζει καὶ νῦν τοὔνομα.—Στ. 13, Κάμειρος.] Καὶ αὕτη τῷ αὐτῷ εἴσπερ καλεῖται ὀνόματι.—Στ. 16, Χαλκίαν.] Νῦν δὲ Χάλκην.—Στ. 20, Φιλοσοφίαν.] Ἐκ ΔΓ, ΑΤ, Φιλοσοφίας.

ΣΕΛΙΔ. 36, στ. 11, Ἐλεοῦντος.] Νήσου, ἣν ἀνωτέρω (σελ. 30) Ἐλεοῦσσαν ὠνόμασε.—Καμπή.] Ἐκ ΔΓ (οὕτω γραφομένου κἀν τοῖς ἑξῆς, σελ. 68), ΑΤ, Καμπτήρ.—Στ. 16, Κυνὸς σῆμα.] Capo di Volpe οἱ πλοϊζόμενοι τῶν Ἰταλῶν καλοῦσιν αὐτὸ, τουτέστιν, Ἀλώπεκος ἄκραν.—Στ. 17, Σύμη.] Καθάπερ καὶ νῦν ἔτι καλεῖται. —Στ. 18, Κνίδος.] Σταδία νῦν, κατὰ τὸν Μελέτιον· καὶ σημείωσαι, ὅτι ἓν τῶν παλαιῶν αὐτῆς ὀνομάτων ἦν καὶ τοῦτο· Κατὰ γὰρ τὸν Πλίνιον (v, 27) ἡ Κνίδος ἐκαλεῖτο καὶ Τριοπία, καὶ Πήγουσα καὶ Σταδία. Κεῖται δὲ κατὰ τὴν ἄκραν τὴν νῦν ὀνομαζομένην Cap Crio. —Στ. 19, Δὲ νῆσος.] ΗΔ, ΑΤ, Δ' ἡ νῆσος.—Στ. 21, Χώμασι.] Ἴσ.γρ. Χώματι.—Στ. 23, Νίσυρος.] Ἡ καὶ νῦν οὕτω καλουμένη.

ΣΕΔΙΔ. 37, στ. 1, Τῶν ΜΕΓΑ δυναμένων.] ΗΔ, ΑΤ, ΜΕΓΑΛΛ. ΔΓ, ΜΕΓΑΔΩΝ. Ταὐτὸ δέ μοι δοκεῖ ἁμάρτημα συμβῆναι καὶ τοῖς ἀντιγραφεῦσι τοῦ Πλάτωνος (Σοφιστ. σελ. 243), «Οὕτω ΜΕΓΑΛΑ » κλεινοῖς καὶ παλαιοῖς ἀνδράσιν » ΜΕΓΑ γὰρ καὶ παρ' ἐκείνῳ θεῖν γράφειν ὑπολαμβάνω.—Στ. 4, Κέραμος.] Σώζει καὶ νῦν τοὔνομα. —Στ. 6, Ἁλικαρνασσός.] Ἣς τὴν χώραν κατέχει νῦν τὸ καλούμενον

Βοδρούμ.—Στ. 8, Θιαμάτων ἓν, ἔργον... ὅπερ κ. τ. λ.] ΗΔ, ΑΤ, Θιαμάτων ἔργον, ὅπερ. Ἔςιξα δὲ καὶ μεταξὺ τῶν τελευταίων δύο λέξεων, διὰ τὸ δόξαν μοι κολοβὸν τοῦ χωρίου. Δείπειν γὰρ οἶμαι τοῦ τεχνίτου τοὔνομα, οὗπερ ἦν ἔργον ὁ Μαύσωλος, ἴσως τοῦ Σκόπα· καίπερ οὐ μόνος ἦν Σκόπας ὁ ποιήσας, τριῶν ἑτέρων συνεργασαμένων. Ἦσαν δ' οὗτοι, καθά φησι Πλίνιος (XXXVI, 5), Βρύαξις, Τιμόθεος καὶ Λεωχάρης.—Στ. 10, Πιόντας.] Ἰσ.γρ. Πίνοντας.—Στ. 14, Ἀρκόννησος.] Τῷ Κορονάτας ὀνόματι σημαίνουσι νῦν οἱ πίνακες τὴν νησίδα ταύτην.—Στ. 18, Διονύσιος ὁ συγγραφεύς.] Ὁ Ἁλικαρνασσεύς δηλονότι.

ΣΕΛΙΔ. 38, στ. 14, Ἄκρας (διττὴ δ' ἦν), ἐκείνη πολιορκεῖν κ. τ. λ.] ΗΔ, ΑΤ, Ἄκρας (διττὴ δ' ἦν ἐκείνη) πολιορκεῖν. Ἰδ. τὰς Γαλλικ. σημ. tom. IV, pag. 335, not. 1, καὶ τὴν ἐπανόρθωσιν αὐτῶν tom. V, pag. 148.—Στ. 17, Τερμέριον.] Ἡ νῦν Πετέρα καλουμένη ἄκρα.

ΣΕΛΙΔ. 39, στ. 2, Πρὸς δὲ τῷ Λακητῆρι χωρίον.] ΗΔ, ΑΤ, Πρὸς δὲ τῷ Λακητηρίῳ χωρίῳ.—Στ. 3, Δρέκανον.] Διαλέκτῳ μόνῃ διαφέρει τοῦ Δρέπανον, ὥσπερ ἐν τοῖς πρόσθεν (σελ. 289) ἐσημειωσάμην.—Στ. 17, Τοῦ περιπατητικοῦ.] Ἀρίζωνος ὀνομαζομένου καὶ τούτου, ἐκ τῆς Νήσου Κίου, τῆς ἔπειτα Κίας, νῦν δὲ Τσίας.—Στ. 21, Μύνδος.] Ἡ νῦν Μύνδες.—Στ. 22, Βαργύλια.] Βαρέλλια νῦν, κατὰ τὸν Μελέτιον· κατὰ δὲ τὸν Δαμβέλλην Βαργίλι (Barghili).—Στ. 23, Καρύανδα.] Κατὰ τὸν Δαμβέλλην, Καρακοϊὸν (Karacoion)· εἴη δ' ἂν τοῦτο Τουρκιστὶ Καρακογιοὺν, τουτέστι Μαυροπρόβατον.—Ὁμώνυμος· ταύτην ὄχουν.] ΗΔ, ΑΤ, Ὁμώνυμος ταύτῃ, ἣν ὄχουν. Ἐπεὶ γὰρ εἰς τὴν χώραν τοῦ Λίμνη τὸ προηγούμενον Λειμὴν ὁ Γερμανὸς ἐξ ΕΔ ἔθηκε, δῆλον, ὅτι οὐκ ἔτι εἶχε συναρτᾶσθαι πρὸς τὸ Ταύτῃ. Ἐχρῆν οὖν γράφειν Ταύτην, πρὸς τὸ, Νῆσος.—Στ. 26, Περιύεσθαι.] Τουτέστιν, ὄντος τοῦ θεοῦ, τὸ ὕδωρ μὴ ἅπτεσθαι τοῦ ἱεροῦ, ἀλλὰ περὶ αὐτὸ διαχεῖσθαι. Ἐπιστεύετο δὲ τοῦτο ὑπὸ τῶν ἀνοήτων, καθάπερ ἰσόρρηκε καὶ Πολύβιος (ις', 12), « Τὸ τῆς Κνιδιάδος Ἀρτέμιδος » ἄγαλμα, καίπερ ὂν ὑπαίθριον, οὔτε νίφεται τὸ παράπαν, οὔτε βρέ» χεται· παρὰ δὲ τοῖς Ἰασεῦσι, τὸ τῆς Ἐσιάδος » προσθεὶς ὁ νεωνιέσατος συγγραφεύς, ὅτι τὸ τὰ τοιαῦτα πιστεύειν « ἀπλημμελείας » ἐσὶ ψυχῆς » ὅπερ οὕτωσί μοι ἔδοξε παραφράσαι, ἐν ταῖς Γαλλικαῖς σημειώσεσι, Pour croire à de pareils miracles, il faut avoir l'esprit endurci à la bêtise.

ΣΕΛΙΔ. 40, στ. 3, Ἰασός.] Ὁ νῦν Ἅγιος Πέτρος. Οἱ δὲ Τοῦρκοι *Assem-Kalessi* τουτέστι, Τεῖχος Ἀσὲμ (ὅπερ ἴσως παρέφθαρται ἀπὸ τῆς Ἰασοῦ, Ἰασὲμ Καλεσὶ) ὀνομάζουσιν αὐτήν. — Στ. 3, Προσκειμένη.] ΗΔ, ΑΤ, (ὀνομαστικῆς), Προσκειμένη. — Στ. 5, Διηγήματα.] Ἴσως καὶ ἐνθάδε γραπτέον Διηγημάτια ὑποκοριστικῶς, καθάπερ ἀνωτέρω (σελ. 30) ἔγραψα ἐκ ΔΓ, ὥσπερ καὶ ὁ Γερμανὸς ἐκδότης. Εἶεν δ' ἂν τὰ διηγημάτια ἐφ' ἧς σημασίας χρῶνται νῦν οἱ Γάλλοι τῷ Anecdotes. — Στ. 11, Ἅμα τῷ τοῦ Κώδωνος.] Ἐκ ΔΓ, ΑΤ, Ἅμα τῷ κώδωνος. — Στ. 16, Διὰ τὴν ἀδοξίαν.] Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει. — Στ. 19, Μύλασα.] Σώζει τοὔνομα κατά τινας. Ὁ δὲ Μελίτιος Μεσαὶ καλεῖ αὐτά, ἕτεροι δὲ, Μέλασο. — Στρατονίκεια.] Ἐσκισὲρ (ὅ ἐστι Παλαιάπολις) ὑπὸ τῶν Τούρκων. — Στ. 20, Ἀλάβανδα.] Ἐβλεβάνδα νῦν, κατὰ τὸν Μελέτιον. Ἐκ δὲ ταύτης, ἅτε βαρβάρως λαλούντων τὴν Ἑλλάδα φωνὴν τῶν κατοίκων, καὶ τὸν Ἀλαβανδιακὸν σολοικισμὸν ἔπλασαν οἱ γραμματικοί· ἦν δ' οὗτος, καθά φησιν ὁ Βυζάντιος Στέφανος, τὸ χρῆσθαι τῷ ἀπαγορευτικῷ Μὴ, ἔνθα χρεία ἐστὶ τῆς ἀρνήσεως, Οὔ· καὶ Ἀλαβανδιακὸν δὲ σύγγραμμα ἐλέγετο τὸ πλεονάζον βαρβαρισμοῖς τε καὶ σολοικισμοῖς. Βαρβαροφώνους δὲ καὶ Ὅμηρος εἴρηκε (Ἰλιάδ. β', 867) τοὺς Κᾶρας. — Στ. 21, Λμυζών.] Μυζὼ νῦν, κατὰ τὸν Μελέτιον. — Χαλκήτωρ.] Ἀποκτέτηκα τὴν προτέρην γραφὴν, συνάδουσαν ἅπασι τοῖς ἀντιγράφοις, ΑΤ, Χαλκήτορα· ὅπερ ὁ Γερμανὸς ἐκδότης πληθυντικὸν οὐδέτερον (Τὰ Χαλκήτορα) δῆλός ἐστιν ἐκδεξάμενος, διὰ τὸ ἐν τοῖς πρόσθεν (σελ. 6) Χαλκητόρων. Ἀλλ' ἐκεῖνο γενικὴ ἐστι τοῦ ἀρσενικοῦ (Οἱ Χαλκήτορες), τῆς αὐτῆς πόλεως ὀνόματος, ὅπερ ἐνθάδε ἐνικῶς ὠνόμασαι Χαλκήτωρ. Ἔστι δὲ νῦν τὸ χωρίον Ταρισμανλὰ ὑπὸ τῶν Τούρκων καλούμενον, ὡς εἰκάζουσί τινες (Ἴδ. Chandler, *Voyag.* etc. *tom.* 2, *pag.* 248, *not.* 27).

ΣΕΛΙΔ. 41, στ. 8, Ἆρ' οὐδ' ἠσχύνετο;] ΗΔ (ἐρωτηματικῶς), ΑΤ, Ἆρ' οὐδ' ἠσχύνετο. — Στ. 20, Περὶ τὸν Ἑκάτομνον.] ΗΔ, ΑΤ, Περὶ τῷ Ἑκατόμνῳ. — Στ. 21, Φύσκον.] Σώζει καὶ νῦν τοὔνομα κατὰ τὸν Δαμβίλλην· ὁ δὲ Σοφιανὸς Φιέσκο αὐτὸν ὀνομάζει. Ὁ δὲ λιμὴν Port de Marmara, ὅ ἐστι λιμὴν Μαρμάρων, καλεῖται, πιθανῶς ἀπὸ τοῦ κατὰ Μύλασα λατομείου, ὅθεν εἰς Φύσκον κατήγοντο ἐπ' ἐξαγωγὴ οἱ λίθοι. — Στ. 22, Αὐτῆς.] Ἐκ ΔΓ, ΑΤ, Αὐτοῖς.

ἡ γὰρ γενικὴ ἀναφέρεται πρὸς τὸ μικρὸν ἀνωτέρω Κώμη, ἥ ἐστιν αὐτὰ τὰ Μύλασα.

ΣΕΛΙΔ. 42, στ. 3, Καὶ Διοτρέφους.] Τὸν μὲν σύνδεσμον προσέθηκα ἐκ ΔΓ, ἀνεβίβασα δὲ καὶ τὸν τόνον τοῦ ὀνόματος (ΑΤ, Διοτρεφοῦς), ἵν' εἴη κύριον, καὶ οὐκ ἐπίθετον.—Στ. 10, Τῷ παρακολουθοῦντι χρησίμῳ.] ΗΔ, ΑΤ, Τῷ παρακολουθεῖν τὸ χρήσιμον.—Στ. 12, Οὔτε γὰρ μετὰ σοῦ δυνάμεθα ζῆν, οὔτ' ἄνευ σοῦ.] Παρῴδηταί πως ἐκ τοῦ Ἀριστοφάνους (Λυσιστρ. 1039),

Οὔτε σὺν πανωλέθροισιν, οὔτ' ἄνευ πανωλέθρων.

ΣΕΛΙΔ. 43, στ. 7, Χρυσαόριον.] ΗΔ, ΑΤ, Χρυσαορσον. ΔΓ, Χρυσαορέων.—Στ. 9, Κεραμῖται.] Ἐκ ΔΓ, ΑΤ, Κεραμιεῖται.—Στ. 19 καὶ 22, Κατεστραμμένου... κατεστραμμένον.] Ἐκ ΔΓ, ΑΤ, Κατεστρωμένου... κατεστρωμένον.

ΣΕΛΙΔ. 44, στ. 11, Ἅπαντα γὰρ λέγεται.] Ἐκ ΔΓ, ΑΤ, Ἅπαντα μὲν γὰρ λέγεται. Ἑτέρα ΔΓ (κατά γε τὸν Γερμανὸν ἐκδότην), Ἅπαντα μὲν λέγεται. Τὴν δ' οὖν γνησίαν γραφὴν οἶμαι πάλαι γεγονέναι, Ἃ πάντα λέγεται.—Στ. 13, Καριοεργίος ὀχάνοιο.] Ἐκ τοῦ Εὐσταθίου (σελ. 707), ΑΤ, Καρικοῦ εὐεργίος ὀχάνου. Ἀλλαχοῦ δὲ (σελ. 367) ὁ αὐτὸς Εὐστάθιος φέρει, Καριοεργίος ὀχάνου.—Στ. 14, Τιθέμενοι.] Ἐκ ΔΓ, ΑΤ, Τιθέμεναι.—Στ. 18, Νάσης.] Ἐκ τῆς Ἰλιάδος (β', 867), ἔγραψα οὕτως, ΑΤ, Μάσθλης.—Στ. 25, Ἀνδρός.] Ἐκ τῆς Ὀδυσσείας, ά, 344.—Στ. 27, Εἶτ' ἐθέλεις.] Ἐκ τῆς αὐτῆς, ὁ, 80.

ΣΕΛΙΔ. 45, στ. 11, Τρῶες.] Ἐκ τῆς Ἰλιάδος, λ', 285.—Στ. 13, Οἷοι.] Ἐκ τῆς αὐτῆς, ε, 222.—Στ. 16, Τό γε βάρβαρον.] Ἐκ ΔΓ ἡ προσθήκη τοῦ συνδέσμου.—Στ. 21, Ὁμογενὲς· ἤδη καὶ πλεονάζουσιν ἐνταῦθα.] ΗΔ, ΑΤ, Ὁμογενὲς ἤδη· καὶ πλεονάζουσι μὲν ἐνταῦθα. Τὸ δὲ Ἐνταῦθα σημαίνει, ἐν ταύταις ταῖς φωναῖς, καθ' ἃς μάλιστα πλεονάζουσιν αἱ ὀνοματοποιΐαι· τὰ γὰρ ἑπόμενα, Κελαρύζειν, Κλαγγὴ κ. τ. λ. φωνῶν εἰσι προφοραὶ μιμητικαί.—Στ. 22, Καὶ κλαγγή.] Ἐκ ΔΓ, ΑΤ, Καὶ κλαγγὴ δέ.

ΣΕΛΙΔ. 46, στ. 7, Οὔτ' ἐπιπλεκομένων πω.] ΗΔ, ΑΤ, Οὐκ ἐπιπλεκομένων πως.—Στ. 8, Οὔτ' ἐπιχειρούντων.] Ἐκ ΔΓ, ΑΤ, Οὐδ' ἐπιχειρούντων.—Στ. 26, Λαγίνων.] Ὧν τὰ ἐρείπια δείκνυσθαί φασιν ἐν κωμυδρίῳ καλουμένῳ China, ὃ ἐστι Χίνα, ἡμαρ-

τημένον, ὡς ἔοικε, κατὰ τὸ πρῶτον στοιχεῖον, ἀντὶ τοῦ Γίνα, ἅπερ ἐστὶν αὐτὰ ταῦτα κεκολοβωμένα τὰ Λάγινα.

ΣΕΛΙΔ. 47, στ. 10, Κατ' αὐτὸν... ἦ.] ΗΔ (καὶ ἡ τροπὴ τοῦ γένους τῆς ἀντωνυμίας, καὶ ἡ τοῦ κενοῦ διαζήματος ὑπόνοια), ΑΤ, Κατὰ ταυτὸ, ἦ. ΔΓ, Κατ' αὐτὸ ἦ. Τὸ δὲ ἡμέτερον Κατ' αὐτὸν ἀνάγεται εἰς τὸν Ἀρτεμίδωρον.—Στ. 12, Καὶ ταύτην ἔπεισιν.] ΗΔ, ΑΤ, Καὶ ταύτῃ (κακῶς ἐν τῇ τοῦ Γερμανοῦ ἐκδόσει Καὶ ταὐτὴ) μὲν ἔπεστιν. Προσυπάκουε δὲ πάλιν τὸν Ἀρτεμίδωρον τῷ Ἔπεισιν, τουτέστιν, ἐπέρχεται περιοδεύει, γεωγραφεῖ.—Στ. 14, Καὶ τεττεράκοντα.] Ἐκ ΔΓ προσεῖληφα τὸν σύνδεσμον.—Στ. 16, Χελιδονίων (γρ. Χελιδονιῶν).] Κελαινῶν γράφειν δεῖν τινὲς εἴκασαν.—Στ. 26, Τομισῶν.] ΗΔ (γεν. πληθ. Ἑλλην. ὀνόματος τοῦ ἐν τοῖς πρόσθεν, Μερ. Β, σελ. 368), ΑΤ, Τομισοῦ.

ΣΕΛΙΔ. 48, στ. 3, Τόμισαν.] ΗΔ, ΑΤ, Τόμισα.—Στ. 6, Ἥλιον.] Ἐκ ΔΓ, ΑΤ, Τὸν ἥλιον.—Στ. 12, Τὴν νῦν Πομπηϊούπολιν.] ΗΔ, ΑΤ, Τῇ νῦν Πομπηϊουπόλει. Ἡ γὰρ αἰτιατικὴ φέρεται πρὸς τὸ Σάλους, ὄνομα πόλεως, ἢ μετωνομάσθη, Πομπηϊούπολις.—Στ. 21, Σταδίων χιλίων.] ΗΔ, ΑΤ, Σταδίων μὲν χιλίων. ΔΓ, Σταδίων μὲν οὖν χιλίων, καὶ γνησιωτέρα ἑτέρα, Σταδίων μὲν ὧν χιλίων.—Στ. 22, Τραχὺς μὲν καί.] ΗΔ, ΑΤ, Τραχὺς δὲ καί. Ἄμεινον δὲ κατὰ χώραν ἐᾶν τὸν Δὲ σύνδεσμον, γράφοντας ἀνωτέρω, Σταδίων μὲν ὧν χιλίων.

ΣΕΛΙΔ. 49, στ. 4, Σίδη.] Καυδελόρο νῦν, ἡ Καυδελάρα λέγεται ἡ Σίδη.—Στ. 17, Ξάνθον.] Ekshénidé κατὰ τὸν Δαμβίλλην· ὅπερ ἐν τῷ τοῦ Ζακυνθίου Κεφαλᾷ πίνακι γράφεται Ἐσενίδε. Ὁ δὲ Μελέτιος Ξάντο, καὶ Σίρδε αὐτὴν καλεῖσθαι λέγει.—Πάταρα.] Μικρᾷ νῦν παραλλαγῇ, Πάτερα.—Πίναρα.] Σώζει τοὔνομα, κατὰ τὸν Μελέτιον.—Ὄλυμπον.] Τὸ νῦν καλούμενον Porto Venetico (τουτέστιν Ἐνετικὸν λιμένα) εἶναι εἰκάζει ὁ Γοσσελῖνος.—Μύρα.] Στρούμετα καλεῖσθαι ταύτην νῦν φησὶν ὁ Μελέτιος, καὶ πρὸ αὐτοῦ ὁ Ὀρτέλιος· ἐν δὲ τῷ τοῦ Κεφαλᾶ πίνακι Μοῖρα εὕρηται γεγραμμένον, ἣν οἶμαι τὰ πάλαι Μύρα εἶναι, συνάδοντος καὶ τοῦ Γοσσελίνου.—Στ. 18, Ὑπέρθεσιν.] Ἐξ ΕΔ, ΑΤ, Θέσιν.—Κίβυρα. Ibura γράφει αὐτῆς ὁ Δαμβίλλης τὸ νῦν ὄνομα. Ἔστι δ' ἑτέρα παρὰ τὴν Φρυγιακὴν Κίβυρα (ἧς ἐμνημόνευσεν ἀλλαχοῦ, Μέρ. Β, σελ. 509, ὁ Στράβων), τὴν νῦν καλουμένην Buruz, κατὰ τὸν αὐτὸν Δαμβίλλην. Καὶ σημείωσαι, ὅτι ἑκατέρα ἔσωσεν ἴχνη τῆς παλαιᾶς κλήσεως, ἡ μὲν,

οἷον Ἴβυρα (Iburar), ἡ δὲ; οἷον Βύρα (Buruz) προσαγορευομένη ὑπὸ τῶν Τούρκων.—Στ. 22, Πλὴν εἰ ἐκείνων ἐπιτρεψάντων, ἢ ὑπὲρ αὐτῶν ΕΚΕΙΝΩΝ κ. τ. λ.] Ἐκ ΔΓ προσέθηκα τὴν τελευταίαν ἀντωνυμίαν· ἣν οὔπω ἐγίνωσκον, ὅτε διορθοῦν ἠβουλόμην τὸ χωρίον, ἐν ταῖς Γαλλικαῖς σημειώσεσιν. Ὁ νοῦς, Νῦν δὲ οἱ Λύκιοι οὐκέτι καθ' ἑαυτοὺς βουλεύονται, πλὴν εἰ οἱ Ῥωμαῖοι ἐπιτρέψειαν αὐτοῖς, ἢ εἰ αὐτοῖς ἐκείνοις τοῖς Ῥωμαίοις χρήσιμα εἴη τὰ βουλευόμενα.—Στ. 25, Οὕτω δ' εὐνομουμένοις αὐτοῖς κ. τ. λ.] Ἀξίκ λόγου κέκριται καὶ παρὰ τοῖς νεωτέροις φιλοσόφοις ἡ τῶν Λυκίων εὐνομία· ὁ γοῦν Μοντεσκιεῦος (Montesquieu, *Esprit des lois*, livr. IX, chap. 3), μετὰ τὸ παρακαλεῖν τὴν Λυκίων πολιτείαν τῇ ἐφ' ἑαυτοῦ ἔτι σωζομένῃ Ὁλλανδικῇ πολιτείᾳ, ἐπὶ τέλους φησί, s'il falloit un modèle d'une belle république fédérative, je prendrois la république de Lycie. Ὁ δὲ Ἄγγλος Γίλλιος (Gillie's, *Aristotle's Ethics and Politics*, *tom. II*, pag. 64-66), ταύτῃ χρῆται παραδείγματι τῇ Λυκιακῇ πολιτείᾳ, δεῖξαι βουλόμενος, ὅτι οὐκ ἠγνοεῖτο τοῖς ἀρχαίοις τὸ παρὰ τοῖς νεωτέροις καλούμενον Gouvernement représentatif, Πολίτευμα κοινοβουλευτικὸν, καθ' ὃ δηλονότι ἅπαντες οἱ ὑπὸ τὴν αὐτὴν ἐπικράτειαν τελοῦντες μετέχουσι τῆς πολιτείας, διὰ τῶν ἐξ ἑκάστης πόλεως εἰς κοινὸν συνέδριον πεμπομένων βουλευτῶν. Τοιοῦτον δὲ κοινοβουλευτικὸν πολίτευμά ἐστι τὸ τῆς Ἀγγλίας, τὸ τῶν Ἀμερικανῶν, καὶ νῦν τὸ τῶν Γάλλων. Προσγενήσονται δ' ἔτι πλείω, ἢν Ζεὺς διδῷ, ἵνα διὰ τῆς εὐνομίας ἀπαλλαγήσωνταί ποτε τῶν κατεχόντων αὐτὰς κακῶν αἱ πόλεις.

ΣΕΛΙΔ. 50, στ. 10, Μετὰ δὲ τὰ Δαίδαλα, τὸ τῶν Λυκίων ὄρος, πλησίον.] Ἐκ ΔΓ (συνάδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Μετὰ δ' οὖν τὰ Δαίδαλα ὁ τῶν Λυκίων ὄρος, οὐ πλησίον, καθάπερ ἔγραψεν ὁ Γερμανὸς ἐκδότης ἐξ ΕΔ, τῶν πρὸ αὐτοῦ ἐκδόσεων φερουσῶν, Μετὰ δ' οὖν τὰ Δαίδαλα τὸ τῶν Λυκίων ὄρος, οὐ πλησίον.—Στ. 11, Τελμισσός.] Ἡ νῦν Μάκρη, ἀφ' ἧς καὶ ὁ παρακείμενος κόλπος, Κόλπος τῆς Μάκρης ἰδιωτικῶς καλεῖται.—Στ. 15, Ἀντίκραγος.] Γοράντε, κατὰ τὸν Μελίτιον· ὁ δὲ Πατρίκιος καὶ τοῦτο τὸ ὄρος καὶ τὸν Κράγον, τῷ αὐτῷ ὀνόματι Gorante καλεῖ.—Ὑφ' ᾧ.] Ἐξ ΕΔ, ΑΤ, Ἐφ' ᾧ.—Καρμυλησσός.] Hibissi (Ἴβισιν) γράφει ταύτην ὁ Δαμβίλλης.—Στ. 16, Ἐν φάραγγι ὠκημένον.] ΗΔ, ΑΤ, Ἐν φαραγγίῳ κείμενον.—Στ. 22, Ὁμώνυμος τῷ Τρωϊκῷ.] Τῷ ὑφ' Ὁμήρου (Ἰλιαδ. β', 827) ἄρχοντι καλουμένῳ

τῶν οἰκούντων τὴν Ζέλειαν Λυκίων, ὡς ἐν τοῖς πρόσθεν (Μέρ. Β, σελ. 443) εἴρηκε Στράβων.—Στ. 23, Πανδαρίου.] Ἄλλος οὗτος Πάνδαρος, ὁ τῆς Ἀηδόνος πατὴρ λεγόμενος (Ὀδυσσ. τ', 518) ὑπὸ τοῦ Ποιητοῦ.

ΣΕΛΙΔ. 51, στ. 2, Σταδίους.] ΠΔ, ΑΤ, Σταδίοις.—Στ. 5, Ἱερὸν Ἀπόλλωνος.] Ἐξ ΕΔ, ΑΤ, Ἱερὰ πολλά.—Στ. 13, Κισθήνη.] Κασ.λλόριζο, ὑπὸ τῶν ἡμετέρων· ὑπὸ δὲ τῶν ἀλλογενῶν Castelrosso. Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 16, Χελιδόνιαι.] Ἐξ ὧν, καὶ αὐτῆς τῆς ἱερᾶς ἄκρας τὸ νῦν ὄνομα, Cap-Chelidoni.

ΣΕΛΙΔ. 52, στ. 3, Ὀλβίαν.] Τὴν νῦν Ἀττάλειαν, ἀντιλαβοῦται τὴν κλῆσιν τῆς ἀρχαίας Ἀτταλείας, ἧς τὰ ἐρείπια δείκνυται ἐν τῇ πλησίον κειμένῃ καὶ καλουμένῃ Παλαιᾷ Ἀτταλείᾳ.—Στ. 5, Κράμβουσα.] Ἡ νῦν μεταθέσει τῶν στοιχείων λεγομένη Καμβρούσα. Ὁ δὲ Μελέτιος Γραμβουσίαν αὐτὴν καλεῖ.—Στ. 7, Φασηλίς.] Ἡ νῦν Φεόνδα.—Στ. 11, Τὰ ζενά.] Ἔξι νῦν τόπος καλούμενος ὑπὸ τῶν ἐγχωρίων Estenaz, οὗπερ εἰκότως ὑπολαμβάνει ὁ Δαμβῦλης τοὔνομα ἀπὸ τῶν Στενῶν παρεφθάρθαι.

ΣΕΛΙΔ. 53, στ. 3, Μαχήσατο.] Ἐκ τῆς Ἰλιάδος, ζ', 184, ΑΤ, Μαχέσσατο.—Στ. 14, Ἀττάλεια.] Ἡ νῦν Παλαιὰ Ἀττάλεια, καθάπερ ἐσημειώθη μικρὸν ἀνωτέρω.—Στ. 18, Αυρνησσόν.] Τὴν νῦν Ἐρνατίαν, ἀπὸ τῆς Λερυντείας παραφθαρέντος τοῦ ὀνόματος, ἣν ὁ Βυζάντιος Στέφανος πόλιν Παμφυλίας καλεῖ, καὶ τὴν αὐτὴν εἶναι τῇ Λυρνησσῷ οὐκ ἀπεικότως ἂν τις ὑπονοήσειε.—Στ. 21, Κίτρος.] Σώζει τοὔνομα, κατὰ τὸν Πατρίκιον.—Στ. 22, Πέργη.] Τὴν Τουρκιστὶ Καραῖσὰρ (ὅπερ δύναται Μελάμπολις) καλουμένην οἴεται εἶναι ὁ Δαμβῦλης, κειμένην πλησίον τοῦ καλουμένου Τεκέ. Τὴν αὐτὴν δ' οἶμαι τῇ γραφομένῃ ἐν τῷ πίνακι τοῦ Κιφαλᾶ, Καρατεκές. Ὁ μέντοι Σοφιανὸς Πίργε αὐτὴν ὀνομάζεσθαι λέγει.

ΣΕΛΙΔ. 54, στ. 2, Ὑψηλὴ... τοῖς ἐκ Πέργης ΕΠΟΠΤΟΣ.] Ἐκ ΔΓ, ΑΤ, Ὑψηλὴ, ὡς τοῖς ἐκ Πέργης ἐποπτος. Κενὸν δὲ κατέλιπον διάστημα, τῆς πόλεως ταύτης τοὔνομα ἐξερρυηκέναι τοῦ χωρίου ὑπονοήσας, καθὰ διὰ μακρῶν ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει. Γραπτέον δ' οἶμαι καὶ ΑΠΟΠΤΟΣ.—Στ. 3, Καπρία.] Ἴσως ἡ νῦν *Caprisouī* (ὃ ἐστι Καπρίας ὕδωρ) καλουμένη Τουρκιστί.—Εὐρυμέδων.] Οἱ μὲν, Ζακούτ, οἱ δὲ, Ἰερκού, ἄλλοι, Μενουγατσούϊ (ὃ ἐστιν Ὕδωρ τοῦ Μενουγάτ), καλεῖσθαί φασιν αὐτόν.—Στ. 4,

Ἀσπενδος.] Ἡ νῦν Μενουγάτ.—Στ. 24, Οἰκουμένης.] ΗΔ, ΑΤ, Οἰκούμενος.

ΣΕΛΙΔ. 55, στ. 2, Ἡ αὐτὴ καί.] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον.—Στ. 3, Πεδιὰς δ' ἡ ἀπό.] Ἐκ ΔΓ, ΑΤ, Πεδιὰς δὲ δὴ ἀπό.—Στ. 25, Γενίσθαι.] Γραπτέον, οἶμαι, Λέγεσθαι.

ΣΕΛΙΔ. 56, στ. 1, Ἀθρόως, αὐτοὶ καί.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου ἡ ςίξις, ΑΤ, Ἀθρόως αὐτοὶ, καί· πρὸς γὰρ τὰς ἔξῆς μετοχὰς φέρεται ἡ ἀντωνυμία.—Στ. 2, Σωματεμποροῦντες.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, συνάδουσαν καὶ τοῖς ἀντιγράφοις, ΑΤ, Σώματ' ἐμποροῦντες.—Στ. 5, Σωματεμπορεῖν.] Ἐκ ΔΓ, ΑΤ, Σώματ' ἐμπορεῖν.

ΣΕΛΙΔ. 57, στ. 1, Σελινοῦς ποταμός.] Καὶ πόλις ὁμώνυμος, Σελίντε νῦν καλουμένη.—Στ. 2, Χαραδροῦς.] Τὸ νῦν Χάραδρο.—Στ. 4, Πλατανιςός.] Ἱσ.γρ. Πλατανιςοῦς.—Στ. 5, Ἀνεμούριον.] Τὸ νῦν Ἀνεμοῦρι.—Στ. 6, Κρομμύου ἄκραν.] Κορμακίτις νῦν ἡ ἄκρα τῆς Κύπρου αὕτη λέγεται, κατὰ ςοιχείων, τῶν μὲν τροπὴν, τῶν δὲ μετάθεσιν.—Στ. 9, Σόλων.] Παλαίσολοι νῦν, κατὰ τὸν Μελέτιον, οἱ Σόλοι.—Στ. 10, Νάγιδος.] Νιγίδια κατὰ τὸν Λεϋγκλαύϊον (παρὰ τῷ Ὀρτελ.), κατ' ἄλλους δὲ, Νίγδη.—Στ. 11, Ἀρσινόη.] Δραγάντι, κατά τινας, φησὶν ὁ Μελέτιος.—Στ. 12, Κελένδιρις.] Ἡ νῦν Κελνάρ.—Στ. 23, Ζεφύριον.] Ἴσως ἡ νῦν ὀνομαζομένη Ζάφρα ἄκρα. Ἰδ. κατωτέρ. σελ. 60.—Στ. 24, Σελεύκειαν.] Σώζει τοὔνομα ὑποτουρκισθὲν, Σελευκέ.

ΣΕΛΙΔ. 58, στ. 16, Καλύκαδνον.] Kelikdni γράφει τὸν ποταμὸν τοῦτον ὁ Δαμβόλλης.—Στ. 19, Κώρυκος.] Ἡ νῦν Κοῦρχο, ἢ Κοῦρκο..—Στ. 21, Πετρώδη πανταχόθεν, ἱκανῶς ὑψηλήν.] Ἤλλαξα τὴν ςίξιν, ΑΤ, Πετρώδη, πανταχόθεν ἱκανῶς ὑψηλήν. Παραπλήσιον τούτῳ ἐςί τι ἕτερον ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 327) χωρίον.

ΣΕΛΙΔ. 59, στ. 3, Τραχειῶτιν.] Ἐκ ΔΓ, ΑΤ, Τραχειῶτιν.—Στ. 7, Ὑποκειμένων.] Ἐξ ΕΔ, ΑΤ, Ὑπερκειμένων.—Στ. 13, Μήτ' ἀεί.] ΗΔ, ΑΤ, Μηδ' ἀεί.—Στ. 15, Λάμος κ. τ. λ.] Λαμοῦτσο νῦν καὶ ἡ κώμη καὶ ὁ ποταμός.

ΣΕΛΙΔ. 60, στ. 8, Ζεφύριον.] Ὁμώνυμον μὲν λέγει τῷ πρὸς Καλυκάδνῳ Ζεφυρίῳ, οὗ ἐμνημόνευσεν ἀνωτέρω (σελ. 57)· ἐν ἀσαφεῖ δ' ἐᾷ, εἰ καὶ ἄκρα ἐςὶν, ὥσπερ ἐκεῖνο. Εἰ γάρ ἐςιν ἄκρα, τοῦτ' ἂν εἴη μᾶλλον, ἢ ἐκεῖνο, ἡ νῦν ἄκρα Ζάφρα.—Στ. 15, ΠΑΪΖΕ.] Ἐπὶ ὁμιλίας ἐνθάδε

τῆς πρὸς τὰς γυναῖκας ἐκδικτείου τὸ Παῖζε· ἐφ' ἧς σημασίας ἐξέλαβόν τινες τῶν κριτικῶν τὸ παρὰ τῷ Ἀριστοφάνει (Ὄρν. 660),

——— Ἵνα παίσωμεν μετ' ἐκείνης.

Περὶ δὲ τῆς ὅλης ἐπιγραφῆς, καὶ οὗπερ αὐτῆς ἀπεχώρισα μέρους, ἔπειθε τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 17, Τούτου.] Ἐκ ΔΓ, ΑΤ, Τούτων.

ΣΕΛΙΔ. 61, στ. 1, Κύινδα.] Θηλυκῶς ὁ Σουΐδας (λέξ. Ἀνάζαρβος) Κύϊνδαν ὀνομάζει, καὶ τὴν αὐτὴν εἶναι λέγει τῇ ὕστερον κληθείσῃ Ἀναζάρβῳ, τῇ Διοσκορίδου πατρίδι καὶ Ἀσκληπιάδου. Σώζει τοὔνομα (Anzarba), κατὰ τὸν Δαμβίλλην· ἕτεροι δὲ Ἀκσεράϊ Τουρκιστὶ καλοῦσιν αὐτὴν, ὅ ἐστι Λευκὸν παλάτιον, ἢ Λευκὴ αὐλή.—Στ. 9, Ἱερασαμένων.] Ἐκ ΔΓ, ΑΤ, Ἱερευσαμένων.—Στ. 10, Εἰς τὸν οἶκον ΤΟΥΤΩΝ.] ΗΔ, ΑΤ, ΤΟΥΤΟΝ.—Στ. 16, Κύδνου.] Τοῦ καλουμένου νῦν Καρασουΐ, ὅ ἐστι Μέλαν ὕδωρ.

ΣΕΛΙΔ. 62, στ. 9, Παρακλιπτόντων.] Ἐκ ΔΓ, ΑΤ, Παρακρυπτόντων· ὁ δὲ Γερμανὸς ἐκδότης, παραχθεὶς ὑπὸ τοῦ ἀρχαίου μεταφραστοῦ, ἔγραψε διηρημένως, Παρὰ κλεπτόντων.—Στ. 10, Γραμμὴν μέχρι.] ΗΔ, ΑΤ, Γραμμὴν, ἣν μέχρι.—Στ. 12, Οὐδὲν παρὰ τοῦτο ποιούμενοι.] Οὐδὲν φροντίζοντες ἐνθάδε γε τῆς ἀκριβείας. Ἐχρήσατο καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 342) τῇ φράσει.—Στ. 14, Ταρσός.] Σώζει τοὔνομα.—Στ. 16, Τῶν νέων. Ἅτε ΔΕ τῆς... ἐκπίπτοντος, ψυχρόν τε κ. τ. λ.] ΗΔ ἥ τε γραφὴ καὶ ἡ ςίξις, ΑΤ, Τῶν νέων· ἅτε ΔΗ τῆς... ἐκπίπτοντος. Ψυχρόν τε.—Στ. 20, Ῥοϊζομένοις.] Ἐκ ΔΓ, ΑΤ, Ποδαγριζομένοις.—Στ. 25, Λογίων.] ΗΔ, ΑΤ, Λόγων.

ΣΕΛΙΔ. 63, στ. 11, Καὶ τἆλλα Δ' εὐανδρεῖ.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Καὶ τἆλλα Τ' εὐανδρεῖ.—Στ. 12, Λόγου.] Ἱσ.γρ. τόπον.—Στ. 24, Ἀπαυτοσχεδιάζειν.] Εἰ μὴ κακῶς διώρθωκα, ΑΤ, Ἀπαύτως σχεδιάζειν, καταχωριζέσθω ἡ λέξις, Ἀπαυτοσχεδιάζειν (Γαλλ. improviser) ἐν τοῖς Λεξικοῖς.

ΣΕΛΙΔ. 64, στ. 10, Συρασιώτας.] Ἐκ ΔΓ, ΑΤ, Συρατιώτας.—Στ. 14 καὶ 16, Πορδαὶ δὲ γερόντων... βρονταὶ δὲ γερόντων.] Παρώδηται ἑκάτερον ἐκ τοῦ, Εὐχαὶ δὲ γερόντων.—Στ. 28, Οὕς κεν ἐῢ γνοίην.] Ἐκ τῆς Ἰλιάδος, γ', 235.—Στ. 29, Τῶν περιπολιζόντων.] Τῶν τὰς πόλεις περιερχομένων· οἷοι ἦσαν οἱ σοφισταί, καὶ τῶν ἰατρῶν οὐκ ὀλίγοι, οὐδὲν ἧττον ἀναιδεῖς τῶν σοφιστῶν· οὓς

Ἱπποκράτης

Ἱπποκράτης (Περὶ εὐσχημοσύν. § 1) α Ἐν πόλεσιν ἀνακυκλέοντας λέγει.

ΣΕΛΙΔ. 65, στ. 12, Μαλλός.] Καθάπερ καὶ νῦν καλεῖται.—Στ. 18, Τραγικῶς.] Τουτέστιν ὡς ἔθος ἐστὶ τοῖς τραγικοῖς συγχέειν τὰς χώρας καὶ τὰ ἔθνη.—Στ. 19, Λυκίαν.] Ἐκ ΔΓ, ΑΤ, Κιλικίαν.—Λυδίαν.] ΗΔ, ΑΤ, Λυκίαν.—Φρυγίαν.] Ἐξ ΕΔ, ΑΤ, Καὶ φρυγίαν.—Στ. 26, Εἰς μονομαχίαν.] Κακῶς πλεονάζει ἡ πρόθεσις, καίπερ φερομένη παρ' ἅπασι.

ΣΕΛΙΔ. 66, στ. 1, Οὗ φασι γενέσθαι μαθητὴν Παναίτιον.] Ἀποκατέχησα τὴν τῶν προτέρων ἐκδόσεων γραφήν, ΑΤ, Οὗ φησι γενέσθαι μαθητὴς Παναίτιος.—Στ. 11, Αἰγαῖαι.] *Aïas* γράφει ταύτην ὁ Δαμβίλλης, Ἰταλιστὶ Ajazzo· ἕτεροι δὲ τῇ ἴσῃ προσνέμουσι τοῦτο τοὔνομα.—Εἶτ' Ἀμανίδες.] Γραπτέον, οἶμαι, Εἶθ' αἱ Ἀμανίδες, ἐνάρθρως. Ὑπαγορεύει δὲ τὴν ὀρθὴν γραφὴν, ἑτέρα κακὴ γραφὴ τοῦ ἐμοῦ ἀντιγράφου, Εἶθ' Ἀμανίδες.—Στ. 19, Ἔχων.] ΔΓ (ἣν μεταμέλει μοι παρωρακότι), Ἔχον.—Στ. 21, Ἕωσός.] Σώζει καὶ νῦν τοὔνομα.—Στ. 22, Ἀλεξάνδρεια.] Ἡ νῦν Ἀλεξανδρέττα, ὑποκοριστικῷ Ἰταλικῷ τύπῳ.

ΣΕΛΙΔ. 67, στ. 11, Οἱ δ' ἔμπαλιν.] Οἱ δὲ, τὸ ἀνάπαλιν, ἀποφαίνουσιν ἀρχηγέτας τῶν ἐν Τροίᾳ Κιλίκων τοὺς ἔξω τοῦ Ταύρου Κίλικας.—Κἀκεῖ.] Παρὰ τοῖς ἐν Τροίᾳ Κιλιξι.—Στ. 14, Ταῦτα.] ΠΔ (συνάδουσα τοῖς ἀρχαίοις μεταφραστῆς), ΑΤ, Τοιαῦτα.—Στ. 24, Ἀλιζῶνας.] Ἐκ ΔΓ, ΑΤ, Ἀλιζώνους.

ΣΕΛΙΔ. 68, στ. 5, Τῶν μεταξὺ Ἀμισοῦ τε καὶ ΙΣΣΟΥ.] Ἡ διαγραπτέον τὰς ἐξ ταύτας λέξεις, παραλειφθείσας καὶ ὑπὸ τοῦ ἀρχαίου μεταφραστοῦ, ἢ τὴν τελευταίαν τριπτέον εἰς τὸ ΤΑΡΣΟΥ. Ἐπιθὲ τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ μεταφράσει.—Στ. 16, Κωμικῷ.] Τουτέστιν Ἰαμβικῷ.—Στ. 17, Μένοι δ' ἂν ἡ.] Ἐκ ΔΓ, ΑΤ, Μένει δ' ἡ.—Στ. 25, Ποιεῖν.] Ἐκ ΔΓ, ΑΤ, Ποιεῖ.—Στ. 28, Ἑκκαίδεκα γένη, κ. τ. λ.] Σκύμνος δ' ὁ Χῖος Γεωγράφος πεντεκαίδεκα λέγει, τρία μὲν Ἑλληνικὰ, δώδεκα δὲ βάρβαρα.

ΣΕΛΙΔ. 69, στ. 9, Τρώων.] Ἐκ ΔΓ, ΑΤ, Τρωϊκῶν.—Στ. 11, Λυκίων.] ΗΔ, ΑΤ, Κιλίκων.—Μόνας τε ἀντί.] Ἐκ ΔΓ, ΑΤ, Μήονας ἀντί.—Στ. 27, Τελίως.] Ἐκ ΔΓ, ΑΤ, Τελείως.

ΣΕΛΙΔ. 70, στ. 5, Τὸ πρὸς τῷ.] Ἐκ ΔΓ, ΑΤ, Τῆς πρὸς τῷ.—Στ. 6, Θετέον μέρος.] Ἐκ ΔΓ, ΑΤ, Θετέον μέρη.—Στ. 8, Αὐτός.] Ἐκ ΔΓ (πρὸς τὸ Ἀπολλόδωρος), ΑΤ, Αὐτούς.—Στ. 9,

Ἁλιζῶνας.] Ἐκ ΔΓ, ΑΤ, Ἁλιζώνους.—Στ. 17, Οὐδέ θ' ἅλεσσι.] Ἐκ τῆς Ὀδυσσείας, λ', 123, ΑΤ, Οὐδ' ἔθ' ἅλεσσι.—Στ. 18, Τίνα λάθωσι.] Ἐκ ΔΓ, ΑΤ, Τίν' ἂν λάθωσι.—Στ. 21, Οὔτ' ἀποκρύψαι... οὔθ' ὁ μή.] ΗΔ, ΑΤ, Οὐκ ἀποκρυψαι... οὔτε μή.

ΣΕΛΙΔ. 71, στ. 22, Οὐδ' αὐτὴν Δυκαονίαν.] Ἐκ ΔΓ, ΑΤ, Ὡς δ' αὕτως τὴν Δυκαονίαν.

ΣΕΛΙΔ. 72, στ. 1, Τανδρός.] Ἐκ ΔΓ, ΑΤ, Τοῦ ἀνδρός.—Στ. 10, Μέταλλα, ἐκλελειμμένα.] Τὸ μὲν πρῶτον ἐξ ΗΔ, τὸ δὲ τελευταῖον ἐκ ΔΓ, ΑΤ, Μεγάλα, ἐκλελυμένα. Παραπλήσιόν τι εἴρηκε καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 299).—Στ. 21, Ἐκμεταλλευμένα.] Ἐκ ΔΓ, ΑΤ, Ἐκμεταλλευόμενα.—Στ. 22, Τὰ χωρία.] Κακῶς, οἶμαι, πλεονάζει τὸ ἄρθρον.

ΣΕΛΙΔ. 73, στ. 6, Φέρκυς.] Ἐκ τῆς ἰλιάδος, β', 862.—Στ. 12, Οἵ ῥα τότ'.] Ἐκ τῆς αὐτῆς, γ', 187.—Στ. 24, Ἀσκανίῳ... ῥόῳ.] Ἐν δὲ τοῖς πρόσθεν (Μέρ. Β, σελ. 413), ἔνθα πρώτως μνημονεύει τῶν δύο τούτων ποιητῶν, γράφεται, Ἀσκανίων... ῥοῶν.

ΣΕΛΙΔ. 74, στ. 21, Πάφον.] Τὴν ἔτι καὶ νῦν σώζουσαν τοὔνομα.—Ἀκάμαντα.] Οὗτος δ' ἐστὶν ἄκρα ἡ νῦν καλουμένη Ἅγιος Ἐπιφάνιος, ἀπὸ τοῦ ἐν Κωνσταντίᾳ τῇ ἐν Κύπρῳ ἀρχιερατεύσαντος Ἐπιφανίου.

ΣΕΛΙΔ. 75, στ. 3, Κλεῖδες.] Κλειδί, ἐν τῷ τοῦ Κεφαλᾶ πίνακι.—Στ. 15, Δή που.] ΗΔ, ΑΤ, Δέ που.—Στ. 16, Κρομμύου ἄκραν.] Ἡ νῦν Κορμακίτης γράφεται ἐν τῷ τοῦ Κεφαλᾶ πίνακι.—Στ. 18, Ἐν δεξιᾷ.] Τὸ μὲν ἐκ ΔΓ, τὸ δὲ ἐξ ΕΔ, ΑΤ, Δεξιάν.—Στ. 20, Εὐδυπλοίᾳ.] ΗΔ, ΑΤ, Εὐθύπλοια.—Λάπαθος.] Λάπιθος νῦν, καθὰ γράφεται καὶ παρὰ τῷ Πτολεμαίῳ.—Στ. 22, Καθ' ἣν ἡ.] Ἐξ ΕΔ, ΑΤ, Καθ' ἣν ἦν.—Ἀφροδίσιον.] Ἀρτεμισία νῦν, θηλυκῶς (οὐκ οἶδ' ὅθεν τῆς Ἀφροδίτης εἰς τὴν Ἄρτεμιν μεταπλασθείσης).—Στ. 23, Σαλαμῖνα.] Ἧς τὰ ἐρείπια κατέσχεν ἡ πάλαι Κωσταντία, νῦν δὲ, Κωσάντσα καλουμένη.—Στ. 26, Καρπασία.] Καρπὰς ἐν τῷ πίνακι τοῦ Κεφαλᾶ.

ΣΕΛΙΔ. 76, στ. 2, Εἶτ' ἄκρα.] Ἔστιν ἡ παρὰ Πλινίῳ (v, 31) ἄκρα Δινάρετον, Dinaretum, ἡ νῦν ἄκρα τοῦ Ἁγίου Ἀνδρέου καλουμένη, οὗ τὰ πλησίον νησίδια, ἢ σκόπελοι, ἐν τῷ τοῦ Κεφαλᾶ πίνακι, Δενάρες ὀνομάζονται, ὁμώνυμοι δηλονότι τῷ Πλινιανῷ ἀκρωτηρίῳ Δεναρέτῳ, ὅπερ εἰκὸς ταὐτὸν εἶναι τῷ καλουμένῳ Διανεντηρίῳ ἐν τῷ Βίῳ τοῦ ἁγίου Ἐπιφανίου, καθάπερ εἶπασεν ὁ Ὀρτέλιος.

—Στ. 6, Ἀρσινόη.] Ἡ κατὰ τὴν νῦν Φαμαγούσαν Famagouste, (παραπλασθέντος τοῦ ὀνόματος παρὰ τὸ τοῦ Πτολεμαίου, Ἀμμόχωστος, τὸ καὶ μίχρι δεῦρο σωζόμενον ἐν τῷ πίνακι τοῦ Κιφαλᾶ), ἐ αὐτὴ ἡ Φαμαγούστα. — Στ. 7, Λευκόλλα.] Εἴη ἂν τὰ νυν Ἀρμίδια καλούμενα. — Πηδάλιον.] Ἡ νῦν ἄκρα Πίλα. — Στ. 8, Ἧς ὑπέρκειται.] ΗΔ, ΑΤ, Εἰς ἣν ὑπέρκειται. — Στ. 10, Παράπλους ὁ πλείων εἰς Κίτιον.] Ἰσ.γρ. Παράπλους πλέοντι εἰς Κίτιον. ΔΓ. Παράπλους ὁ πλέον εἰς Κίτιον. Τὸ δὲ Κίτιον σώζει καὶ νῦν τοὔνομα. — Στ. 13, Βηρυτόν.] Τὸ νῦν Βεροῦτι. — Ἀμαθοῦς.] Δεμεσσὸς, ἐν τῷ τοῦ Κιφαλᾶ πίνακι, παρὰ δὲ τῷ Ὀρτελίῳ Λιμισσὸ, Limisso. — Στ. 15 καὶ 16, Κουριὰς... Κούριον.] Ἡ μὲν ἐστὶν ἡ καλουμένη νῦν ἄκρα Γάτε· τὸ δὲ Κούριον, ἡ Πισκοπιά. — Στ. 23, Ὅτι.] Ἐκ ΔΓ, ΑΤ, Διότι. — Στ. 27, Ἐν ἀριστερᾷ δέ.] Ἐξ ΕΔ παρειλῆφε τοῦτο ὁ Γερμανὸς ἐκδότης, ΑΤ, Οὔτ' ἐν ἀριστερᾷ. Καὶ τοῦτο μὲν δῆλον ὅτι οὐδένα νοῦν ἔχει· τὸν γὰρ ἀπὸ τῆς Κειλίου εἰς νῆσον τὴν ἀπέναντι κειμένην μὴ ἐπ' εὐθείας διαίροντα (τοῦτο γὰρ βούλεται τὸ Διάρμα δ' οὐδέν) θάτερον ἀνάγκη, ἢ ἐν δεξιᾷ, ἢ ἐν ἀριστερᾷ ἔχειν τὴν νῆσον· οὐδέτερον δέ, ἀδύνατον. Ἔστι μέντοι ἀμφισβητήσιμον, εἰ ὀρθῶς ὁ Στράβων ἐξεδέξατο τὸν νοῦν τοῦ τὸ ἱλαιεῖον ποιήσαντος. Τὸν γὰρ ἀπὸ τῶν περὶ Κώρυκον τόπων τῆς Κιλικίας ἀπαίροντα, εἰ μὲν πρὸς τὸν Ἀκάμαντα τῆς Κύπρου πλέοι, ἰὼς ἐν ἀριστερᾷ ἔχειν τὴν νῆσον, καὶ εὖρῳ μᾶλλον ἢ ζεφύρῳ πλεῖν· εἰ δ' ἐπὶ τὰς Κλείδας καὶ τὸ Δινάριτον εἴη αὐτῷ ὁ πλοῦς, πλέοι ἂν ἐπὶ ποσὸν μὲν ζεφύρῳ, ἐπὶ ποσὸν δὲ καὶ ἐν δεξιᾷ τὴν νῆσον ἔχων. Ὅτι δὲ τοῦτο μᾶλλον ἔλεγεν Ἡδύλος, ἔστι μὲν εἰκάσαι καὶ ἐξ αὐτῆς τῶν ἐλάχων τῆς διανήξεως, ἣν εἰκὸς ἐπὶ τὰ πρωτεχίστερα τῆς νήσου μέρη γεγονέναι, καὶ ἀπὸ τοῦ ὀνόματος τῆς ἄκρας Διανευτηρίου (παρὰ τὸ διανέω), ἣν ἀνωτέρω (σελ. 306) τὴν αὐτὴν ἔφαμεν εἶναι νενομίσθαι τῷ Δεναρέτῳ. Αἱ δὲ Κουριάδες ἄκραι τοῦ ἐλεγεῖου εἶεν ἄν, οὐχ αἱ ἐν τῷ νοτίῳ τῆς Κύπρου μέρει, ἀλλ' ἕτεραι ὁμώνυμοι περὶ τὴν Καρπασίαν πόλιν, ἢ πρόσκεινται νῆσοι αἱ νῦν Κυραὶ καλούμεναι, καὶ αὐτοῦ τοῦ ὀνόματος τὰς Κουριάδας ἐμφαίνουσες. — Στ. 29, Ἄκρα, ἀφ' ἧς ῥίπτουσι κ. τ. λ.] Ἴσως ἡ τῷ Πτολεμαίῳ καλουμένη Φρούριον ἄκρον, ἢ, κατὰ τὸν Ὀρτέλιον, Κάβος ἄσπρος, τουτέστι Λευκὴ ἄκρα, Capo bianco.

ΣΕΔΙΔ. 77, στ. 1, Παλαίπαφος.] Ἡ νῦν Κούκλια ἐν τῷ τοῦ Κιφαλᾶ πίνακι. — Στ. 3, Ζεφυρία.] Οὐδετέρως ὁ Πτολεμαῖος, Ζεφύριον,

τιθεὶς αὐτὸ μεταξὺ Πάφου καὶ Παλαιπάφου· ἔτι δὲ τὸ νῦν καλούμενον Cap de Papho, Ἄκρα Πάφου.—Στ. 4, Ἄλλη Ἀρσινόη.] Ἐτέρα ἧς ἀνωτέρω (σελ. 76) ἐμνημόνευσε.—Στ. 5, Καὶ ἱερὸν ἄλσος.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἱερὸν καὶ ἄλσος.—ἡ Ἱεροκηπίς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ ἡ Ἱεροκηπίς. Ἔτι δ' ἡ αὐτὴ καὶ ἡ μικρὸν κατωτέρω Ἱεροκηπία καλουμένη· καὶ ἔτι σώζειν τοὔνομα· παρὰ γὰρ τῷ Ὀρτελίῳ γράφεται Bourg d'Hiérochipe. Ὁ δὲ Πλίνιος (v, 31) νῆσον λέγει τὴν Ἱεροκηπίαν τῇ Νέᾳ Πάφῳ προσκειμένην.—Στ. 6, Πάφος.] Αὕτη δὲ σώζει τὸ ἀρχαῖον ὄνομα.—Στ. 12, Ἀρσινόην.] Τρίτην ταύτην Ἀρσινόην, ἣ νῦν καλεῖται Poli, κατὰ τὸν Δαμβίλλην. Ἐν δὲ τῷ τοῦ Κεφαλᾶ πίνακι γράφεται Πόλις. Τινὲς δὲ καὶ τετάρτην Ἀρσινόην ἐν Κύπρῳ γεγονέναι λέγουσιν, ὡς φησιν Ὀρτέλιος.—Στ. 13, Σόλοι.] Σολέαν (Solea) νῦν καλεῖσθαί φασι (ἴδε τὰς Γαλλ. σημ.). Σόλοι δ' ἐκλήθησαν, ὡς λέγει Πλούταρχος (Σολ. § κ'), ἀπὸ Σόλωνος τοῦ Ἀθηναίων νομοθέτου, ᾧ χαριζόμενος ὁ τῆς Κύπρου βασιλεὺς, τὴν πρὶν Ἀέπειαν ὀνομαζομένην (ἦν ἐν φαύλοις κειμένην χωρίοις βουλὴ Σόλωνος εἰς ἀστειότερα μετίστησε) Σόλους μετωνόμασε.—Στ. 15, Σόλιοι.] Πρὸς ἀντιδιαστολὴν τῶν ἐν Κιλικίᾳ Σόλων, ὧν οἱ οἰκήτορες Σολεῖς ἐκαλοῦντο.—Στ. 17, Λιμνία.] Λιμνὰτ (Limnat) τὸ νῦν αὐτῆς ὄνομά ἐστι παρὰ τῷ Ὀρτελίῳ. Ἔκειτο δ' οὐ μακρὰν τῆς ἄκρας τῆς νῦν καλουμένης Λιμνίτε ἐν τῷ τοῦ Κεφαλᾶ πίνακι.

ΣΕΛΙΔ. 78, στ. 2, Μέταλλά τε χαλκοῦ ἔχειν ἄφθονα.] Διʼ ὃ καὶ τὸν χαλκὸν Cuprum (τουτέστι Κύπρον) ὠνόμασεν ὁ παρακμάζων λατινισμὸς· ἐξ οὗ καὶ τὸ τῶν Γάλλων Cuivre, καὶ τὸ τῶν Γερμανῶν Kupfer.—Στ. 5, Ταμασῷ.] ΗΔ (συνάδουσα τῇ ἐν τοῖς προσθ. (Μέρ. Α, σελ. 344, γραφῇ), ΑΤ, Ταμασσῷ. Ἡ δὲ πόλις σώζει τοὔνομα, κατὰ τὸν Ὀρτέλιον.—Στ. 4, Χρήσιμα.] Ἐκ ΔΓ, ΑΤ, Χρήσιμος.—Στ. 15, Πολλά.] ΗΔ, ΑΤ, Πολλάκις.

ΒΙΒΛΙΟΝ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 82, στ. 3, Οἱ πολλοῖς.] ΗΔ, ΑΤ, Οἱ πολλοὶ πολλοῖς.

ΣΕΛΙΔ. 83, στ. 4, Στρατιάν.] Ἐκ ΔΓ, ΑΤ, Στρατείαν.—Στ. 20, Ἐκεῖνον δὲ ἐκ.] Ἐκ ΔΓ, ΑΤ, Ἐκεῖνον δὲ καὶ ἐκ.—Στ. 25, Ὕδρακας.] Ὕδρακας τούτους ὀνομάζει ὁ Βυζάντιος Στέφανος, μεταθέσει τῶν στοιχείων· τινὲς μέντοι ἑκατέραν τὴν γραφὴν

δπέλαβον ἡμαρτῆσθαι, τῆς ὀρθῆς οὔσης πάλαι Ὀξυδράκας, περὶ ὧν ἐν τοῖς ἑξῆς (σελ. 85) ὁ Στράβων.

ΣΕΛΙΔ. 84, στ. 6, Λιπὼν δέ.] Ἐξ Εὐριπίδου (Βάκχ. 13-17).— Στ. 13, Ὅθεν κατεῖδον.] Ἐκ Σοφοκλέους δράματος μηκέτι σωζομένου.— Στ. 19, Ὅς ποτε.] Ἐκ τῆς Ἰλιάδ. ζ, 132.

ΣΕΛΙΔ. 85, στ. 16, Ἐνεδείξαντο.] Ἰσ.γρ. Ἀνεδείξαντο, ἢ Ἀνέδειξαν τό.

ΣΕΛΙΔ. 86, στ. 4, Ὡς ἐν τοῖς τοιούτοις.] Γράφι ἀνάρθρως, Ὡς ἐν τοιούτοις, καθάπερ φέρεται ἔν τισι τῶν ἀντιγράφων. — Στ. 6, Ἢ δυνατὸν ἦν... ἐκείνοις τε.] ΗΔ, ΑΤ, Ἦν δυνατὸν ἦν... ἐκείνοις γε.—Στ. 8, Ὅσων... δόξῃ.] Ἐκ ΔΓ, ΑΤ, Ὅσον... δόξοι.—Μάλιςα δ' ἐκ.] ΗΔ ἡ προσθηκη τοῦ συνδέσμου. —Στ. 13, Ἑσπέρᾳ.] ΗΔ, ΑΤ, Ἑσπερίᾳ.—Στ. 19, Ἀπὸ δὲ τῆς.] Ἐκ ΔΓ προσέλαβον τὸν σύνδεσμον.—Στ. 26, Ἐφ' ἑκάτερον.] Ἰσ.γρ. Ἐφ' ἑκάτερα.

ΣΕΛΙΔ. 87, στ. 8, Σχοίνους.] ΗΔ (συνάδουσα τοῖς μεταφραστῆς), ΑΤ, Σχοινίοις. Περὶ δὲ τοῦ μέτρου τοῦ Σχοίνου τῆς διαφορᾶς, ἔπιθι τὰ ἑξῆς (σελ. 255) ῥηθησόμενα τῷ Στράβωνι, προειδὼς ὅπερ ἐν τοῖς πρόσθεν (Μερ. Β, σελ. 359) εἴρηκε.—Στ. 9, Δισμυρίων.] Ἑκάτους, Μυρίων (καθὰ καὶ Γαλλιςὶ ἡρμήνευσα) δεῖν γράφειν φασὶν οἱ κριτικοί.—Στ. 16, Προπίπτον.] ΗΔ, ΑΤ, Προσπίπτον.— Στ. 24, Δι' αὐτοῦ τοῦ πεδίου.] Γραπτέον, οἶμαι, Διὰ τοῦ πεδίου (δίχα τῆς ἀντωνυμίας), ὥσπερ ἡρμήνευσε καὶ ὁ ἀρχαῖος μεταφραστής, per campum.

ΣΕΛΙΔ. 88, στ. 21, Κέγχρος.] Ἐκ ΔΓ, ΑΤ, Κέγχρον.— Ὄρυζα, βόσμορον.] Ἔπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.

ΣΕΛΙΔ. 89, στ. 1, Τοῖς ἄλλοις.] Γραπτέον, οἶμαι, Τοῖς ἄλλοις ἀνθρώποις.—Στ. 8, Εἰδοποιήσουσι.] ΗΔ, ΑΤ, Ἰδιοποιήσουσι.—Στ. 12, Κατισκευασμένας.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Κατεσκευασμένων.—Στ. 19, Διὰ τὸ τήν.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Διὰ τήν.

ΣΕΛΙΔ. 90, στ. 14, Μετὰ ὑσμάς.] Ἐκ ΔΓ, ΑΤ, Μετὰ δὲ ὑσμάς.—Στ. 15, Ἀσπασίων.] Ἐξ ΕΔ, ΑΤ, Ἱππασίων, ὅπερ ὁ Γερμανὸς ἐκδότης ἀπεδέξατο ἐξ ΕΔ, ΑΤ, Ὑπ' Ἀσίων. (Ἰδ. τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.). Ἐγὼ μὲν οὖν εἰκάζω, ὅτι Μακεδόνες τοὺς Ἀσπασίους, εἰς τὴν Ἑλλήνων φωνὴν μεθερμηνεῦσαι βουλόμενοι, Ἱππασίους εἰρήκασι, παρὰ Περσῶν, ἃ καὶ παρ' αὐτῶν

μαθόντες τῶν Ἰνδῶν τὸν νοῦν τοῦ ὀνόματος· Πέρσαι μὲν γὰρ Ἄσπ τὸν ἵππον καλοῦσι, Ἰνδοὶ δὲ (κατὰ τὴν παρ' αὐτοῖς ἀρχαιοτάτην γλῶσσαν, τὴν καλουμένην Σανσκρίτην, ὅ ἐστιν Εὐσύνθετον), Ἀσβά. Προειλόμην μέντοι τὴν διόρθωσιν, διὰ τὸ καὶ τὸν Ἀρριανὸν (Ἀναβάσ. Αλεξάνδρ, δ', 23 καὶ 24) τῶν Ἀσπασίων μνημονεῦσαι. Ἴσως δὲ καὶ Ἀσπίων τρισυλλάβως γραπτέον, καθάπερ ἐφέρετο ἐν ταῖς ἐκδόσεσι ταῖς πρὸ τῆς τελευταίας (1798) τοῦ Ἀρριανοῦ.— Ἀσσακανοῦ] ΗΔ, ΑΤ, Μουσικανοῦ. Κατωτέρω γὰρ (σελ. 99) ὁ Στράβων μετὰ τοὺς ἤδη λεχθέντας Ἀσπασίους, ἢ Ἱππασίους, τὴν τοῦ Ἀσσακανοῦ χώραν τίθησιν· τὴν δὲ τοῦ Μουσικανοῦ πολὺ νοτιωτέραν πρὸς αὐτῇ τῇ Παττάληνῇ φησὶ (σελ. 103) κεῖσθαι.

ΣΕΛΙΔ. 91, στ. 3, Ἀπογαίας.] ΗΔ, ΑΤ, Ἀπὸ γαίας.—Στ. 17, Ὑποβαίνοντος.] Ἐκ ΔΓ, ΑΤ, Ἀποβαίνοντος.—Στ. 18, Ὑπὸ τοῦ τυχόντος ὀρύκτου] ΗΔ, ΑΤ, Ἀπὸ τοῦ κ. τ. λ. Ὁ δ' ὀρύκτης ἐσημειώθη καὶ ἐν τοῖς πρόσθεν (σελ. 120).—Στ. 26, Καὶ φυτείας μὴ δεῖσθαι.] Δι' ἣν αἰτίαν προσθετέον εἶναι τὴν ἀπαγόρευσιν, ἐσημειωσάμην ἐν τῇ Γαλλικῇ μεταφράσει, καίπερ καταφατικῶς ἐκεῖ ἑρμηνεύσας τὴν φράσιν· ὅπερ ἴσως ἄμεινον. Ἔπιθι τὰ περὶ τῆς φυτείας καὶ τῆς λοιπῆς ἐργασίας τῆς ὀρύζης τὰ ἔναγχος ἱστορημένα τῷ Ἄγγλῳ Μακαρτνεύῳ (Macartney) ἐν τῇ περιοδείᾳ τῆς Κίνας.—Στ. 27, Ὑπὸ τῶν.] ΗΔ, ΑΤ, Ἀπὸ τῶν.—Στ. 28, Φησίν.] ΗΔ, ΑΤ, Ὃν φησιν.—Ὅτι.] Ἐκ ΔΓ, ΑΤ, Διότι.

ΣΕΛΙΔ. 92, στ. 21, Ποτίζεσθαι, ταῖς ὑπερχύσεσι μετεωροτέραν.] Στίζε, Ποτίζεσθαι ταῖς ὑπερχύσεσι, μετεωροτέραν.— Στ. 23, Ἀπογαίους.] Προσυπακουστέον τὸ Ἀνέμους.

ΣΕΛΙΔ. 93, στ. 10, Τρόπον δέ.] ΗΔ, ΑΤ, Τρόπον δή.— Στ. 12, Χυμῶν.] Κυριώτερον ἂν ἦν τὸ Χυλῶν· καὶ ἴσως οὕτως ἐγέγραπτο. Ἔπιθι τὰ εἰς τὸν Ξενοκράτην (σελ. 216-219) σημειωθέντα μοι περὶ τῆς διαφορᾶς τῶν λέξεων.—Στ. 15, Ἔριον.] Τὸ παρ' ἡμῖν νῦν Βαμβάκιον καλούμενον, ᾗ δῆλον ἐξ ὧν ἐρεῖ μετ' ὀλίγα (σελ. 94). Τοὔνομα δὲ τοῦ Βαμβακίου παρὰ τὸ Βόμβυξ, ὃ κυρίως μὲν τὸν μεταξοφόρον σκώληκα, ὥσπερ καὶ τὸ παρὰ τοῖς Ῥωμαίοις Bombyx (ὅθεν τὸ τῶν Γάλλων Bombasin, ὀθόνη τις ἐκ μετάξης), ἐδήλου· κατεχρήσαντο δὲ τῇ λέξει καὶ ἐπὶ τῶν ἐριοφόρων δένδρων ἢ καρπῶν, καθάπερ καὶ οἱ Ῥωμαῖοι. Ὁ γοῦν Πλίνιος (XIX, 1) τὸ ἡμέτερον Βαμβάκιον ἱστορῶν λέγει, cujus ex interiore bombyce lanugo netur· ὁ δὲ Διοσκορίδης (γ', 18) καὶ Βαμβακοειδῆ τινὰ χνοῦν καλεῖ ἔκ τινος

ἀκανθίου συλλεγόμενον καὶ γ': ἐσθῆτας χρήσιμον, ὃν ὁ Πλίνιος (xxiv, 12) Bombycinum ονομάζει. Κατὰ δὲ τὸν παρακμάζοντα Λατινισμὸν Bombax ἐκαλεῖτο τὸ Βαμβάκιον.—Στ. 18, Τοῖς σάγμασι.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Τῆς σάγμασι. Σάγματα εἰσὶ τὰ ἐν τῇ συνηθείᾳ λεγόμενα Σαμάρια, παραλείψει τοῦ γ (ἀντὶ τοῦ Σαγμάρια)· Σάγην δὲ λέγει τὴν ὕλην ἐξ ἧς ἐπλήρουν αὐτὰ, ἥπερ ἦν αὐτὸ τὸ βαμβάκιον.—Στ. 19, Βύσσου.] Καὶ τὴν Βύσσον ἐνθάδε οἱ μὲν ἀντὶ τοῦ βαμβακίου ἐξεδέξαντο· οἱ δὲ φασιν εἶναι τὴν καλουμένην Μέταξαν, καὶ οὐδετέρως νῦν παρ' ἡμῖν, Μετάξιον. Ἦν δὲ καὶ λίνου εἶδος ἡ βύσσος· καὶ τῆς πίννης δὲ τὸ ἐριῶδες βύσσον ἐκάλουν.—Στ. 20, Μέλι.] Τοῦτο δ' ἐστὶ τὸ γνωστὸν καὶ πολύχρηστον Σάκχαρον.—Στ. 22, Πολλὰ γὰρ δὴ καὶ κ. τ. λ.] Ἢ τὸν ἀστερίσκοις διαληφθέντα μοι σύνδεσμον παραλειπτέον, ἢ μικρᾷ μεταθέσει γραπτέον, Πολλὰ γὰρ δὴ καὶ παράδοξα δένδρα.

ΣΕΛΙΔ. 94, στ. 1, Διαδοθέντας... ἀναδοθέντας.] Ἰσ.γρ. Διαδύντας... ἀναδύντας.—Στ. 2, Κατακαμφθέντας.] ΗΔ, ΑΤ, Κατακαμφθέντα.—Στ. 4, Γίνεσθαι.] ΗΔ, ΑΤ, Γενέσθαι.—Στ. 9, Ὥσθ' ἑνί.] Διόρθου τὸ τυπογραφικὸν ἁμάρτημα, γράψων, Ὥσθ' ὑφ' ἑνί.—Στ. 11, Μεγάλους... δεκαδακτύλους.] Ἐξ ΕΔ (ἔστι δὲ τοῦ Κασωβῶνος ἡ διόρθωσις), ΑΤ (μετ' ἀρνήσεως), Οὐ μεγάλους... δέκα δακτύλους.—Στ. 17, Πυρῆνα· ἐξαιρεθέντος δὲ τούτου.] Ἰσ.γρ. Πυρῆνας· ἐξαιρεθέντων δὲ τούτων. Οὐ γὰρ ἕνα, ἀλλὰ πλείους ἔχει πυρῆνας τὸ ἐν τῇ συνηθείᾳ καλούμενον Βαμβάκιον.—Στ. 21, Μήτ' αὐλόν.] ΗΔ, ΑΤ, Μηδ' αὐλόν.—Κατὰ τὸν Ἀνάχαρσιν.] Τουτέστιν, ὥσπερ ἔλιγεν Ἀνάχαρσις περὶ Σκυθῶν.

ΣΕΛΙΔ. 95, στ. 6, Καὶ τὸ ὕδωρ· ᾗ δὴ καὶ μείζω.] ΗΔ, ΑΤ, Καὶ τὸ ὕδωρ ἤδη· καὶ μείζω.—Στ. 11, Πεντάδυμα.] Ἐξ ΕΔ, ΑΤ, Ἑπτάδυμα.—Στ. 12, Καὶ αὐτὸς κ. τ. λ.] Ἔπιθι τὰς Γαλλ. σημ.—Στ. 13, Καταλειπόντων.] ΗΔ, ΑΤ, Καταλιπόντων.—Στ. 16, Τῷ ἡμίσει... ἢ τὰ ἄλλα.] Συγκριτικῶς συνέταξε τὸ Ἥμισυ.—Στ. 25, Δοκεῖ τόδε τὸ ὕδωρ... ἰδιωμάτων, καὶ φέρει.] Εἰ μὴ βούλοιο διαγράφειν ἢν ἀστερίσκοις διείληφα δευτέραν λέξιν, περιελὼν τὸν ἑπόμενον σύνδεσμον, γράφε καὶ ζίζε, Δοκεῖ. Τοῦ δὲ τὸ ὕδωρ... ἰδιωμάτων, φέρει.

ΣΕΛΙΔ. 96, στ. 5, Ὅς φησιν οὕτως.] Ἐκ ΔΓ, ΑΤ, Ὧς φησιν οὗτος. Τὸ ἐμὸν ἀντίγραφον, Ὡς φησιν οὕτως.—Στ. 9, Ἀναυξήτοισι.]

Ἐκ ΔΓ, ΑΤ, Ἀναυξήτησι.—Στ. 10, Ἔχοι ἄν.] ΗΔ, ΑΤ, Ἔχοι δ' ἄν.—Στ. 16, Καὶ τὴν ἐξ αὐτοῦ.] Ἀποκατέστησα τὴν προτέρων γραφήν, ΑΤ, Καὶ τὴν ἑαυτοῦ.—Ἀπόληψιν.] ΠΔ, ΑΤ, Ἐπίλειψιν. ΔΓ, Ἐπίληψεν. Ἴσως δ' ἐξῆν καὶ Ἀπόλαψιν γράφειν παρὰ τὸ Ἀπολάπτω.—Στ. 18, Πεπλησμένως.] ΗΔ, ΑΤ, Πεπεισμένως. Δύναται δ' ἐνθάδε τὸ Πεπλησμένως τὸ κατακόρως· καθὰ καὶ ἐν τῇ συνηθείᾳ χρώμεθα τῷ συγγενεῖ καὶ συνωνύμῳ ἐπιρρήματι, Πλήσιε, ἢ Πλῆσα.—Στ. 27, Οὐχ ὡς Ὀνησικρίτῳ δέδοκται.] Ἐκ ΔΓ, ΑΤ, Οὐχ ὡς Ὀνήσικρετος δέδεκται.

ΣΕΛΙΔ. 97, στ. 10, Μέχρις... ὅτι.] Ἐκ ΔΓ, ΑΤ, Μέχρι... διότι.—Στ. 12, Μέσῳ... ῥεέθρα, Ὠκεανὸς μὲν πρῶτα.] Ἐκ τῆς Ὀδυσσείας, λ', 156, ὅθεν καὶ διώρθωκα ταῦτα, ΑΤ, Μέσῳ... ῥεῖθρα, Ὠκεανὸς μὲν πρῶτον. Ἐμνημόνευσε δὲ τούτων καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 143) ὁ Στράβων.

ΣΕΛΙΔ. 98, στ. 13, Δῦθις.] ΗΔ (συνάδουσα τοῖς Λατίνοις ἑρμηνεύταις), ΑΤ, Εὐθύς.—Στ. 16, Πληγήριον.] ΔΓ, Πλημύριον.—Γώρυδα ἄλλην πόλιν.] Ἐκ ΔΓ, ΑΤ, Γωρυδάλην πόλιν.—Στ. 24, Τέμνοντας.] ΔΓ, Θράυοντας: Τράνοντας. Ἴσως ἦν, Διαῤῥέοντας.—Στ. 26, Προΐοιεν.] ΗΔ, ΑΤ, Προϊδεῖν.

ΣΕΛΙΔ. 99, στ. 3, Μαντείοις.] Ἰσ.γρ. Μαντείαις.—Στ. 11, Ἀσπάσιοι.] Ἐξ ΕΔ, ΑΤ, Ἱππάσιοι. ΔΓ, Πάσιοι: Ὑπάσιοι. Ἐπιθὶ τὰ ἀνωτέρω (σελ. 309-310) σημειωθέντα μοι.—Ἀσσακανοῦ.] Τοῦ κατέχοντος τὴν χώραν δηλονότι ἡγεμόνος· ὁ δ' Ἀρριανὸς πληθυντικῶς, Ἀσσακανῶν, τὸ ἔθνος οὕτως ὀνομάζων. Ἦν δ' ἴσως ἡ νῦν ὀνομαζομένη χώρα Ἀσεναγάρ (Ashenagar).—Στ. 12, Μάσσαγα.] Μάσσακα ταύτην ὀνομάζει ὁ Ἀρριανὸς καὶ ἕτεροι, οὐδὲν μᾶλλον πιθανῷ ὀνόματι· ὄφελε γὰρ εἶναι Ἄσσακα, διὰ τὸν βασιλεύοντα Ἀσσακανόν, ἢ τὸ ἔθνος τοὺς Ἀσσακανούς.—Στ. 13, Πρὸς ᾗ ζεύγματος γεγονότος.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς ἣν ζεῦγμα γενηθέν.—Στ. 21, Εὐεργετήσει.] Ἄμεινον ἂν ἐγράφετο, Εὐεργετήσειε.—Στ. 24, Οἱ παρ' αὐτοῦ.] Διόρθου τὸ παρόραμα, γράφων, Οἱ παρ' αὐτοῦ πρέσβεις.

ΣΕΛΙΔ. 100, στ. 3, Ὑπερβαλέσθαι.] Ἐκ ΔΓ, ΑΤ, Ὑπερβάλλεσθαι.—Στ. 4, Λέγει.] Ἐξ ΕΔ, ΑΤ, Λέγειν.—Στ. 5, Περὶ δ' οὖν.] Ἰσ.γρ. Περὶ γοῦν.—Στ. 22, Ἐστὶ τό.] Ἐκ ΔΓ, ΑΤ, Εἶναι τό.

ΣΕΛΙΔ. 101, στ. 4, Ἐπαλειφθῇ.] ΗΔ, ΑΤ, Ἀλειφθῇ. ΔΓ, Ἀπολειφθῇ.—Στ. 8, Καὶ τὴν Σωπειθους.] Ἑτέραν εἶναι τὴν Σωπείθους

χώραν τῆς Καθαίας ἐδήλωσα τῇ προσθήκῃ τοῦ συνδέσμου, ἀπολῦσαι βουλόμενος τὸν Στράβωνα ἧς ἠτιάσαντό τινες αὐτὸν εὐχειρίας, ὡς συγχέαντα τὰς δύο χώρας εἰς μίαν. Τῶν γὰρ ἀντιγραφέων εἶναι τὸ ἁμάρτημα δηλοῦσιν ἀναμφιλέκτως τὰ ἑπόμενα, Ἐν δὲ τῇ Καθαίᾳ, καὶ μετ' οὐ πολλὰ (σελ. 101), Ἐν τῇ Σωπείθους χώρᾳ.—Στ. 19, Αὐτοῦ τούτου χάριν.] Τουτέστι, χάριν τοῦ καλοὺς φαίνεσθαι· κακῶς γὰρ διέξιξαν οἱ πρὸ ἡμῶν, Αὐτοῦ, τούτου χάριν.—Στ. 20, Ἄλλους.] Ἐκ ΔΙ' (συνάδοντος καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ), ΑΤ, Ἄλλως.—Στ. 21, Καὶ γὰρ δὴ... θαυμαστάς.] Ἐχώρισα ταῦτα τῶν λοιπῶν, τὸ ἀσαφὲς τοῦ χωρίου παραμυθούμενος. τὸ γὰρ ἑπόμενον, Καὶ θριξὶ, καὶ ἐσθῆσι, συνήρτηται οὐ πρὸς τὸ φέρειν, ἀλλὰ πρὸς τὸ ποιεῖν· καὶ ἔστιν ὁ νοῦς, Ποιοῦσι τοῦτο συχνοὶ τῶν Ἰνδῶν, τουτέστι βάπτονται καὶ τὰς τρίχας, καὶ τὰς ἐσθῆτας.—Στ. 26, Ἀφιςαῖντο.] ΗΔ, ΑΤ, Ἀφίςαντο.

ΣΕΛΙΔ. 102, στ. 1, Ὀρυκτῶν ἁλῶν.] Τὸν Κλείταρχον ἱςορῆσαι τοῦτο εἴρηκεν ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 299).—Στ. 10, Κρατουμένων αὐτῶν.] ΗΔ, ΑΤ, Κρατουμένων δ' αὐτῶν.—Στ. 16, Βραδείᾳ.] Ὁ ἀρχαῖος Λατῖνος μεταφραςὴς δῆλός ἐςιν ἀνεγνωκὼς, Βαθείᾳ.

ΣΕΛΙΔ. 103, στ. 18, Ἔθνη· Μαλλοί.] ΗΔ, ΑΤ, Ἔθνη· καὶ Μαλλοί.

ΣΕΛΙΔ. 104, στ. 3, Ἴσην εἶναι τῷ.] ΗΔ, ΑΤ, Ἴσην εἶναι τοῦ.—Στ. 9, Τῶν ποταμῶν.] Γραπτέον, οἶμαι, Τοῦ ποταμοῦ· περὶ γὰρ τοῦ Ἰνδοῦ μόνου ἐςὶν ὁ λόγος ἐνθάδε.—Στ. 11, Κατέχισθαι τοὺς τόπους.] Ἐκ ΔΓ, ΑΤ, Κατέχεσθαι τούτους τοὺς τόπους.—Στ. 14, Τριάκοντα ἔτη τοῖς.] ΗΔ, ΑΤ, Τριάκοντα ἐπὶ τοῖς.—Στ. 16, Καὶ τὸ λιτόβιον.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Κατὰ τὸ λιτόβιον.

ΣΕΛΙΔ. 105, στ. 7, Τὰ ἐν αὐτῷ.] ΗΔ, ΑΤ, Τὰ ἐπ' αὐτῷ.—Καὶ μεγέθους, καὶ πλάτους, καὶ βάθους.] Γραπτέον, οἶμαι, Καὶ μέγεθος, καὶ πλάτος, καὶ βάθος.—Στ. 11, Περὶ αὐτοῦ.] ΗΔ (τοῦ Γάγγου δηλονότι), ΑΤ, Περὶ αὐτῶν.—Στ. 15, Καὶ τοῦ ἄλλου.] Ἰσ.γρ. Καί του ἄλλου, ἐγκλιτικῶς. Πκραπλησίως καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 318) θυεῖν ποταμῶν τὸν ἕτερον ἀνώνυμον κατέλιπε· «Λειρίους τε καὶ ἑτέρου». Εἴη δ' ἂν γράφειν, Καὶ τοῦ Οἰδάνου, ποταμοῦ οὕτω καλουμένου, περὶ οὗ ἐν τοῖς ἑξῆς (σελ. 130) ὁ Στράβων. Ἐπιθὶ τὰς Γαλλ. σημ.

ΣΕΛΙΔ. 106, στ. 5, Τοὺς Σῆρας.] Ὧν ἤδη (σελ. 104) ἐμνημόνευσε.—Στ. 13, Κερκοπιθήκους.] Ἐμνημόνευσε καὶ τούτων ἐν τοῖς πρόσθεν (σελ. 100).

ΣΕΛΙΔ. 107, στ. 1, Σιλίαν.] Σίλαν, δισυλλάβως γράφει ὁ τὰς Χρησμαθείας (Μέρ. Γ, σελ. 440) συντάξας, καθάπερ καὶ ὁ Ἀφρικανός.—Στ. 2, Οὐκ ἀπιστεῖν... πεπλανημένον· Ἀριστοτέλης.] ΗΔ, ΑΤ, Ἀπιστεῖν... πεπλανημένον· καὶ Ἀριστοτέλης. Ἔπιθι τὰς Γαλλ. σημ.—Στ. 10, Καὶ ταῦτα προσληπτέον.] Ἐκ ΔΓ, ΑΤ, Καὶ προσληπτέον ταῦτα.—Στ. 14, Ἑκάστῳ τοὺς ἐναγίζοντας.] Ἀναπλήρου τὸ κυλεβῶς τυπωθὲν, γράφων, Ἑκάστῳ τοὺς θύοντας, ἢ τοὺς ἐναγίζοντας.—Στ. 18, Καρπῶν τε καὶ ζώων, καὶ περὶ πολιτείας.] Ἐξ ΕΔ, ΑΤ, Καρπῶν τε καὶ περὶ ζώων, καὶ πολιτείας.—Στ. 19, Προφέρει.] ΗΔ, ΑΤ, Προσφέρει.—Στ. 23, Ἐπιεικίζατοι, ἀσρατείᾳ.] ΠΔ, ΑΤ, Ἐπιεικέσατοι, οἱ ἐν ἀσρατείᾳ. ΔΓ, Ἐπιεικίσατοι οἷα σρατείᾳ: Ἐπιεικέσατοι, οἱ ἀσρατείᾳ: Ἐπιεικέσατοι, ὡς ἐν ἀσρατείᾳ.

ΣΕΛΙΔ. 108, στ. 3, Καὶ σκάπτουσιν.] Ἐκ ΔΓ, ΑΤ, Ἢ σκάπτουσιν. Οὕτω καὶ ἐν τοῖς πρόσθεν (Μέρ. Α, σελ. 292), Ἀροῦντες καὶ σκάπτοντες.—Στ. 4, Ἐπὶ τετάρταις ἐργάζονται τῶν καρπῶν.] Τουτέστι τὴν τετάρτην μερίδα τῶν καρπῶν τῷ βασιλεῖ τελοῦσι.—Στ. 9, Μετροῦνται.] Μέτρῳ λαμβάνουσι.

ΣΕΛΙΔ. 109, στ. 24, Ὀκτωκαίδεκα.] Νῦν δὲ πιστεύεται ἐννέα μῆνας κύειν τοὺς ἐλέφαντας, ὥς φησιν ὁ Βυφφὼν (Buffon).

ΣΕΛΙΔ. 110, στ. 1, Ποτὸν μέν.] ΔΓ, Πρῶτον μέν. Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.—Στ. 13, Ὑπὸ ζυγὸν ἀχαλίνους.] ΠΔ (πλὴν τοῦ ἐκ ΔΓ ζυγὸν) ΑΤ, Ὑπὸ ζυγῶν καὶ χαμήλους. Ἰδ. τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.—Στ. 17, Τῶν δὲ μυρμήκων τῶν χρυσωρύχων κ. τ. λ.] Ὧν καὶ Ἡρόδοτος (γ, 102) ἐμνημόνευσε. Τὸ δὲ μυθῶδες τοῦτο ἄλλοι ἄλλως ἐξηγήσασθαι ἐπεβάλλοντο. Ἔχει δέ τινα πιθανότητα ὁ εἰκάσας χρυσοπλύσιον κατ' ἐκείνους τοὺς τόπους γεγονέναι, ἐν ᾧ δορᾶς (ἴδ. Μέρ. Β, σελ. 313) ἀλωπέκων (πολλῶν ἐκεῖ γιγνομένων, καὶ γαιωρυχεῖν πεφυκυιῶν, ὥσπερ οἱ μύρμηκες), ἐχρῶντο οἱ τὸν χρυσὸν ἐργαζόμενοι· κἀντεῦθεν πεπλάσθαι τὸν μῦθον, ὡς αὐταὶ ζῶσαι ἐχρυσωρύχουν αἱ ἀλώπεκες. Ide Heeren, Ideen über di Politik, ꝛc. 1. Theil. B. 392

ΣΕΛΙΔ. 111, στ. 1, Προτιθέασι... περισπασθέντων.] Ἐκ ΔΓ, ΑΤ, Προτιθέασι... περισπασθέντων.—Στ. 2, Τοῦ τυχόντος τοῖς

ἐμπόροις.] Ἐκ ΔΓ, ΑΤ, Τῷ τυχόντι τῶν ἐμπόρων.—Στ. 12, Σμικρότητα.] Ἐκ ΔΓ, ΑΤ, Μικρότητα.—Στ. 14, Δι' ἰσχύν.] ΔΓ, Διὰ τὴν ἰσχύν.

ΣΕΛΙΔ. 112, στ. 7, Ὄρους.] Ἱσ.γρ. Οὔρων (ἔθνους Ἰνδικοῦ, οὕτω καλουμένου), ὥσπερ εἴκασα ἐν ταῖς Γαλλ. σημ.—Στ. 21, Ὅταν ᾖ.] Ἐκ ΔΓ, ΑΤ, Ὅταν εἴη.

ΣΕΛΙΔ. 113, στ. 6, Οὔτ' ἐργασίαν.] Γράφε, ἀναπληρῶν τὸ παραλειφθὲν ἐν τοῖς τύποις, Οὔτ' ἐπιτήδευμα, οὔτ' ἐργασίαν.—Στ. 8, Πλὴν εἰ τῶν φιλοσόφων τις εἴη.] Ἱσ.γρ. Πλὴν εἰ φιλοσοφῶν τις εἴη (τουτέστιν, Πλὴν εἴ τις φιλόσοφος βούλοιτο γενέσθαι). Εἰ δὲ μὴ ἀρέσκει ἡ διόρθωσις, γραπτέον γοῦν, ὡς φέρεται ἐν ταῖς Χρησομαθείαις (Μέρ. Γ, σελ. 441) Πλὴν εἰ φιλοσοφεῖν μόνον. Ὁ γὰρ νοῦς ἐστὶν, οὐχ ὅτι ἐξὴν τῷ γένει τῶν φιλοσόφων ἐξ ἄλλου γένους γαμεῖν, ἢ καταλιπόντας τὴν φιλοσοφίαν, ἄλλην ἐργασίαν μεταλαμβάνειν, ἀλλ' ὅτι οὐδενὶ τῶν ἑτέρων ἐξὴν καταλείπειν τὴν οἰκείαν ἐργασίαν, ἢ τὸ οἰκεῖον γένος, πλὴν εἰ βούλοιτο εἰς τὸ τῶν φιλοσοφούντων μεταβαίνειν γένες. Ἦσαν γὰρ ἱερατικόν τι γένος οἱ φιλοσοφοῦντες· καὶ ὥσπερ παρ' ἡμῖν ἔξεισι μὲν τοῖς λεγομένοις κοσμικοῖς ἱεράσθαι, ἀπείρηται δὲ τοῖς ἅπαξ ἱερασθεῖσιν εἰς τοὺς κοσμικοὺς μεταβαίνειν, τοιοῦτόν τι καὶ παρ' ἐκείνοις εἰκὸς νενομίσθαι. Καὶ ταῦτα μὲν εἰκότα λέγω, καὶ τῷ Ἀρριανῷ (Ἰνδ. 12, § 9) συνῳδὰ, φήσαντι κἀκείνῳ, « Μοῦνον σφίσιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι· ἃ δὲ τούτοις προσέθηκα ἔπιθι ἐν ταῖς Γαλλ. σημ.

ΣΕΛΙΔ. 114, στ. 18, Καὶ κτήνεσι.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Καὶ τοῖς κτήνεσι.—Τῇ Στρατιᾷ.] ΗΔ, ΑΤ, Τῆς στρατείας.—Στ. 21, Πρὸς κώδωνα.] ΗΔ (συνᾴδουσα τοῖς ἀρχαίοις μεταφραστῆς), ΑΤ, Πρὸς κώδωνας. Κώδωνα δ' ἐκδεκτέον ἐνθάδε τὴν σάλπιγγα, ὡς ὀρθῶς ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστὴς, con la tromba.—Στ. 24, Ἵππων.] Ἱσ.γρ. Ἱππέων.

ΣΕΛΙΔ. 115, στ. 2, Παρεμπίπρασθαι.] Ταὐτὸ, ὅπερ ὁ Ξενοφῶν διὰ μιᾶς προθέσεως Παραπίμπρασθαι λέγει. Ἐκάλουν δὲ τὴν νόσον Ὑδατίδας οἱ παρὰ τοῖς Ἕλλησιν Ἱππιατροὶ, καθὰ καὶ οἱ παρὰ τοῖς Γαλλοις les eaux. Ἔπιθι τὰς Γαλλ. σημ.—Στ. 3, Δύο δ' εἰσὶν... τοξεύοντες.] Ἱσ. τὰς Γαλλ. σημ. πρὸς δὲ καὶ τὰ εἰς τὸν Ἡλιόδωρον σημειωθέντα μοι (σελ. 305).—Στ. 6, Ἰνδοί.] Ἐκ ΔΓ, ΑΤ, Οἱ Ἰνδοί.—Στ. 7, Στρατιάς.] Ἐκ ΔΓ, ΑΤ, Στρατιαῖς.—Στ. 9, Γοῦν.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Δ' οὖν.—Στ. 16,

Κριθίνου.] ΗΔ, ΑΤ, Κριθίνων· πλὴν εἰ μή τις βούλοιτο μᾶλλον γράφειν, Κριθῶν. Ἔστι δὲ ὁ ἀπὸ κριθῶν εἶνος ὃν οἱ Γάλλοι καλοῦσι bière. Ὁ δ' ἀπ' ὀρύζης ὁ μέχοι καὶ δεῦρο ἀπ' Ἰνδῶν εἰς ἡμᾶς μετακομιζόμενος, ὁ καλούμενος arack, ἢ rack· ὅθεν ὑπονοήσειεν ἄν τις παρηχῆσθαι καὶ τὸ ἐν τῇ συνηθείᾳ καλούμενον Ῥακίου, καίπερ ἀπὸ τοῦ ἐκ σαφυλῆς οἴνου γινόμενον, εἰ μὴ ἐκώλυεν ὁ Ἡσύχιος, λέγων, α Ῥάχι, τὸ σίμφυτον. — Ὄρυζαν εἶναι ἀοφητήν.] Πιθανῶς τὸ καλούμενον Πελάδι, ᾧ πολλῷ χρῶνται οἱ Ἀσιανοί. Ἰδ. τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφράσει, καὶ τὸν Ἄγγλον Οὐϊκέντιον (Vincent, *The voyag. of. Nearchus*, pag. 16). — Στ. 22, Τάλλ' (γρ. Τᾶλλα) δ' οὐκ ἄν.] Ἐκ ΔΓ, ΑΤ, Τᾶλλ' οὐ δ' ἄν. — Στ. 26, Γυμνασίων.] ΗΔ, ΑΤ, Γυμνάσιον.

ΣΕΛΙΔ. 116, στ. 4, Σινδόνας... εὐανθεῖς.] Ἠρυήνευσα διὰ τοῦ toiles brodées de diverses couleurs, ἁπλούστερον ἂν ἑρμηνεύσας toiles teintes de belles couleurs· εἰκὸς γὰρ περὶ ἐκείνων τῶν σινδόνων εἶναι τὸν λόγον, ἃς οἱ Ἄγγλοι καλοῦσι (ἐκ τῆς Ἰνδικῆς ἴσως λαβόντες φωνῆς) Chintz, ὅθεν καὶ ἡμεῖς παραλαβόντες, Τσίττια καλοῦμεν ἐν τῇ συνηθείᾳ. — Στ. 9, Εὐπειθέως.] Μεταμέλει μοι μὴ γράψαντι ἐκ ΔΓ, Εὐπαθέας. Ὁ γὰρ νοῦς, τὰς μὲν τῶν γυναικῶν ὠνοῦνται, ἵνα θεραπεύωνται μόνον ὑπ' αὐτῶν (pour simples servantes, καθάπερ ἡρμήνευσα Γαλλιστί), τὰς δὲ ἕνεκα τοῦ συνευνάζεσθαι. Ἔρρεῖ δὲ καὶ μετ' ὀλίγα, ὅτι ἡ τοῦ σώματος θεραπεία διὰ γυναικῶν ὠνητῶν ἐγίνετο. — Στ. 13, Ἀλλὰ πνίγουσιν.] ΔΓ (ἀμείνων), Ἀλλ' ἀποπνίγουσιν. — Στ. 23, Μεθύοντα... γέρας ἔχει.] Τοῦτο, εἰ ἀληθές, αἰτίαν εἶχε τὸν νόμον, καθ' ὃν οὐκ ἐξῆν τῷ βασιλεῖ μεθύσθῆναι (ἴδ. Ἀθήν. σελ. 434). — Στ. 27, Τῶν τε μὴ κατά.] ΗΔ, ΑΤ, Τῶν γε μὴν κατά.

ΣΕΛΙΔ. 117, στ 29, Τρίπτυχον.] Ἐκ ΔΓ, ΑΤ, Τριπήχη.

ΣΕΛΙΔ. 118, στ. 3, Μήτ' ὠά.] ΗΔ, ΑΤ, Μηδ' ὠά. — Στ. 11, Ἀτμοῖς.] Ἐκ ΔΓ, ΑΤ, Ἀτμαῖς. — Στ. 25, Σύροιτο.] Ἐξηγησάμεθα ἐν τοῖς πρόσθεν (σελ. 95) τί σημαίνει παρὰ τοῖς μεταλλουργοῖς τὸ Σύρεσθαι, καὶ τὰ Συρτὰ μέταλλα. Λέγει δὲ καὶ ὁ Ἡσύχιος, α ΣΥΡΒΗ, παρὰ τοῖς μεταλλικοῖς ὃ ὅπερ ἴσως τρεπτέον εἰς τὸ ΣΥΡΜΗ ἢ ΣΥΡΤΗ.

ΣΕΛΙΔ. 119, στ. 16, Γαρμᾶνας.] Ἰσ. γρ. Σαρμάνας, καθάπερ ὀνομάζει αὐτοὺς Κλήμης ὁ Ἀλεξανδρεύς (Ἰδ. Πρόλ. Ἑλληνικ. βιβλιοθήκ. σελ. 383). Ὁ δὲ Πορφύριος Σαμανταίους αὐτοὺς ὀνομάζει, ὀνόματι εἰκειοτέρῳ τοῖς καλουμένοις νῦν Schamanen, ὅ ἐστι πρᾶοις. Οὗτοι

δ' εἰσὶν οἱ διορθώσαντες καὶ ἀναμορφώσαντες διαφθαρεῖσαν τῷ χρόνῳ τὴν τῶν Βραχμάνων θρησκείαν· ὅθεν καὶ διωχθέντες ὑπὸ τούτων (οὐκ φιλεῖ γίνεσθαι ἐν ταῖς ὑπὲρ τοῦ θείου δόξαις), κατὰ τὴν πρώτην ἀπὸ Χριστοῦ ἑκατονταετηρίδα, πολλαχοῦ τῆς ἄλλης Ἀσίας διεσπάρησαν, ὅπου καὶ μέχρι δεῦρο διατρίβουσιν (Adelung, Mithridat. Th. I, S. 128-130)—Στ. 19, Λόγῳ.] Ἐξ ΕΔ, ΑΤ, Λόγον.

ΣΕΛΙΔ. 120, στ. 27, Γεννητός.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Γενητός.—Στ. 29, Διαπεφοίτηκεν.] Οὕτω παρ' ἅπασιν· ἴσως μέντοι γραπτέον, Διαπέφυκεν, τοῖς Στωϊκοῖς οἰκειοτέρῳ ὀνόματι. Στωϊκὰ γὰρ τὰ πλείω τὴς Βραχμανικῆς φυσιολογίας ταύτης.

ΣΕΛΙΔ. 121, στ. 7, Ὑλοβίους.] Τοὺς ἐν ταῖς ὕλαις βιοῦντας. Ἀλλόβιοι κακῶς γράφονται παρὰ τῷ Ἀλεξάνδρεῖ Κλήμεντι οἱ Ὑλόβιοι.—Στ. 9, Δενδρείων.] Ἐκ ΔΓ, ΑΤ, Δενδρίων.—Στ. 22, Ἐπιμοναῖς.] Ἐκ ΔΓ (συναθυσῶν καὶ τῶν Χρηστομαθειῶν, σελ. 442), ΑΤ, Ὑπομοναῖς.—Στ. 25, Κατὰ κώμας.] Ἐκ ΔΓ, ΑΤ, Καὶ κατὰ κώμας.

ΣΕΛΙΔ. 122, στ. 9, Σησαμίνου λίπους.] Ὅπερ ἡ συνήθεια Σησαμόλαδον ὀνομάζει.—Στ. 10, Τοῦ τε μέλιτος... καὶ τοῦ Σησάμου μάζας ποιουμένους.] Ἃς καὶ διὰ μιᾶς λέξεως, Σησαμίδας, Ἕλληνες ἐκάλουν, καὶ Σησαμοῦντας. Εἰσὶ δὲ λιπτὰ πλακουντάρια, ἔτι καὶ νῦν παρὰ τοῖς Τούρκοις δημοσίᾳ κηρυττόμενα ἐπὶ πράσει, καὶ Σουσαμχαλβασὶ καλούμενα.—Στ. 21, Εἴ του βούλοιτο·] ΗΔ, ΑΤ, Εἴ του βούλεται. Οὕτω δὲ καὶ κατωτέρω (σελ. 123), Εἴ του μετασχεῖν ἐθέλοιεν.—Στ. 24, Τὰ τετταράκοντα ἔτη.] Ἀνωτέρω δὲ (σελ. 120) ἑπτὰ καὶ τριάκοντα εἴρηκε.

ΣΕΛΙΔ. 123, στ. 6, Εἶτα τὰ πρόσθεν.] Faisant montre de leurs parties matrimoniales ἡρμήνευσε τοῦτο ὁ Μονταίγνης (Montaigne, *Essais*, *livr. III*, *chap.* 3) ἐν τῇ ἀπηρχαιωμένῃ τῶν Γάλλων φωνῇ, κακῶς μέντοι τὸ ἐν Ταξίλοις κοινὸν νόμιμον τοῦτο, ὡς ἴδιον τοῖς Βραχμᾶσιν ἱστορῶν.—Στ. 7, Δοκῇ.] Ἐκ ΔΓ, ΑΤ, Δοκεῖ

ΣΕΛΙΔ. 124, στ. 16, Νυνὶ κόρου.] Ἐκ ΔΓ, ΑΤ, Κόρου νυνί.—Στ. 20, Μάνδανιν.] Πλούταρχος δὲ (Ἀλεξάνδρ. § 65) Δάνδαμιν τοῦτον ὀνομάζει, ὥσπερ καὶ ὁ Ἀρριανός.

ΣΕΛΙΔ. 125, στ. 8, Συμβουλεύσαιεν.] Ἐκ ΔΓ, ΑΤ, Συμβουλεύσειεν.—Στ. 11, Ἐξαίρεσθαι.] ΗΔ, ΑΤ, Ἐξαίρεσθαι.—Στ. 16, Οὐ γὰρ ἄν.] ΗΔ ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου.

ΣΕΛΙΔ. 126, στ. 9, Τῷ πυγμὴν νικήσαντι.] Οὐ μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν ἀγώνων ὁποιουοῦν τινα, ὡς φησιν Ἀρριανός.—Στ. 10, Ἐργασαμένους.] Ἐκ ΔΓ, ΑΤ, Ἐργαζομένους.—Στ. 14, Τρίπηχυν.] ΗΔ, ΑΤ, Τριπήχη.—Στ. 15, Κημῶν... διαπεπάρθαι.] Ἔπιθι τὰ ἐν τῇ Γαλλ. μεταφρ. σημειωθέντα μοι.

ΣΕΛΙΔ. 127, στ. 18, Ἐμπλησθέντος.] Ἐκ ΔΓ, ΑΤ, Ἐμπλησθείσης.—Στ. 19, Ἐγκλεισθέντα.] Ἰσ.γρ. Κλεισθέντα, τὸν ξύλινον οἶκον ὁλονότι.—Στ. 20, Μεθ' ἧς εἶχε...] Λείπουσι ταῦτα ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, ἴσως διότι οὐδὲ σημαίνουσί τι οὕτως ἔχοντα, εἰ μή τις ἀπαρτίζων γράφοι, Μεθ' ἧς εἶχε σολῆς. Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι περὶ ὅλου τούτου τοῦ χωρίου ἐν τῇ Γαλλ. μεταφρ.

ΣΕΛΙΔ. 128, στ. 4, Ὅν γε ἄρχειν.] Ἐκ ΔΓ, ΑΤ, Ὅς γε ἄρχει. —Στ. 5, Μήτε αὐτῷ.] ΗΔ, ΑΤ, Μηδὲ αὐτῷ.—ὯΙ οὐδεὶς κόρος.] Τουτέστιν, Ἀλεξάνδρῳ οὐδεὶς κόρος. ΔΓ, Ὧν οὐδεὶς κόρος. Ὁ δ' Ἰταλὸς μεταφραστὴς ἡρμήνευσεν poichè in me non è appetito alcuno, ὥσπερ ἂν εἰ ἐγέγραπτο, ὯΙ οὐδεὶς πόθος· ἔοικέ τι συνᾴδειν πως οἷς Ἀρριανὸς (Ἀναβ. Ἀλεξ. ζ', 2) λέγει περὶ αὐτοῦ τούτου, « Οὔτ' οὖν ΠΟΘΕΙΝ τι αὐτὸς, ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, » οὔτ' αὖ δεῖσθαι κ. τ. λ. ».—Στ. 7, Ἀποθανόντι δὲ, ἀπαλλάξαιτο τῆς σαρκὸς ὑπὸ γήρους τετρυχωμένης, μεταχὼς εἰς βελτίω κ. τ. λ.] ΗΔ, ΑΤ, Ἀπό. Καὶ τὰ λοιπὰ δὲ, ἀσυνάρτητα ὄντα, διορθώσεως ἔχρηζεν, ἢ συντομωτέρας, Ἀποθανὼν δὲ κ. τ. λ., ἢ μακροτέρας ταύτης, Ἀποθανόντι δὲ; ἀπάλλαξις τῆς σαρκὸς, ὑπὸ γήρως τετρυχωμένης, καὶ μετάσασις εἰς βελτίω. Εἴκασα μέντοι κατὰ χώραν, οὐ τῶν γραφέων, ἀλλ' αὐτοῦ Στράβωνος ὑπολαμβάκων εἶναι τὴν ἁμαρτίαν. Ὁ δὲ Ἀρριανὸς οὕτω συνήρτησε τὴν φράσιν, « Ζῶντι μὲν γὰρ οἱ τὴν Ἰνδῶν γῆν ἐξαρκεῖν, φέρουσαν τὰ ὡραῖα· » ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώ- » ματος ».—Στ. 12, Λούῃ τὴν τρίχα.] Ἰδ. τὰς Γαλλ. σημ.—Στ. 14, Τῶν ΤΕ μυρμήκων.] Ἰσ.γρ. ΔΕ.—Στ. 15, Χρυσωρύχων.] Ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Χρυσορύχων.—Στ. 21, Χαλκοῦ τράπεζαί τε.] ΗΔ (συνᾴδουσα τῷ ἀρχαίῳ μεταφραστῇ), ΑΤ, Χαλκοῦ καὶ τράπεζαι δέ.—Στ. 24, Ἄρκοι.] Προσέθηκα τὴν λέξιν ἐκ ΔΓ, οὕπω μοι ἐγνωσμένην, ἡνίκα μετέφραζον τὸ χωρίον. Προσέθει τοίνυν καὶ τῇ Γαλλικῇ μεταφράσει τὰς λέξεις des ours. Ἡ δὲ ἄρκτος, καὶ ἄρκος ἐκαλεῖτο· καὶ σημείωσαι, ὅτι καὶ ἡ παρ'

ἡμῖν συνήθεια παρέλιπε τὸ τ, ἀρκούδαν καλοῦσα τὸ θηρίον.—Στ. 27, Ἀπήρτηται (γρ. Ἀπήρτηται).] ΑΤ, Ἀπειρόγεται, Ἀπήρτηται διώρθου ὁ Σνειδέριος ἐν ταῖς εἰς τὸν Αἰλιανὸν (Περὶ ζ. ἰδιότ. ιζ', 22) σημειώσεσιν· ἔνθα διορθωτέον καὶ τὸ μικρὸν ἀνωτέρω ὑπὸ τοῦ Αἰλιανοῦ λεγόμενον, « Λέγει δὲ Κλείταρχος ἐν Ἰνδοῖς ΓΕΝΕ-» ΣΘΑΙ ὄρυιν κ. τ. λ. » γράφοντας, ΓΙΝΕΣΘΑΙ.—Γένη.] Ἐκ ΔΓ, ΑΤ, Γένη τε.

ΣΕΛΙΔ. 129, στ. 2, Κατρέα.] Ἔπιθι περὶ τούτου τι καὶ τοῦ ὠρίονος τὰς Γαλλ. σημ.—Στ. 5, Ἐριζικούς τινας καὶ ἐλεγκτικούς.] Κατὰ τοὺς παρ' Ἕλλησι ὀθλονότι τοῖς αὐτοῖς ὀνόμασι καλουμένους φιλοσόφους.—Στ. 17, Ἐννημένους.] Ἐκ ΔΓ, ΑΤ, Καθειμένους.—Στ. 18, Καρπάσοις.] Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐνθάδε τε τῆς Γαλλικῆς μεταφράσεως (tom. V, pag. 90, not. 2 καὶ tom. III, pag. 18, not. 5) περὶ τοῦ καρπάσου.—Στ. 20, Φορήματα.] Τὰ ἐν τῇ συνηθείᾳ Φορέματα.

ΣΕΛΙΔ. 130, στ. 1, Οἰδάνην.] Ἰσ.γρ. Οἰμάνην. Ὁ Οἰδάνης, ἢ Οἰμάνης οὗτος ποταμὸς, ὁ αὐτὸς εἶναι ὑπειλήφται καὶ ὁ παρὰ τῷ Πλινίῳ Ἰομάνης (Iomanes), ὁ νῦν Ἰούμνας (Jumna) καλούμενος.—Στ. 20, Ὥς φησι.] ΗΔ (ὁ Νικόλαος ὀθλονότι), ΑΤ, ὡς φασι.—Στ. 25, Ἐπαλληλεμμένον.] ΗΔ, ΑΤ, Ἐπαλληλειμμένον.—Στ. 26, ΖΑΡΜΑ-ΝΟΣ ΧΗΓΑΝ.] Ἐκ ΔΓ (τῆς τῷ Κασωβῶνι σημειωθείσης), ΑΤ, ΖΑΡ-ΜΑΝΟΧΗΓΑΣ. Ἑτέρα ΔΓ, ΖΑΡΜΑΝΟΧΑΝΗΣ. Καὶ ὁ μὲν Ζάρμανος ἐξίν ἴσως ἀπὸ τῆς αἱρέσεως οὕτω κληθεὶς τῶν Σαρμάνων, ἢ Γαρμάνων, περὶ ὧν ἔπιθι τὰ ἀνωτέρω (σελ. 316) σημειωθέντα. Τὸ δὲ Χήγαν, ἢ Χάνης, ἡγεμονίας ὄνομα γεγονέναι οὐκ ἀπεικότως εἴρηται, ὅμοιον τῷ παρὰ τοῖς Σκύθαις ἔτι καὶ νῦν σωζομένῳ Χάν, ἢ Χάνης, ὅπερ τοῖς Βυζαντινοῖς συγγραφεῦσι Χαγάνος ἐλέγετο.

ΣΕΛΙΔ. 131, στ. 17, Χιλίων ὀκτακοσίων.] Ὁ δ' Ἀλιανὸς, Χιλίων ἑξακοσίων, φησὶν, ὅπερ καὶ ἀκριβέστερον. Ἔπιθι τὰς Γαλλ. σημ.—Στ. 19, Δισχίλιοι.] Γραπτέον, Τρισχίλιοι, ὡς παρῆνεσαν οἱ κριτικοὶ, καὶ ὡς ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει. Δηλον δὲ καὶ ἐκ τῶν προηγησαμένων κατὰ μέρος ἀριθμῶν, 1000, 1800, 7100, καὶ 3700, οἱ συντιθέμενοι τοὺς μυρίους τρισχιλίους ἐννακοσίους (13900) σαφέως ἀποτελοῦσι.

ΣΕΛΙΔ. 132, στ. 1, Προσβάλλει.] Προσυπακουστέον τὸ, ὁσμήν.—Στ. 8, Ἀποτριβέντα.] Τὸν σίδηρον ὀθλονότι· εἰ δὲ γραφοις, Ἀποτρι-βέντας (ὥσπερ εἶπα ἐν ταῖς Γαλλ. σημειώσ.), ἀναφέρεται ἡ μετοχὴ

πρὸς τοὺς ἐκ σιδήρου μύλους, ὅπερ οὐδὲν διοίσει τῷ νῷ τῆς ἐκδεδομένης γραφῆς. Τὸ δὲ Ἐπικόπτουσιν σημαίνει τὸ ἀποξύνουσιν, ἢ μᾶλλον, ἐπιχαράσσουσι, νέους ἀντὶ τῶν ἀποτριβέντων ὀδόντας ποιοῦντες.—Στ. 12, Δὲ δικτύοις.] Ἐκ ΔΓ, ΑΤ, Δὲ καὶ δικτύοις.

ΣΕΛΙΔ. 133, στ. 9, Στάσεως.] Τάξεως ἔοικεν ἀντιγνωκίναι ὁ ἀρχαῖος Λατῖνος μεταγραφεύς.—Στ. 12, Καὶ δὴ καὶ φησίν.] Πλεονάζει ὁ τρίτος τῶν συνδέσμων.—Στ. 19, Ὁμοίως.] ΗΔ, ΑΤ, Ὅμως.—Στ. 23, Φησί.] ΗΔ (ἀναφέρεται γὰρ εἰς τὸν Νέαρχον), ΑΤ, Φασί.

ΣΕΛΙΔ. 134, στ. 4, Πρὸς τῷ.] ΗΔ, ΑΤ, Πρὸς τό.—Στ. 10, Ἔπινον, καὶ ἦσαν ὑποβρύχιοι.] ΗΔ, Ἔπινον, ὡς ἂν ὑποβρύχιοι.—Στ. 14, Ὡς ἂν ὑπὸ ῥίγους.] Ἀποκατέχησα τὴν προτέραν γραφήν, ΑΤ, Ὡς ἂν ῥίγους.—Στ. 15, Καταδραθεῖν.] Γράφε, ὡς φέρεται παρ' ἅπασι, Καταδαρθεῖν.—Στ. 21, Καθοδηγῶν δέ.] Ἐκ ΔΓ, ΑΤ, Καθοδηγῶν τε.

ΣΕΛΙΔ. 135, στ. 2, Ἄκανθα δέ.] ΔΓ (ἣν μεταμέλει μοι μὴ παρειληφότι), Ἄκανθά τε.—Στ. 3, Ἐπὶ τῆς γῆς ἐρωμένη.] Διόρθου ἐντεῦθεν τοὺς ἀντιγράψαντας τὰ τοῦ Ἀρριανοῦ (Ἀναβ. Ἀλεξ. ς', 22), ἔνθα περὶ τῆς αὐτῆς ταύτης ἀκάνθης ὁ λόγος, «Καὶ ἄλλον εἶναι καυλὸν ΕΚ » ΤΗΣ πεφυκότα ἀκάνθης κ. τ. λ.» γράφων, ΕΚ ΓΗΣ, ἢ (ὥσπερ εἰκαζον ἐν ταῖς Γαλλ. σημ.), ΕΚ ΤΙΝΟΣ.—Στ. 8, Ἀπέκτεινον.] ΗΔ, ΑΤ, Ἀπέκτανον. ΔΓ, Ἀπέκτενον.—Στ. 22, Πολλή.] Ἰσ.γρ. Πολύ.—Στ. 26, Γάρ φησι.] Ἐκ ΔΓ, ΑΤ, Μέν γάρ φησι.

ΣΕΛΙΔ. 136, στ. 12, Καὶ τὴν ἐκ Βάκτρων.] ΗΔ, ΑΤ, Διὰ τὴν ἐκ Βάκτρων.—Στ. 20, Αὐτό.] Ἐκ ΔΓ (ἀναφέρεται γὰρ πρὸς τὸ Μῆκος), ΑΤ, Αὐτῶν.—Στ. 21, Ἡ γὰρ σύν.] Ἐκ ΔΓ, ΑΤ, Ἡ γὰρ ἂν σύν (Ἴδ. τὰς ΔΓ τῆς ἐν Ἀγγλίᾳ ἐκδ.).

ΣΕΛΙΔ. 137, στ. 1 καὶ 9, Γεδρωσηνοὶ... Γεδρωσίοις.] Ἐποίκιλε τὸν τύπον τοῦ ἐθνικοῦ. Γεδρωσίους ὀνομάζειν χρῆναι φησὶν ὁ Βυζάντιος Στέφανος, μεμφόμενος οὐ δικαίως τὸν Περιηγητὴν Διονύσιον, ὅτι Γεδρωσοὺς τρισυλλάβως ὠνόμασε. Σημείωσαι δὲ, ὅτι καὶ Γεδρωσιανοὺς, πεντασυλλάβως, αὐτοὺς καλεῖσθαι φησὶν ὁ Εὐσάθιος (εἰς Διονύσ. τὸν Περιηγητ. 1086). Καὶ τοῦτο μὲν ὀρθῶς· οὐκ ὀρθῶς δὲ τὸν Στράβωνα παρατίθεται τοῦ τοιούτου τύπου μάρτυρα, εἴ γε μὴ τῶν ἀντιγραφίων μᾶλλον ἐστὶ τὸ ἁμάρτημα. Λέγει γάρ, «Τῶν » Γεδρωσῶν... τούτων ἡ χώρα Γεδρωσία, ὥστε αὐτοὺς ἀνα λογώτερον » καλεῖσθαι Γεδρωσιανούς, κατὰ τὸν Γεωγράφον. Λέγονται δὲ

» καὶ

» καὶ Γεδρωσηνοί». Ταῦτα εἰ οὕτω ςίζοις καὶ γράφοις, α...Γε» δρωσιανούς. Κατὰ δὲ τὸν Γεωγράφον, λέγονται καὶ Γεδρωσηνοί» συνάδοντα τῷ Στράβωνι ἀποφαντὶς τὸν Εὐςάθιον.—Στ. 14, Ἐπὶ τῶν Βάκτρων.] ΗΔ, ΑΤ, Ἐπὶ τὴν Βάκτρων.—Στ. 21, Ἀριανήν.] Γραπτέον, οἶμαι, Ἀρίαν, καθάπερ ἡρμήνευσα ἐν τῇ Γαλλ. μεταφρ. —Στ. 26, Οἱ δὲ Δράγγαι... καττίτερος.] Τοὺς αὐτοὺς εἶναι οἰονταί τινες τοὺς Δράγγας τοῖς παρὰ τῷ Πλινίῳ (VI, 23) Ζαράγγαις, Zarangæ, καίπερ ἐκείνου τῶν Ζραγγῶν (Zarangæ) ἑτέρους ὑποτιθεμένου τοὺς Δράγγας (Drangæ). Πόλις δ' αὐτῶν ἦν ἡ Προφθασία, ἧς μικρὸν ἀνωτέρω (σελ. 136) ἐμνημόνευσεν ὁ Στράβων, Ζαράγγ (Zarang), τὰ νῦν καλουμένη, καὶ ὑπὸ τοῖς Πέρσαις τελοῦσα. Περὶ δὲ τοῦ καττιτέρου διςάζει ὁ Βεκμάνιος (Beckmann, Beytr. zur Geſch. der Erfind. T. IV, S. 368)· οὐδαμοῦ γὰρ νῦν τῆς Περσίδος καττιτέρου μέταλλον εὑρίσκεσθαι.

ΣΕΛΙΔ. 138, στ. 1, Οὕτως ὠνόμασε.] Τουτέςι Περσικῷ ὀνόματι, ὃ μεθερμηνευόμενον ἕλλησι τοὺς Εὐεργέτας ἐδήλου.—Εἶτα.] ΗΔ, ΑΤ, Ἤτοι.—Στ. 2, Δύσιν... ἔςι.] Κενὸν κατέλιπον διάςημα, λείπειν τι εἰς ἀπαρτισμὸν ὑπολαβὼν τοῦ λόγου. Ἔχοι δ' ἂν τις ἀπαρτίζειν, εἰ τὰ πρὸ τούτου γράφοι, Εἶτα ἐπὶ τὴν τῶν Παροπαμισαδῶν κ. τ. λ.—Στ. 10, Τερμίνθου Σκυνώδους.] Τὸ τὰ πιςάκια φέρον δένδρον λέγει, ὡς ὀρθῶς ὑπέλαβεν ὁ Ἄγγλος ἐκδότης.—Στ. 11, Ἀπορούμενος καὶ τροφῆς... ἀξυλίαν· πρὸς δὲ τὴν ὠμοσιτίαν κ. τ. λ.] Ἔςι ταῦτα καὶ οὕτως γράφειν, τελείᾳ ςίζοντας (ὥσπερ ἔςιτο ἐν ταῖς πρὸ τοῦ Γερμανοῦ ἐκδόσεσι) πρὸ τῆς μετοχῆς· « Ἀπορουμένοις » δὲ τροφῆς... ἀξυλίαν, πρὸς τὴν ὠμοσιτίαν κ. τ. λ. ».—Στ. 15, Δάραψα.] ΗΔ (συνάδουσα τῇ ἐν τοῖς πρόσθεν, Μέρ. Β, σελ. 339, γραφῇ), ΑΤ, Ἄδραψα.—Στ. 25, Ταλαιπωρήσαντες διά τε τὴν ἄλλην ταλαιπωρίαν, καὶ τὰ μεγέθη τῶν κητῶν.] ΗΔ (συνάδουσα τῇ τοῦ Ξυλάνδρου διορθώσει καὶ μεταφράσει), ἀνθ' ὧν ἔγραψεν ὁ Γερμανὸς ἐξ ΕΔ καὶ ΔΓ, Ταλαιπωρήσαντες διὰ τὴν ἄλην καὶ ταλαιπωρίαν, καὶ τὰ μεγέθη τῶν κητῶν, γεγραμμένων ἐν ταῖς πρὸ τοῦ Κασωβῶνος ἐκδόσεσι, Ταλαιπωρήσαντες καὶ διὰ τὴν ἄλλην καὶ (ΔΓ καὶ τὴν) ταλαιπωρίαν, καὶ τὰ μεγέθη τῶν κητῶν. Συνάδει δὲ τῇ ἡμετέρᾳ γραφῇ καὶ ἡ τοῦ Ἰταλοῦ μετάφρασις, avendo patito assai sì per altri travagli, sì per la smisurata grandezza delle balene.

ΣΕΛΙΔ. 139, στ. 6, Τὰ πρὸ ποδῶν μέρη.] Προσίθειται ἴσως,

μηδὲν δέον, ὑπὸ τῶν ἀντιγραφέων τὸ Μέρη· προσυπακούεται γὰρ κατὰ πλείονα χρῆσιν.—Στ. 7, Ἐπεὶ δ' οἱ.] ΔΓ, Ἔπειθ' οἱ, οὐ κακῶς, εἴ γε τελεία ςίζοις μετὰ τὸ ἐχόμενον (στ. 9) Κρότου.—Στ. 20, Τριῶν καὶ εἴκοσιν ὀργυιῶν.] Ὁ δὲ τὰς Χρησομαθείας συντάξας (Μέρ. Γ, σελ. 443) Πηχῶν δύο καὶ ἑβδομήκοντα εἰρηκώς, ὃ ἐςὶ ποδῶν 144 (Ἰδ. Ησύχ. λέξ. Ὀργυιά, καὶ ςοιχ. λέξ. Πῆχυς), δῆλός ἐςι Τεττάρων καὶ εἴκοσιν ὀργυιῶν· ἀνεγκωκώς· τοσαύταις γὰρ ὀργυιαῖς ἴσοι εἰσὶν οἱ 72 πήχεις. Ὁ δ' οὖν Ἀρριανὸς (ἰνδικ. § 30), ἐκ τοῦ Νεάρχου κἀκεῖνος παρειληφὼς, εἴκοσι καὶ πέντε ὀργυιὰς λέγει, τουτέςι πήχεις 75, ἢ πόδας 150.

ΣΕΛΙΔ. 140, στ. 14, Καὶ ἐν τῇ μεσογαίᾳ.] ΗΔ ἡ προσθήκη τῆς προθέσεως.—Στ. 19, Ἀκαρπία κατέχει.] Ἄμεινον ἂν γράφοιτο, Ἀκαρπία κατέχεται, καθάπερ ἔοικεν ἀντιγωκέναι καὶ ὁ Εὐςάθιος (Εἰς τὸν Περιηγ. Διον. 1086).—Στ. 23, Ἀρσενικοῦ.] Ἀρρενικὸν τοῦτο ὀνομάζει ὁ Θεόφραςος, καὶ οὕτω φησὶ δεῖν γράφεσθαι Αἴλιος Διονύσιος παρὰ τῷ Εὐςαθίῳ (σελ. 913), οὐ διὰ τοῦ σ. Ἡ παρ' ἡμῖν συνήθεια Ἀρσενικὸν ἔτι καὶ νῦν ὀνομάζει αὐτὸ, καθὰ καὶ Στράβων καὶ Διοσκορίδης καὶ ἕτεροι· ὁ δ' Εὐςάθιος Ἀρσενίκιον λέγει καλεῖσθαι ἐφ' ἑαυτοῦ ὑπὸ τῶν ἰδιωτῶν τὸ Ἀρσενικόν.—Στ. 28, Πυκνόῤῥωγά τε ὄντα καὶ μεγαλόῤῥωγα.] Διόρθου ἐντεῦθεν τὸν Εὐςάθιον, λέγοντα (εἰς τὸν Περιηγ. Διον. 1083), «Γίνεται δὲ, ΦΑΣΙΝ, αὐτόθι καὶ βότρυς » πολλάκις δίπηχυς, ΚΥΚΛΟΡΡΩΓΟΣ ΤΕ καὶ μεγαλόῤῥωγος » γράφων ΦΗΣΙΝ, καὶ ΠΥΚΝΟΡΡΩΓΟΣ ΤΕ. Λέγει δὲ ὁ αὐτὸς Εὐςάθιος, ὅτι καὶ τῆς χώρας τὸ ὄνομα, Καρμανία, θερμότης ἑρμηνεύεται κατὰ γλῶσσαν ἐγχώριον· πιθανώτεροι μέντοι εἰσὶν οἱ φήσαντες (Bochart, *Geograph. Sacr. P. I*, pag. 247) διὰ τὸ εὐάμπελον οὕτω κεκλῆσθαι τὴν Καρμανίαν· Καρμὰ γὰρ τῇ Χαλδαίων, καὶ Κερὲμ τῇ Ἑβραίων φωνῇ λέγεται ἡ ἄμπελος.

ΣΕΛΙΔ. 141, στ. 2, Ὧν πιρ καὶ σέβονται.] Ἐξ ΕΔ, εἴληφε τοῦθ' ὁ Γερμανὸς ἐκδότης, παραλιπὼν (διὰ τυπογράφων ἴσως ἁμαρτίαν) τὸν δεύτερον τῶν συνδέσμων, ΑΤ, Ὧν Πέρσαι σέβονται.—Στ. 17, Ἀμμώδης.] Ἐξ ΕΔ, ΑΤ, Ἀνεμώδης. Πειςοῦται δὲ τὴν διόρθωσιν ὁ Ἀρριανὸς (ἰνδικ. § 40) φάσκων περὶ τῆς Περσίδος, «Τὸ μὲν αὐτῆς » πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ οἰκούμενον ἀμμῶδές τε εἶναι καὶ ἄκαρ» πον ὑπὸ καύματος· τὸ δὲ ΕΠΙΤΕΛΕΩΣ πρὸς ἄρκτον... καλῶς κε» κρᾶσθαι τῶν ὡρίων.» Ἔνθα γραπτέον, «... τὸ δὲ ΑΠΟ ΤΟΥΔΕ ΩΣ

» πρὸς ἄρκτον κ. τ. λ.» — Καρποῖς.] Ἐκ ΔΓ, ΑΤ, Καρποῦ. — Στ. 25, Ὀκτακισχιλίους.] Ἐκ ΔΓ, ΑΤ, Ὀκτακισχιλίων.

ΣΕΛΙΔ. 142, στ. 1, Οὐ πλείων τῶν δισχιλίων.] Τὸ μὲν Πλείων ἐκ ΔΓ, ἡ δὲ περιαίρισις τοῦ διαζευκτικοῦ ἐξ ΗΔ, ΑΤ, Οὐ πλείους ἢ τῶν δισχιλίων. Περὶ δὲ τῶν μίτρων τοῦ τε τῶν ὀκτακισχιλίων ἀριθμοῦ καὶ τοῦ δισχιλίων, ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα ἐν τῇ Γαλλικῇ μεταφράσει. — Στ. 2, Περσέπολιν.] Οὕτως ἔγραψα ἐκ τοῦ Ἀρριανοῦ καὶ Στεφάνου τοῦ Βυζαντίου, ΑΤ, Περσαίπολιν. — Στ. 15, Καὶ τρίτον... τετάχθαι.] Ἐξ ΕΔ, ΑΤ, Καὶ κρεῖττον... τέτακται. — Στ. 19, Δὴ κτίσμα.] Ἐκ ΔΓ, ΑΤ, Δὴ καὶ κτίσμα. — Στ. 25, Δηλιακῶν.] Ἐκ ΔΓ, ΑΤ, Δαλιακῶν.

ΣΕΛΙΔ. 143, στ. 1, Πολύκλειτος δέ.] ΗΔ (συνάδουσα τῇ Ἰταλικῇ μεταφράσει, ma Policlito), ΑΤ, Πολύκλειτός τε. — Στ. 4, Περσεπόλει.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Περσαιπόλει. — Στ. 9, Κατὰ τὴν Ταύκην.] Ἐξ ΕΔ, ΑΤ, Κατὰ τὴν Ὄκην. Ταούγ, ἢ Ταουάγ (*Taüg* ou *Taüag*) αὐτὴν νῦν καλεῖσθαι φασὶν ὑπὸ τῶν ἐγχωρίων. — Στ. 16, Χοάσπη.] Ἕτερος οὗτος παρὰ τὸν Ἰνδικὸν Χοάσπην, οὗ ἐν τοῖς πρόσθεν (σελ. 98) ἐμνημόνευσε. — Στ. 17, Ἡ κατὰ τὸ ζεῦγμα.] ΗΔ, ἡ προσθήκη τοῦ συνδέσμου. — Στ. 20, Τρισχιλίων.] Δισχιλίων γραπτέον εἶναι φασιν. Ἴδε τὰς Γαλλ. σημ.

ΣΕΛΙΔ. 144, στ. 2, Τῶν ποταμῶν οὐ.] ΗΔ, ΑΤ, Τῶν ποταμῶν μὲν οὐ. ΔΓ, Τῶν ποταμῶν δὲ οὐ. — Στ. 5, Ὀκτακοσίους.] Ἰσ.γρ. Χιλίους ὀκτακοσίους. Ἴδ. τὰς Γαλλ. σημ. — Λέγουσιν. Ἄλλοι.] ΗΔ, ΑΤ, Λέγουσιν ἄλλοι· ἄλλοι. — Στ. 7, Κατὰ τὰς μεταξύ.] ΗΔ, ΑΤ, Καὶ τὰς μεταξύ. — Στ. 20, Οἰκεῖσθαι τὴν Σουσιανήν.] Ἢ τὸ ἄρθρον περιαιρετέον εἶναι ἔλεγον (ἐν ταῖς Γαλλ. σημ.), ἢ γραπτέον, Οἰκεῖσθαί τινα Σουσιανήν, ἤ γοῦν, Οἰκεῖσθαι Ἄγνιν Σουσιανήν· οὕτω γὰρ Ἀρριανὸς ὀνομάζει τὴν ἐν τῇ Σουσίδι κώμην ταύτην. — Στ. 23, Πλειόνων, ἢ τρισχιλίων.] Ἐν δὲ τοῖς πρόσθεν (Μέρ. Α, σελ. 103), Τρισχιλίων εἴρηκε μόνων.

ΣΕΛΙΔ. 145, στ. 5, Γαζοφυλάκια.] Σύνθετον ἐκ τοῦ Φυλάσσω, καὶ τοῦ ξενικοῦ ὀνόματος Γάζα. Ἔπιθι τὰ ἐν τοῖς ἑξῆς (σελ. 327) σημειωθησόμενα. — Στ. 11, Τοὔνομα.] Ἐκ ΔΓ, ΑΤ, Τὸ ὄνομα. — Ὁ βασιλεύς.] Ὁ Κῦρος. — Στ. 12, Μετονομάσας Κῦρον.] ΗΔ, ΑΤ, Μετονομασθεὶς Κύρος. — Περσεπόλει.] Ἐκ ΔΓ ἐνθάδε καὶ ἐν τοῖς ἑξῆς διὰ τοῦ ε τὴν δευτέραν συλλαβὴν ἔγραψα, ΑΤ αι διφθόγγου. — Στ. 14, Τῶν κειμένων.] Τῶν καὶ παρὰ τὸ Κεῖμαι ὀνομασθέντων

κειμηλίων.—Στ. 15, Παραιτακῶν.] ΗΔ (ἀπὸ τῆς εὐθείας, Παραιτάκαι), ΑΤ, Παραιτάκων.—Στ. 16, Μηδίας.] Ἐκ ΔΓ, ΑΤ, Μηδείας.

ΣΕΛΙΔ. 146, στ. 10, Προβάτου.] Ἀρριανὸς δὲ (Ἀναβ. Ἀλίξ. ς', 29) καὶ ἅλυρον καὶ οἶνον προσίθησι τῷ προβάτῳ.—Ἵππου.] Εἰς θυσίαν τῷ Κύρῳ, ὥς φησιν Ἀρριανός.—Στ. 15, ΕΙΜΙ.] Ὁ δ' Ἀρριανὸς προσίθησι τὸ, Ὁ ΚΑΜΒΥΣΟΥ.—Στ. 16, ΚΤΗΣΑΜΕΝΟΣ.] Παρὰ τῷ Ἀρριανῷ, ΚΑΤΑΣΤΗΣΑΜΕΝΟΣ.—Στ. 21, ΒΑΣΙΛΕΩΝ.] ΗΔ (συνάδουσα τῷ Ἀρριανῷ), ΑΤ, ΒΑΣΙΛΗΩΝ.—Στ. 23, Γράμμα.] ΔΓ, Ἐπίγραμμα.—ΦΙΛΟΣ... ΗΔΥΝΑΜΗΝ.] Κατὰ δὲ τὸν Ἀθήναιον (σελ. 434) Καὶ ταῦτα προσετίθειτο τῷ ἐπιγράμματι, ΗΔΥΝΑΜΗΝ ΚΑΙ ΟΙΝΟΝ ΠΙΝΕΙΝ ΠΟΛΥΝ, ΚΑΙ ΤΟΥΤΟΝ ΦΕΡΕΙΝ ΚΑΛΩΣ, διξαμενῆς μᾶλλον εὐρυχώρου, ἢ βασιλέως ἔπαινος.—Στ. 26, Ἐν δὲ τῇ Πιρσῶν διαδοχῇ ἱδρύσθαι.] Ἐπιθι τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.

ΣΕΛΙΔ. 147, στ. 8, Ἠγεῖτο βασίλειον.] ΗΔ, ΑΤ, (ἐνάρθρου), Ἠγεῖτο τὸ βασίλειον.—Στ. 11, Τῶν ΠΑΡΑ ταῦτα ληφθέντων.] ΗΔ, ΑΤ, Τῶν ΠΕΡΙ ταῦτα μὴ ληφθέντων. Περιαιρετέα μοι ἔδοξεν εἶναι ἡ ἀπαγόρευσις· ὁ γὰρ νοῦς ἐστὶ, χωρὶς τῶν παρὰ τὰ ἐν Βαβυλῶνι χρήματα ληφθέντων ὑπὸ τῶν στρατιωτῶν καὶ κειμένων, ὡς εἰκὸς, ἐν τῷ στρατοπέδῳ, καθάπερ ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει. Ἔστι δὲ καὶ οὕτω διορθοῦν, Τῷ περὶ ταύτην ληφθέντων, τουτέστι, τῶν ἐν τῷ περὶ Βαβυλῶνα στρατοπέδῳ.—Στ. 18, Τὴν γοῦν.] Ἰσ.γρ. Τὴν δ' οὖν.—Στ. 20, ΕΚΠΥΡΟΝ... καὶ καυματηρόν.] Ὁ μὲν σύνδεσμος ἐκ ΔΓ προσετέθη· ἴσως δὲ γραπτέον, ἐνθάδε γε, καὶ ΕΜΠΥΡΟΝ, παραπλησίως τῷ ἐν τοῖς ἑξῆς (σελ. 163), «Ἔμπυρος οὖσα ἡ χώρα καὶ καυματηρά».

ΣΕΛΙΔ. 148, στ. 1, Ἅλλεσθαι.] ΗΔ, ΑΤ, Ἁλεαίνεσθαι· ὅπερ ὁ Γερμανὸς ἐκδότης ἐκ ΔΓ προείλετο τοῦ ἐν ταῖς πρότεραις ἐκδόσεσιν, Ἁλήθεσθαι. Ὁ τὰς Χρησμαθείας συντάξας (Μέρ. Γ, σελ. 443), εἴτε διαφόρῳ γραφῇ ἐντυχών, εἴτ' αὐτὸς ἐξηγούμενος, γράφει πιθανωτέρως, Φρύγεσθαι. Ἀλλ' οὐδεμία τούτων τῶν γραφῶν ἔρρωται· τῇ γὰρ ἡμετέρᾳ διορθώσει μαρτυρεῖ τὸ συνώνυμον Ἐκπηδᾶν, ᾧ Πλούταρχος (Ἀλεξάνδρ. § 35) ἐχρήσατο, αὐτὸ τοῦτο τὸ ἐν τῇ Σουσίδι συμβαῖνον ἐν τῇ Βαβυλωνίᾳ γίνεσθαι λέγων· «Καὶ γάρ ἐστιν ἡ Βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις κ. τ. λ.» Ἔνθα σημειῶσαι, ὅτι καὶ τὸ Ἀποπάλλεσθαι, ὀρθῶς ἔχον, οὐδὲν ἂν ἧττον

ὀρθὸν ἦν, εἴπερ ἐγράφετο, Ἀφάλλεσθαι. Πρὸ δὲ τοῦ Πλουτάρχου (ὅπερ οὔπω μοι ἔγνωστο γράφοντι τὰς Γαλλικὰς σημειώσεις) καὶ ὁ Θεόφραστος (Περὶ φυτ. ἱ, 11) παραπλήσια εἴρηκε· « Περί γε Βαβυ- » λῶνα τὰς κριθὰς καὶ τοὺς πυροὺς ἐπὶ τῆς ἄλω πηδᾶν, ὥσπερ τὰ » φρυγόμενα· ἀλλὰ δῆλον ὅτι διαφορά τις ἐστὶ τῆς θερμότητος, καὶ » οὐχ ἁπλῶς πως θερμασία γίνεται καὶ ἡ πήδησις. » Ὧν τὰ τελευ- ταῖα συντομωτέρως ἐστὶ διορθοῦν, ἢ ὥσπερ διωρθώκασιν ἕτεροι, γράφοντας, « καὶ οὐχ ἁπλῶς θερμασία γίνεται ἡ πήδησις. »—Στ. 3, Μακρούς.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Μικρούς· ὅπερ ἐξ ΕΔ παρείληφεν ὁ Γερμανὸς ἐκδότης.—Στ. 4, Μὲν μακρῶν.] Ἀπο- κατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Μακρῶν μέν.—Στ. 11, Τῶν πεδίων.] Ἐκ ΔΓ, ΑΤ, Τῶν τε πεδίων· ὅπερ εἴληφεν ὁ Γερμανὸς ἐκδότης Ἐκ ΔΓ, ἀντὶ τῆς προτέρας γραφῆς, Τῶν γε πεδίων. Ἴσως ἐγράφετο πάλαι, Τῶν γηπέδων.—Στ. 14, Ἐκκαυμένην.] Ἐκ ΔΓ, ΑΤ, Ἐκκεκαυμένην.—Στ. 20, Παττάλους σεσιδηρωμένους.] Ἐκ ΔΓ, ΑΤ, Παττάλους ἅτε σεσιδηρωμένους.—Στ. 22, Τοιαύτη· ἡ δὲ παραλία τεναγώδης ἐστὶ καὶ ἑλώδης.] Τὰς ὀκτὼ ταύτας λέξεις, μετενεγκὼν ἀπὸ τῆς ἑπομένης σελίδος (149) κατεχώρισα ὧδε, ἔνθα πρότερον ἐγράφετο, πρὸς οὐδένα νοῦν, ταῦτα· Πολλάκις, καὶ δὴ καὶ ἐφ' ἡμῶν ἄλλοτ' ἄλλως συνέβη. Ἔπειθε τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ.

ΣΕΛΙΔ. 149, στ. 6, Οἱ δὲ Ἐλυμαῖοι... καὶ οἱ Οὔξιοι.] Παράβαλε ταῦτα οἷς ἀλλαχοῦ (Μέρ. Β, σελ. 350) εἴρηκε.—Στ. 10, Ὅπερ συμβαίνει.] Γραπτέον, οἶμαι, Ὅπερ συνέβη.—Στ. 23, Ἐσεμμέ- νον.] Ἰσ.γρ. Ἐσεμμένοι, τουτέστιν οἱ θύοντες· ὁ γὰρ Ἡρόδοτος (ά, 132) τὸν θύοντα ἐστεφανωμένον μυρσίνῃ προσάγειν φησὶ τὸ ἱερεῖον.

ΣΕΛΙΔ. 150, στ. 9, Ὕδατος αἱμαχθείσης.] Ἐκ ΔΓ, ΑΤ, Αἵματος καθαροῦ αἱμαχθείσης.—Στ. 11, Ἐφάπτονται.] ΔΓ, Ἅπτουσι. Ἰσ.γρ. Ἐφαπτόμενοι ὑφάπτουσι. Τὴν διὰ πυρὸς δὲ ταύτην ἁγι- στείαν ᾔνιξτο καὶ ὁ φήσας ποιητὴς (παρὰ τῷ Ἀθην. σελ. 530),

> Οὐ παρὰ μάγοισι πῦρ ἱερὸν ἀνίσχεσε,
> Ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων.

Παραπλησίαν τινὰ ῥαβδομαντείαν ἱερᾶται καὶ ὁ Πάλλας ἐν τοῖς νῦν Σκύθαις τοῖς καλουμένοις Σαγαΐκοις (Tatars Sagaïks), ἣν ποιοῦσιν οἱ παρ' ἐκείνοις γόητες· Assis devant le feu, lorsqu'ils vous disent la bonne aventure, ils prennent ce fagot (composé

de seize petits bâtons... brûlés aux deux extrémités) de la main gauche, marmotent quelques paroles, et tiennent ensuite les extrémités du fagot dans le feu, en faisant à haute voix quelques imprécations dans l'air, etc. (Pallas, *Premier voyag. tom. VI*, pag. 214).— Ἀποσπένδοντες.] Ἀμεινον ἀν γράφοις, Ἐπισπένδοντες.— Στ. 12, Οὐκ εἰς ὕδωρ.] Ἐκ ΔΓ, ΑΤ, Οὐχ ὕδωρ.— Στ. 23, Χείλη, τὰς παραγναθίδας.] Ἐκ ΔΓ, ΑΤ, Χείλη, καὶ τὰς παραγναθίδας. Αἱ γὰρ παραγναθίδες οὐ ταὐτὸν δύνανται ταῖς γνάθοις, ὡς ἐξεδίξαντό τινες τῶν ἐξηγησαμένων τὸν Στράβωνα, καὶ πρὸ ἐκείνων ὁ Εὐσάθιος, ἐξ οὗ παρλαβὼν ὁ σοφὸς Σνειδήρος, τὸ Παραγναθὶς ὡς συνώνυμον τοῦ Γνάθος κατεχώρισεν ἐν τῷ Λεξικῷ· ἀλλ' εἰσὶ τῆς τιάρας τὰ ἑκατέρωθεν προὴκοντα καὶ τὰς γνάθους καλύπτοντα δύο ἄκρα. Καὶ ἔστιν ἡ συνάρτησις τοῦ χωρίου, Καθεικυίας ἑκατέρωθεν τὰς παραγναθίδας, μέχρι τοῦ καλύπτειν τὰ χείλη.— Ταῦτα δ' ἐν τοῖς.] Γραπτέον εἶναι ἔικασα ἐν τῇ Γαλλ. μεταφράσει, Ταὐτὰ δὲ καὶ ἐν τοῖς, les mêmes cérémonies sont aussi en usage dans les, etc.— Στ. 24, Ὡμανοῦ.] Οὗ καὶ ἐν τοῖς πρόσθεν (Μίρ. Β, σελ. 332) ἐμνημόνευσεν, οὕτως ὠνομασμένου ἴσως ἀπὸ τοῦ πυρός· Ὠμὰν γὰρ τῇ Περσῶν φωνῇ καλεῖται τὸ περὶ οὗ ὁ λόγος ἱερὸν τοῦτο πῦρ.

ΣΕΛΙΔ. 151, στ. 1, Ἐν ταῖς παλαιαῖς ἱστορίαις.] ΗΔ, ΑΤ, Ἐν ταῖς ἱστορίαις· τῆς γραφῆς τῶν πρὸ τοῦ Γερμανοῦ ἐκδόσεων οὔσης, Ἐν ταῖς ἄλλαις ἱστορίαις.— Στ. 20, Παραδιδόντες.] Μεταμέλει μοι εἰς τοῦτο τρίψαντι τὸ Ἀναδιδόντες. Ἴσως ἐχρῆν γράφειν, Ἀναδιδάσκοντες, ὡς ἐξηγοῦνται τὰ παλαιὰ Γλωσσάρια, « Ἀναδιδάξαι, » edocere, instruere » ἴσως δὲ καὶ κατὰ χώραν ἐᾶν τὸ Ἀναδιδόντες, ἐπὶ τῆς σημασίας τοῦ ὑπαγορεύοντες, κατὰ τὰ αὐτὰ Γλωσσάρια, « Ἀνα- » δίδωσι, dictat » καὶ « Dictat, ἀναδίδωσιν, ὑπαγορεύει ».

ΣΕΛΙΔ. 152, στ. 5, Τερμίνθῳ.] Ἑτέρα αὕτη παρὰ τὴν ἀνωτέρω Τέρμινθον, ἣν ἔφαμεν (σελ. 321) τὰ καλούμενα πιστάκια φέρειν. Ταύτης δὲ (ἣν καὶ ἀγρίαν τέρμινθον, pistachier sauvage, οἱ φυτολόγοι καλοῦσι) καρπός ἐστι τὰ ἐν τῇ συνηθείᾳ ὀνομαζόμενα Τσίκουδα, οἱονεὶ Κίκουδα, παρὰ τὸ Κοκκίδια ἐγθαρμένου τοῦ ὀνόματος.— Στ. 23, Τριπλῆ.] Διπλῆ γραπτέον εἶναι ἔικασα ἐν ταῖς Γαλλ. σημειώσεσι.— Στ. 25, Ἰάνθινον.] Ἐξ ΕΔ, ΑΤ, Ἀνθινόν.— Στ. 27, Μεσοκνημίου διπλοῦς· ῥάκος δὲ σινδονίου περί.] ΗΔ, ΑΤ, Μεσοκνημίου καὶ διπλοῦς· ῥάκος δὲ σινδονίου τι περί.

ΣΕΛΙΔ. 153, στ. 1, Δὲ πολυτελῶς.] Ἐκ ΔΓ προσέθηκα τὸν σύνδεσμον.—Στ. 2, Ἐκπωμάτων τε καί.] Ἐκ ΔΓ προσέθηκα τὸν δεύτερον σύνδεσμον.—Στ. 3, Ἀργύρῳ πάντα λάμπεσθαι.] Ἐκ ΔΓ, ΑΤ, Ἀργύρῳ καταλάμπεσθαι.—Στ. 14, Παραθήσεις.] Τὰς ἀποθήκας, ἃς ἡ συνήθεια Μαγαζία καλεῖ, παρὰ τὸ τῶν Ἰταλῶν Magazzino, ὅπερ κἀκεῖνοι ἐκ τῆς Ἀράβων φωνῆς παρειλήφασιν, ὡς φασιν οἱ τῶν τοιούτων εἰδήμονες· καὶ ἡ τοῖς Ἕλλησι δὲ συγγραφεῦσι πολιτογραφηθεῖσα Γάζα (ὅθεν καὶ τὸ Γαζοφυλάκιον), τῆς αὐτῆς σημασίας καὶ συγγενείας ὄνομά ἐστι, καθὰ δηλοῖ καὶ ὁ τοῖς Τούρκοις καλούμενος Χαζενές.—Στ. 19, Μακρόχειρα, κάλλιστον.] ΗΔ, ΑΤ, Μακρόχειρα καὶ κάλλιστον. Ἁμαρτάνει δ' ὁ Στράβων, ἢ ὁ τὰ τοῦ Στράβωνος ἀντιγράψας, Δαρεῖον εἶναι λέγων τὸν ἐπονομασθέντα μακρόχειρα· Ἀρταξέρξης γὰρ ἐπωνομάζετο μακρόχειρ.—Στ. 21, Τὸν δὲ πλεῖστον.] Ἐκ ΔΓ, ΑΤ, Τὸ δὲ πλεῖστον.—Ἐν κατασκευαῖς.] Ὥσπερ ἂν εἰ ἔλεγε καί, Ἐν σκεύεσι (en vaisselle), ὥσπερ ἡρμήνευσα Γαλλιστί. Τούτου δὲ τοῦ ἐν σκεύεσι πλούτου τῶν Ἀσιανῶν βασιλείων τὴν ἀφθονίαν καταγράφει καὶ ὁ προφήτης Ναοὺμ (β', 9).

ΣΕΛΙΔ. 154, στ. 3, Τὸν Χαλυβώνιον.] Τὸν ἐκ τῆς πόλεως Χαλυβῶνος, ἣ νῦν Χαλέπι καλεῖται.—Στ. 8, Οὔτ' ἐκεῖνοι... οὔθ' οἱ.] ΗΔ, ΑΤ, Οὐδ' ἐκεῖνοι... οὔθ' οἱ.—Στ. 14, Πέρσαι Ἑλλήνων.] ΗΔ, ΑΤ, Πέρσαι καὶ Ἑλλήνων.—Στ. 16, Ἐπ' ὀλίγον χρόνον.] Ἐκ ΔΓ, ΑΤ, Ἐπ' ὀλίγων χρόνων τῶν.—Στ. 21, Ὕστερον δέ.] Ἐκ ΔΓ, ΑΤ, Ὕστερον δὲ καί.

ΣΕΛΙΔ. 155, στ. 4, Ὑσάσπου.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Ὑστάσπεω.—Στ. 7, Δώδεκα.] Ἐκ ΔΓ, ΑΤ, Δέκα. Τὸ δ' ἐξῆς, Ἡ ἑνδεκα, ὡς νόθον γραφὴν ἀκριβέσκοις διείληφα. Ἦρξε γὰρ Ἀλέξανδρος, κατὰ μὲν τὸν Ἀρριανὸν, ἔτη δώδεκα καὶ μῆνας ὀκτὼ, κατὰ δὲ τὸν Σικελιώτην Διόδωρον, ἔτη δώδεκα καὶ μῆνας ἑπτά. Ἑπὸς οὖν καὶ τὸν Στράβωνα Δώδεκα ἔτη γράψαι, παρομελήσαντα τῶν προσγενομένων μηνῶν.

ΒΙΒΛΙΟΝ ΕΚΚΑΙΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 157, ἐν τῇ Περιοχῇ τῆσδε τῆς Βίβλου (στ. 1) ἔγραψα Νίνος, ΑΤ, Νίσιβις.—Στ. 11, Καὶ Ἰουδαίων.] Ἐκ ΔΓ προσείληφα τὰς δύο ταύτας λέξεις.

ΣΕΛΙΔ. 158, στ. 14, Πολλὰ καί.] Ἀποκατέστησα τὴν προτέραν

γραφὴν, ΑΤ, Πολλὰ δὲ καί.—Στ. 17, Συρίγγων.] Ἔν τινι τῶν ἀντιγράφων προσγέγραπται τῇ λέξει ἐξήγησις ὧδε, « Ἃς ἡ ἰδιώτις » γλῶσσα ΤΟΥΣ ΕΡΕΜΠΟΥΛΟΥΣ θρυλλεῖ », ἐν ᾗ γραπτέον ΤΖΕΡΕΜΠΟΥΛΟΥΣ· οὕτω γὰρ ἐκάλουν ἰδιωτικῶς, πρὸς δὲ καὶ Τζερεμβούλους, καὶ Ξηρεμβόλους, καὶ μικρὸν ἑλληνικώτερον Συρεμβόλους τὰς ὑπὸ γῆν σύριγγας. Λέγει δὲ καὶ ὁ Εὐςάθιος (σελ. 1189) « Σύριγξ... κρυπτὸς ὑπόνομος... ὁ καὶ ἔμβολος, συντεθεὶς » ποιεῖ μὲν Συριγγέμβολον· συγκοπεὶς δὲ, διὰ τὸ δύσφωνον, λέγεται » τοῖς κοινολεκτοῦσι Συρέμβολος. » — Στ. 26, Κατ' αὐτόν.] ΗΔ (τουτέςι κατὰ τὸν Λύκον, οὐ μακρὰν τοῦ Λύκου), ΑΤ, Κατ' αὐτήν.

ΣΕΛΙΔ. 159, στ. 4, Οὐκ ἐπίσημος.] ΗΔ (καταχωρισθεῖσα πάλαι ἐν ταῖς εἰς τοὺς Πλουτάρχου Βίους, Μέρ. Δ, σελ. 426, σημειώσεσιν) ἡ προσθήκη τῆς ἀρνήσεως. Μαρτυρεῖ δέ μου τῇ διορθώσει ὁ Ἀρριανὸς (Ἀναβ. Ἀλεξ. ς', 11) « Πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμηλα, » ἀλλὰ κώμη μεγάλη, οὐδὲ ὀνομαςὸς ὁ χῶρος κ. τ. λ. ». — Μεθερμηνευθὲν ἐςι.] Ἐκ ΔΓ, ΑΤ, Μεθερμηνευθὲν γάρ ἐςι.—Στ. 5, Ὑςάσπου.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν ὧδέ τε καὶ ἐν τοῖς ἑξῆς, ΑΤ, Ὑςάσπεω.—Στ. 6, Συμπεπονηκυῖα μάλιςα κατὰ τὴν ὁδόν.] Οὐκ ἐπιτυχῶς προειλόμην τὴν γραφὴν ταύτην, καίπερ ἐν οὐκ ὀλίγοις φερομένην ἀντιγράφοις, ΑΤ, Συνεκπεπονηκυῖα μάλιςα τὴν ὁδόν.—Στ. 16, Ἥ τε τοῦ.] ΗΔ, ΑΤ, Εἶθ' ἡ τοῦ. ΔΓ, Ἢ θ' ἡ τοῦ.—Στ. 24, Ὥςτε τέθριππα.] Ἐκ ΔΓ, ΑΤ, Ὡς τέθριππα.

ΣΕΛΙΔ. 160, στ. 28, Μεγάλη 'ςίν.] Ἐξ ΕΔ (καθάπερ καὶ ἐν τοῖς πρόσθεν Μέρ. Β, σελ. 146), ΑΤ, Μεγάλη ἐςίν.

ΣΕΛΙΔ. 161, στ. 2, Καταγράφουσι.] ΔΓ, Καταβάπτουσι. — Στ. 12, Φύλόν τι τῶν.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Φῦλόν τι τὸ τῶν.—Στ. 18, Νέμοντες.] Τοῦθ' ὁ Γερμανὸς ἐκδότης προείλετο (ἀμφιβάλλω εἰ ὀρθῶς) ἐκ πολλῶν ἀντιγράφων ἀντὶ τῆς πρότερον ἐκδεδομένης γραφῆς, Λέγοντες.

ΣΕΛΙΔ. 162, στ. 4, Μεσηνῶν.] Ἐξ ΕΔ (καθάπερ ἐδήλωσα ἀλλαχοῦ, Μέρ. Γ, Πρὸς τὸν ἀναγνώς. σελ. ια'), ΑΤ, Ἀλεσηνῶν.—Στ. 14, Ἐθέλοντες.] Ἐκ ΔΓ, ΑΤ, Θέλοντες.

ΣΕΛΙΔ. 163, στ. 15, Δυσέγχωρον.] Ἐξ ΕΔ (ἴδ. Σνειδίρ. Λεξικ. λέξ. Δυσεύχωρος), ΑΤ, Δυσεύχωρον.—Στ. 21, Τῇ λειψυδρίᾳ, τῷ δίψει, κ. τ. λ.] Ἀποκατέςησα τὴν προτέραν γραφὴν, ΑΤ, Τῇ λειψυδρίᾳ καὶ τῷ δίψει. Ὁ γὰρ νοῦς, διαφθείρεσθαι ὑπὸ δίψους, ὁπότε εἴη λειψυδρία.—Στ. 26, Μήτε.] ΗΔ, ΑΤ, Μηδέ.

ΣΕΛΙΔ. 164, στ. 12, Νησίζουσαν ἤδη διά.] ΔΓ, Νησιάζουσαν διά.—Στ. 24, Τόν τε Δία καὶ τὸν Διόνυσον.] Ἀρριανὸς δὲ (ζ, 20) τὸν Οὐρανὸν καὶ τὸν Διόνυσον λέγει· Ἡρόδοτος δὲ (γ, 8), τὴν Οὐρανίην καὶ τὸν Διόνυσον.

ΣΕΛΙΔ. 165, στ. 6, Ῥινοκόλουρα.] Οὕτως ἔγραψεν ὁ Γερμανὸς ἐκδότης (συμφώνως τῇ ἐν τοῖς ἑξῆς, σελ. 192, τοῦ Στράβωνος γραφῇ), ΑΤ, Ῥινοκόλουραν. ΔΓ, Ῥινοκόρουραν : Ῥινοκόρουρα.—Τόπους.] ΗΔ, ΑΤ, Ποταμούς. Ἔπειθι τὰ ἐν τοῖς πρόσθεν (Μίρ. Α, σελ. 64) εἰρημένα τῷ Στράβωνι.—Στ. 14, Οὕτω.] Ἐκ ΔΓ, ΑΤ, Οὗσαν.—Στ. 19, Οὐδ' ἀθρόαν.] Ἐκ ΔΓ, ΑΤ, Οὐκ ἀθρόαν.—Στ. 21, Ἐν δὲ τοῖς.] ΗΔ (συνάδουσα τοῖς Λατίνοις μεταφραστῆς), ΑΤ, Ἀεὶ δὲ τοῖς.

ΣΕΛΙΔ. 166, στ. 7, Πλημμύρει.] Ἀποκατέστησα τὴν προτέραν γραφήν, ΑΤ, Πλημμύρει.—Στ. 8, Ἐσήλουν.] ΗΔ, ΑΤ, Ἐσηλοῦμεν.—Στ. 21, Φασί.] Ἰσ.γρ. Φησὶ (ὁ ἀνωτέρω μνημονευθεὶς δηλονότι Πολύκλειτος).

ΣΕΛΙΔ. 167, στ. 9, Φασί.] Ἰσ.γρ. Φησὶ (ὁ Ἐρατοσθένης).—Στ. 11, Προσαχθείς.] Ἐκ ΔΓ, ΑΤ, Προσαφθείς.—Στ. 15, Καὶ ἐξῆ.] Διαγραπτέον εἶναι ταῦτα ἐνίφηνα διὰ τῶν ἀστερίσκων.—Πυγὴν κατασβέννυται.] ΗΔ (πρὸς τὸ Σῶμα), ΑΤ, Πυγέντα σβέννυται.—Φασίν.] Γράφε, Φησὶν (ὁ Ἐρατοσθένης), καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων.—Στ. 16, Περιχέει.] Ἐκ ΔΓ, ΑΤ, Προσχέει.—Στ. 21, Λέγω δή.] Ἀμείνων ἡ προτέρα γραφή, Λέγω δέ.—Στ. 27, Ταύτην δ' ἐποιοῦντο χειμάδιον κ. τ. λ.] Ἔπειθι τὰ ἐν τοῖς πρόσθεν (σελ. 247), σημειωθέντα μοι.

ΣΕΛΙΔ. 168, στ. 22, Ἐλυμαῖτις... Ἐλυμαίτιδι.] ΗΔ (ἐκ τῆς τῶν πρὸ τοῦ Γερμανοῦ ἐκδόσεων γραφῆς, οὕτως ἠμαρτημένης, Ἐλυμάτις... Ἐλυμάτιδι), ΑΤ, Ἐλυμαῖς... Ἐλυμαΐδι.

ΣΕΛΙΔ. 169, στ. 18, Γάζαν.] Θησαυρὸν ἔχει δέ, ὥσπερ ἀνωτέρω (σελ. 327) ἐσημειωσάμεθα, τοὔνομα ξενικὸν, συγγενὲς καὶ συνώνυμον ᾧπερ ἡ συνήθεια κέχρηται τουρκικῷ ὀνόματι, Χαζενὲς (οἱονεὶ Γαζενές).—Στ. 25, Κυρβιανή.] Ἐκ ΔΓ, ΑΤ, Κορβιανά.

ΣΕΛΙΔ. 170, στ. 16, Καθιζάναι.] Ἰσ.γρ. Καθιζάναι.

ΣΕΛΙΔ. 171, στ. 4, Καὶ τὸ τῶν γερόντων, χωρὶς τοῦ... καθιζαμένου.] Ἔστιν ὑποπτεῦσαι μήποτε οὕτως ἔχετο καὶ ἐγέγραπτο πάλαι· Καὶ τὸ τῶν γερόντων χωρὶς, τὸ ὑπὸ τοῦ βασιλέως καθιζάμενον, ἢ Καὶ τὸ τῶν γερόντων χωρὶς, τῶν ὑπὸ τοῦ

βασιλέως καθιεμένων. Εἶεν δ' ἂν οὗτοι, οὓς ἀνωτέρω (σελ. 170) τριῖς ἄνδρας σώφρονας ἐν ἑκάστῃ φυλῇ ἄρχοντας ἔφη καθίστασθαι.—Στ. 5, Τούτου.] Ἰσ.γρ. Τούτων (τῶν γερόντων δηλονότι)· ἀλλ' ἔτι τὸ χωρίον ὅλον τοῦτο οὐ πάνυ εὐκρινές.—Στ. 7, Τοὺς δ' ἀρρώστους κ. τ. λ.] Ἐπιθι τὰ σημειωθέντα μοι ἐν τοῖς πρόσθεν (σελ. 64).—Στ. 12, Μακρά.] Ἐξ ΕΔ, ΑΤ, Μικρά.—Στ. 21, Καὶ ὅτι.] Ἐκ ΔΓ, ΑΤ, Καὶ διότι.

ΣΕΛΙΔ. 172, στ. 11, Ἔοικε.] ΗΔ, ΑΤ, Ἐώκει.

